This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.

+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.

+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.

+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at `http://books.google.com/`





From the library of

CAPTAIN THOMAS J. J. SEE

Presented to Stanford by his son



PLATONIS

DIALOGI

GRAECE ET LATINE

EX RECENSIONE

IMMANUELIS BEKKERI

PARTIS SECUNDAE VOLUMEN TERTIUM.

BEROLINI

IMPENSIS GE. REIMERI

LONDINI APUD I. BLACK ET FIL.

TH. BOOSEY ET F. H. BOTHE

OXONIAE APUD I. PARKER

1817.

888.4
JB42d
V.5

ΦΑΙΔΩΝ

PA 4279
A2
1816
v.2:3

ΤΑ ΤΟΥ ΔΙΑΛΟΓΟΥ ΠΡΟΣΩΠΑ

ΕΧΕΚΡΑΤΗΣ, ΦΑΙΔΩΝ, ΑΠΟΛΛΟΔΩΡΟΣ,
ΣΩΚΡΑΤΗΣ, ΚΕΒΗΣ, ΣΙΜΜΙΑΣ, ΚΡΙΤΩΝ,
Ο ΤΩΝ ΕΝΔΕΚΑ ΥΠΗΡΕΤΗΣ.

ECHECRATES, PHAEDO, APOLLODORUS,
SOCRATES, CEBES, SIMMIAS, CRITO,
MINISTER UNDECIM VIRORUM.

Αὐτός, ὦ Φαίδων, παρεγένου Σωκράτει ἐκείνῃ τῇ ἡμέρᾳ ᾗ τὸ φάρμακον ἔπιεν ἐν τῷ δεσμωτηρίῳ, ἢ ἄλλου του ἤκουσας;

ΦΑΙΔ. Αὐτός, ὦ Ἐχέκρατες.

ΕΧ. Τί οὖν δή ἐστιν ἅττα εἶπεν ὁ ἀνὴρ πρὸ τοῦ θανάτου; καὶ πῶς ἐτελεύτα; ἡδέως γὰρ ἂν ἀκούσαιμι. καὶ γὰρ οὔτε τῶν πολιτῶν Φλιασίων οὐδεὶς πάνυ τι ἐπιχωριάζει τὰ νῦν Ἀθήναζε, οὔτε τις ξένος ἀφῖκται χρόνου συχνοῦ ἐκεῖθεν, ὅς τις ἂν ἡμῖν σαφές τι ἀγγεῖλαι οἷός τ' ἦν περὶ τούτων, πλὴν γε δὴ ὅτι φάρμακον πιὼν ἀποθάνοι· τῶν δὲ ἄλλων οὐδὲν εἶχε φράζειν.

ΦΑΙΔ. Οὐδὲ τὰ περὶ τῆς δίκης ἄρα ἐπύθεσθε ὅν τρόπον ἐγένετο;

ΕΧ. Ναί, ταῦτα μὲν ἡμῖν ἤγγειλέ τις, καὶ ἐθαυμάζομέν γε ὅτι πάλαι γενομένης αὐτῆς πολλῷ ὕστερον φαίνεται ἀποθανών. τί οὖν ἦν τοῦτο, ὦ Φαίδων;

Ipsene, o Phaedon, affuisti, qua die Socrates venenum bibit in carcere? an ab alio audivisti? *Ph.* Equidem, o Echecrates, affui. *Ech.* Quaenam sunt ea, quae vir ille, antequam moreretur, locutus est? et quomodo e vita decessit? libenter enim audirem. Nam neque quisquam Phliasiorum civium frequenter proficiscitur nunc Athenas, neque iamdiu hospes aliquis inde ad nos accessit, qui certum aliquid ea de re nuntiare nobis posset, nisi illum potato veneno e vita migrasse. de ceteris vero nihil, quid referrent, habebant. *Ph.* Nec ergo, quae ad iudicium pertinebant, quo pacto tractata fuerint, audivistis? *Ech.* Audivimus. haec enim nobis quidam retulit. et admirati profecto sumus, quod, iam peracto iudicio, diu postea obiisse videatur. quidnam in causa fuit, Phaedon?

ΦΑΙΔ. Τύχη τις αὐτῷ, ὦ Ἐχέκρατες, συνέβη· ἔστι γὰρ τῇ προτεραίᾳ τῆς δίκης ἡ πρύμνα ἐστεμμένη τοῦ πλοίου ὃ εἰς Δῆλον Ἀθηναῖοι πέμπουσιν.

ΕΧ. Τοῦτο δὲ δὴ τί ἐστιν;

ΦΑΙΔ. Τοῦτό ἐστι τὸ πλοῖον, ὡς φασιν Ἀθηναῖοι, ἐν ᾧ Θησεύς ποτε εἰς Κρήτην τοὺς δὶς ἑπτὰ ἐκείνους ἤγετο ἄγων καὶ ἔσωσέ τε καὶ αὐτὸς ἐσώθη. τῷ οὖν Ἀπόλλωνι εὔξαντο, ὡς λέγεται, τότε, εἰ σωθεῖεν, ἑκάστου ἔτους θεωρίαν ἀπάξειν εἰς Δῆλον· ἣν δὴ ἀεὶ καὶ νῦν ἔτι ἐξ ἐκείνου κατ' ἐνιαυτὸν τῷ θεῷ πέμπουσιν. ἐπειδὰν οὖν ἄρξωνται τῆς θεωρίας, νόμος ἐστὶν αὐτοῖς ἐν τῷ χρόνῳ τούτῳ καθαρεύειν τὴν πόλιν καὶ δημοσίᾳ μηδένα ἀποκτιννύναι, πρὶν ἂν εἰς Δῆλόν τε ἀφίκηται τὸ πλοῖον καὶ πάλιν δεῦρο· τοῦτο δ' ἐνίοτε ἐν πολλῷ χρόνῳ γίγνεται, ὅταν τύχωσιν ἄνεμοι ἀπολαβόντες αὐτούς. ἀρχὴ δ' ἐστὶ τῆς θεωρίας ἐπειδὰν ὁ ἱερεὺς τοῦ Ἀπόλλωνος στέψῃ τὴν πρύμναν τοῦ πλοίου· τοῦτο δ' ἔτυχεν, ὡς περ λέγω, τῇ προτεραίᾳ τῆς δίκης γεγονός. διὰ ταῦτα καὶ πολὺς χρόνος ἐγένετο τῷ Σωκράτει ἐν τῷ δεσμωτηρίῳ ὁ μεταξὺ τῆς δίκης τε καὶ τοῦ θανάτου.

ΕΧ. Τί δὲ δὴ τὰ περὶ αὐτὸν τὸν θάνατον, ὦ

Ph. Sorte quadam id Socrati, o Echecrates, accidit. nam pridie quam iudicaretur, ornari contigit puppim navis eius, quam mittunt Athenienses in Delum. *Ech.* Id vero quidnam sibi vult *Ph.* Haec est illa navis, ut aiunt Athenienses, in qua Theseu olim bis septem illos secum tulit in Cretam, servavitque illo et ipse servatus est. Voverat autem, ut fertur, Apollini, si ser varentur, quotannis in Delum spectaculum quoddam mitter quod quidem nunc etiam, ac semper ex illo tempore singul ad Deum mittunt annis. Cum igitur spectaculi principium ag tur, ex lege interim lustrant urbem, neminemque eo tempo publice necant, donec Delum perveniat navis rursusque Ath nas revertatur ex Delo. id vero nonnunquam longo perag tempore, quandò eos occupant venti. Initium vero spect est, postquam Apollinis sacerdos navis illius coronaverit pim. id vero, ut modo dicebam, pridie quam iudicaretur ctum erat. Quamobrem longum tempus Socrates fuit in ca iudicium inter atque mortem. *Ech.* Circa vero mortem ipsa

Φαίδων; τί ἦν τὰ λεχθέντα καὶ πραχθέντα, καὶ τίνες οἱ παραγενόμενοι τῶν ἐπιτηδείων τῷ ἀνδρί; ἢ οὐκ εἴων οἱ ἄρχοντες παρεῖναι, ἀλλ' ἔρημος ἐτελεύτα φίλων;

ΦΑΙΔ. Οὐδαμῶς, ἀλλὰ παρῆσάν τινες, καὶ πολλοί γε.

ΕΧ. Ταῦτα δὴ πάντα προθυμήθητι ὡς σαφέστατα ἡμῖν ἀπαγγεῖλαι, εἰ μή τίς σοι ἀσχολία τυγχάνει οὖσα.

ΦΑΙΔ. Ἀλλὰ σχολάζω τε καὶ πειράσομαι ὑμῖν διηγήσασθαι· καὶ γὰρ τὸ μεμνῆσθαι Σωκράτους καὶ αὐτὸν λέγοντα καὶ ἄλλου ἀκούοντα ἔμοιγε ἀεὶ πάντων ἥδιστον.

ΕΧ. Ἀλλὰ μήν, ὦ Φαίδων, καὶ τοὺς ἀκουσομένους γε τοιούτους ἑτέρους ἔχεις. ἀλλὰ πειρῶ ὡς ἂν δύνῃ ἀκριβέστατα διελθεῖν πάντα.

ΦΑΙΔ. Καὶ μὴν ἔγωγε θαυμάσια ἔπαθον παραγενόμενος. οὔτε γὰρ ὡς θανάτῳ παρόντα με ἀνδρὸς ἐπιτηδείου ἔλεος εἰσῄει· εὐδαίμων γάρ μοι ἀνὴρ ἐφαίνετο, ὦ Ἐχέκρατες, καὶ τοῦ τρόπου καὶ τῶν λόγων, ὡς ἀδεῶς καὶ γενναίως ἐτελεύτα, ὥστ' ἐμοὶ ἐκεῖνον παρίστασθαι μηδ' εἰς Ἅιδου ἰόντα ἄνευ θείας μοίρας ἰέναι, ἀλλὰ κἀκεῖσε ἀφικόμενον εὖ πράξειν, εἴ πέρ τις 59

Phaedon, quaenam sunt ab eo dicta, quae facta, quive familiarium aderant? an forte magistratus adesse non permittebant? atque ita orbatus decessit amicis? *Ph.* Permittebant quidem: ideoque aderant aliqui, et quidem multi. *Ech.* Haec igitur omnia para te quam planissime nobis referre, nisi quid negotii te impediat. *Ph.* Otiosus equidem sum, atque enarrare vobis conabor: quippe cum meminisse Socratis, sive ipse loquar sive loquentes alios audiam, mihi semper omnium sit dulcissimum. *Ech.* Similiter, o Phaedon, hos qui te audituri sunt, affectos habebis. Sed iam pro viribus diligentissime refer omnia. *Ph.* Atque mira quadam ratione, o Echecrates, illic praesens affectus eram. Neque enim misericordia me habebat, ut familiarissimi viri morti praesentem. Sane beatus vir ille mihi, o Echecrates, videbatur, tum animi illius habitum, tum orationem consideranti: adeo intrepide generoseque migrabat e vita, ut videretur mihi illum in vitam alteram non absque divina sorte migrare, sed illic quoque beatus fore, si quis unquam

πώποτε καὶ ἄλλος. διὰ δὴ ταῦτα οὐδὲν πάνυ μοι ἐλεεινὸν εἰσῄει, ὡς εἰκὸς ἂν δόξειεν εἶναι παρόντι πένθει· οὔτε αὖ ἡδονὴ ὡς ἐν φιλοσοφίᾳ ἡμῶν οντων, ὥς περ εἰώθειμεν· καὶ γὰρ οἱ λόγοι τοιοῦτοί τινες ἦσαν· ἀλλ' ἀτεχνῶς ἄτοπόν τί μοι πάθος παρῆν καί τις ἀήθης κρᾶσις ἀπό τε τῆς ἡδονῆς συγκεκραμένη ὁμοῦ καὶ τῆς λύπης, ἐνθυμουμένῳ ὅτι αὐτίκα ἐκεῖνος ἔμελλε τελευτᾷν. καὶ πάντες οἱ παρόντες σχεδόν τι οὕτω διεκείμεθα, ὁτὲ μὲν γελῶντες, ἐνίοτε δὲ δακρύοντες, εἷς δὲ ἡμῶν καὶ διαφερόντως, Ἀπολλόδωρος· οἶσθα γάρ που τὸν ἄνδρα καὶ τὸν τρόπον αὐτοῦ.

ΕΧ. Πῶς γὰρ οὔ;

ΦΑΙΔ. Ἐκεῖνός τε τοίνυν παντάπασιν οὕτως εἶχε, καὶ αὐτὸς ἐγωγε ἐτεταράγμην καὶ οἱ ἄλλοι.

ΕΧ. Εἶεν δέ, ὦ Φαίδων, τίνες παραγενόμενοι;

ΦΑΙΔ. Οὐτός τε δὴ ὁ Ἀπολλόδωρος τῶν ἐπιχωρίων παρῆν καὶ Κριτόβουλος καὶ ὁ πατὴρ αὐτοῦ Κρίτων, καὶ ἔτι Ἑρμογένης καὶ Ἐπιγένης καὶ Αἰσχίνης καὶ Ἀντισθένης. ἦν δὲ καὶ Κτήσιππος ὁ Παιανιεὺς καὶ Μενέξενος καὶ ἄλλοι τινὲς τῶν ἐπιχωρίων· Πλάτων δ' ἐμοὶ δοκεῖ, οἶμαι, ἠσθένει.

ΕΧ. Ξένοι δέ τινες παρῆσαν;

aliter. Quamobrem neque admodum commovebar, (ut consentaneum videretur hominem rei praesentem lugubri commoveri) neque rursus afficiebar laetitia, quemadmodum solebamus alias, cum in philosophia versabamur. Nam sermones quidem eiusmodi erant: sed revera affectus quidam mirus atque insolita voluptatis dolorisque permixtio me invaserat considerantem, illo paulo post moriendum esse. et quicunque aderamus, ferme similiter eramus affecti, alias quidem ridentes, alias vero lacrymantes. unus autem prae ceteris Apollodorus: nosti enim eum eiusque mores. *Ech.* Quidni? *Ph.* Ille igitur ita prorsus erat affectus: atque ego ipse aliique omnes distractum simili perturbatione animum habebamus. *Ech.* Sed quinam forte aderant, o Phaedon? *Ph.* Cives quidem et indigenae aderant Apollodorus et Critobulus paterque eius: rursus Hermogenes, Epigenes, Aeschines, Antisthenes. aderat et Ctesippus Paeanieus et Menexenus atque alii quidam indigenae. Plato autem, arbitror, aegrotabat. *Ech.* Sed num aliqui aderant peregri

ΦΑΙΔ. Ναί, Σιμμίας τέ γε ὁ Θηβαῖος καὶ Κέβης καὶ Φαιδώνδης, καὶ Μεγαρόθεν Εὐκλείδης τε καὶ Τερψίων.

ΕΧ. Τί δαί; Ἀρίστιππος καὶ Κλεόμβροτος παρεγένοντο;

ΦΑΙΔ. Οὐ δῆτα· ἐν Αἰγίνῃ γὰρ ἐλέγοντο εἶναι.

ΕΧ. Ἄλλος δέ τις παρῆν;

ΦΑΙΔ. Σχεδόν τι οἶμαι τούτους παραγενέσθαι.

ΕΧ. Τί οὖν δή; τίνες, φῄς, ἦσαν οἱ λόγοι;

ΦΑΙΔ. Ἐγώ σοι ἐξ ἀρχῆς πάντα πειράσομαι διηγήσασθαι. ἀεὶ γὰρ δὴ καὶ τὰς πρόσθεν ἡμέρας εἰώθειμεν φοιτᾷν καὶ ἐγὼ καὶ οἱ ἄλλοι παρὰ τὸν Σωκράτη, συλλεγόμενοι ἕωθεν εἰς τὸ δικαστήριον ἐν ᾧ καὶ ἡ δίκη ἐγένετο· πλησίον γὰρ ἦν τοῦ δεσμωτηρίου, περιεμένομεν οὖν ἑκάστοτε ἕως ἀνοιχθείη τὸ δεσμωτήριον, διατρίβοντες μετ' ἀλλήλων· ἀνεῴγνυτο γὰρ οὐ πρώ· ἐπειδὴ δὲ ἀνοιχθείη, εἰσῄμεν παρὰ τὸν Σωκράτη καὶ τὰ πολλὰ διημερεύομεν μετ' αὐτοῦ. καὶ δὴ καὶ τότε πρωϊαίτερον ξυνελέγημεν. τῇ γὰρ προτεραίᾳ ἡμέρᾳ ἐπειδὴ ἐξήλθομεν ἐκ τοῦ δεσμωτηρίου ἑσπέρας, ἐπυθόμεθα ὅτι τὸ πλοῖον ἐκ Δήλου ἀφιγμένον εἴη· παρηγγείλαμεν οὖν ἀλλήλοις ἥκειν ὡς πρωϊαίτατα εἰς τὸ εἰωθός. καὶ

Ph. Aderant et peregrini, Simmias Thebanus et Cebes et Phaedondes: Megarenses vero Euclides et Terpsion. *Ech.* Aristippus autem et Cleombrotus nunquid aderant? *Ph.* Non. In Aegina enim dicebantur esse. *Ech.* Aderantne insuper alii? *Ph.* Hos ferme, quos narravi, interfuisse existimo. *Ech.* Dic vero, quales fuerunt sermones? *Ph.* Conabor equidem a principio tibi omnia enarrare. Solebamus quotidie diebus superioribus ad Socratem proficisci ego atque alii, convenientes mane in illa curia, in qua et iudicium factum fuerat: carceri enim erat proxima. Colloquentes igitur inter nos operiebamur semper illic, quoad carcer aperiretur. aperiebatur enim haud admodum mane. eo autem aperto ingrediebamur ad Socratem, et ad plurimum diem cum ipso confabulabamur. Tunc ergo prius solito convenimus. pridie namque eius diei, cum e carcere egressi essemus vespere, navem ex Delo audivimus rediisse. itaque ediximus invicem, summo mane nobis fore ad locum solitum redeundum.

ἥκομεν, καὶ ἡμῖν ἐξελθὼν ὁ θυρωρός, ὃς περ εἰώθει ὑπακούειν, εἶπε περιμένειν καὶ μὴ πρότερον παριέναι ἕως ἂν αὐτὸς κελεύσῃ· Λύουσι γάρ, ἔφη, οἱ ἕνδεκα Σωκράτη καὶ παραγγέλλουσιν ὅπως ἂν τῇδε τῇ ἡμέρᾳ τελευτήσῃ. οὐ πολὺν δ' οὖν χρόνον ἐπισχὼν ἦκε καὶ ἐκέλευσεν ἡμᾶς εἰσιέναι. εἰσελθόντες οὖν καταλαμβάνομεν τὸν μὲν Σωκράτη ἀρτι λελυμένον, τὴν δὲ Ξανθίππην, γιγνώσκεις γάρ, ἔχουσάν τε τὸ παιδίον αὐτοῦ καὶ παρακαθημένην. ὡς οὖν εἶδεν ἡμᾶς ἡ Ξανθίππη, ἀνευφήμησέ τε καὶ τοιαῦτ' ἄττα εἶπεν, οἷα δὴ εἰώθασιν αἱ γυναῖκες, ὅτι Ὦ Σώκρατες, ὕστατον δὴ σὲ προσεροῦσι νῦν οἱ ἑπιτήδειοι καὶ σὺ τούτους. Καὶ ὁ Σωκράτης βλέψας εἰς τὸν Κρίτωνα, Ὦ Κρίτων, ἔφη, ἀπαγαγέτω τις ταύτην οἴκαδε. Καὶ ἐκείνῳ μὲν ἀπῆγόν τινες τῶν τοῦ Κρίτωνος βοῶσάν τε καὶ κοπτομένην· ὁ δὲ Σωκράτης ἀνακαθιζόμενος ἐπὶ τὴν κλίνην συνέκαμψέ τε τὸ σκέλος καὶ ἔτριψε τῇ χειρί, καὶ τρίβων ἅμα Ὡς ἄτοπον, ἔφη, ὦ ἄνδρες, ἔοικέ τι εἶναι τοῦτο ὃ καλοῦσιν οἱ ἄνθρωποι ἡδύ· ὡς θαυμασίως πέφυκε πρὸς τὸ δοκοῦν ἐναντίον εἶναι, τὸ λυπηρόν, τῷ ἅμα μὲν αὐτὼ μὴ ἐθέλειν παραγίγνεσθαι τῷ ἀνθρώπῳ, ἐὰν

Cum vero reversi essemus, exiens nobis obvius ianitor, qui nos solebat admittere, exspectare iussit nec prius ingredi quam ab ipso accersiremur. Solvunt enim, inquit, undecim viri Socratem, illique denuntiant hodie mortem esse obeundam. Neque deinde admodum commoratus rediit ad nos, iussitque intrare. Itaque introeuntes Socratem quidem invenimus compedibus paulo ante solutum; Xanthippen vero (nosti mulierem) iuxta sedentem puerumque eius manibus tenentem. Quae nos cum vidisset, eiulare coepit, et qualia mulieres solent, exclamare: O Socrates, inquit, nunquam amplius affabuntur te tui familiares, neque tu illos. At Socrates Critonem intuitus, O Crito, inquit, deducat quis hanc domum. Et illam quidem reduxerunt quidam Critonis domestici, vociferantem atque plangentem. Socrates autem sedens in lectica contraxit ad se crus, manuque perfricuit, atque inter fricandum sic inquit: Quam mira videtur o viri, haec res esse, quam nominant homines voluptatem quamque miro naturaliter se habet modo ad dolorem ipsum qui eius contrarius esse videtur: quippe cum simul homini

δέ τις διώκῃ τὸ ἕτερον καὶ λαμβάνῃ, σχεδόν τι ἀναγκάζεσθαι ἀεὶ λαμβάνειν καὶ τὰ ἕτερον, ὥς περ ἐκ μιᾶς κορυφῆς συνημμένω δύ' ὄντε. καί μοι δοκεῖ, ἔφη, εἰ ἐνενόησεν αὐτὰ Αἴσωπος, μῦθον ἂν συνθεῖναι, ὡς ὁ θεὸς βουλόμενος αὐτὰ διαλλάξαι πολεμοῦντα, ἐπειδὴ οὐκ ἠδύνατο, ξυνῆψεν εἰς ταὐτὸν αὐτῶν τὰς κορυφάς, καὶ διὰ ταῦτα ᾧ ἂν τὸ ἕτερον παραγένηται, ἐπακολουθεῖ ὕστερον καὶ τὸ ἕτερον. ὥς περ οὖν καὶ αὐτῷ ἐμοὶ ἔοικεν, ἐπειδὴ ὑπὸ τοῦ δεσμοῦ ἦν ἐν τῷ σκέλει πρότερον τὸ ἀλγεινόν, ἥκειν δὴ φαίνεται ἐπακολουθοῦν τὸ ἡδύ. Ὁ οὖν Κέβης ὑπολαβὼν Νὴ τὸν Δία, ὦ Σώκρατες, ἔφη, εὖ γ' ἐποίησας ἀναμνήσας με. περὶ γάρ τοι τῶν ποιημάτων ὧν πεποίηκας, ἐντείνας τοὺς τοῦ Αἰσώπου λόγους καὶ τὸ εἰς τὸν Ἀπόλλω προοίμιον, καὶ ἄλλοι τινές με ἤδη ἤροντο, ἀτὰρ καὶ Εὔηνος πρώην, ὅ τί ποτε διανοηθείς, ἐπειδὴ δεῦρο ἦλθες, ἐποίησας αὐτά, πρότερον οὐδὲν πώποτε ποιήσας. εἰ οὖν τί σοι μέλει τοῦ ἔχειν ἐμὲ Εὐήνῳ ἀποκρίνασθαι, ὅταν με αὖθις ἔρηται, εὖ οἶδα γὰρ ὅτι ἐρήσεται, εἰπὲ τί χρή με λέγειν. Λέγε τοίνυν, ἔφη, αὐτῷ, ὦ Κέβης, τἀληθῆ, ὅτι οὐκ ἐκείνῳ βουλόμενος οὐδὲ τοῖς ποιήμασιν αὐτοῦ

esse nolint. attamen si quis prosequitur capitque alterum, semper ferme alterum quoque accipere cogitur; quasi ex eodem vertice sint ambo connexa. Arbitror equidem Aesopum, si haec animadvertisset, fabulam fuisse facturum: videlicet Deum ipsum, cum ipsa inter se pugnantia vellet conciliare neque id facere posset, in unum saltem eorum apices coniunxisse; proptereaque cuicunque adest alterum, eidem mox alterum quoque adesse. Quod quidem mihi accidit in praesentia. siquidem modo crus propter vincula afficiebatur dolore; sed huic succedere voluptas iam videtur. Ad haec Cebes, Per Iovem, inquit, o Socrates, opportune mihi id in memoriam revocasti. cum enim poemata composueris, intendens sermones Aesopi propemiumque in Apollinem; tum alii multi me interrogaverunt, tum Evanus praecipue atque prius, quonam consilio, postquam huc devenisti, haec feceris, quae prius feceras nunquam. Si igitur tibi curae est, ut habeam, quod respondeam Evano, quando iterum ex me quaesierit, quod certo scio ipsum esse facturum; dic quaeso, quid illi sit respondendum. Vera, inquit, o Cebes, responde, me id effecisse, non ut vel sibi gratificarer vel cum suis car-

ἀντίτεχνος εἶναι ἐποίησα ταῦτα· ἤδειν γὰρ ὡς οὐ ῥᾴδιον εἴη· ἀλλ' ἐνυπνίων τινῶν ἀποπειρώμενος τί λέγοι, καὶ ἀφοσιούμενος εἰ ἄρα πολλάκις ταύτην τὴν μουσικήν μοι ἐπιτάττοι ποιεῖν, ἦν γὰρ δὴ ἄττα τοιάδε· πολλάκις μοι φοιτῶν τὸ αὐτὸ ἐνύπνιον ἐν τῷ παρελθόντι βίῳ, ἄλλοτ' ἐν ἄλλῃ ὄψει φαινόμενον, τὰ αὐτὰ δὲ λέγον, Ὦ Σώκρατες, ἔφη, μουσικὴν ποίει καὶ ἐργάζου. καὶ ἐγὼ ἔν γε τῷ πρόσθεν χρόνῳ, ὅ περ ἔπραττον, 61 τοῦτο ὑπελάμβανον αὐτό μοι παρακελεύεσθαί τε καὶ ἐπικελεύειν, ὥς περ οἱ τοῖς θέουσι διακελευόμενοι· καὶ ἐμοὶ οὕτω τὸ ἐνύπνιον, ὅ περ ἔπραττον, τοῦτο ἐπικελεύειν, μουσικὴν ποιεῖν, ὡς φιλοσοφίας μὲν οὔσης μεγίστης μουσικῆς, ἐμοῦ δὲ τοῦτο πράττοντος. νῦν δ' ἐπειδὴ ἥ τε δίκη ἐγένετο καὶ ἡ τοῦ θεοῦ ἑορτὴ διεκώλυέ με ἀποθνήσκειν, ἔδοξε χρῆναι, εἰ ἄρα πολλάκις μοι προστάττοι τὸ ἐνύπνιον ταύτην τὴν δημώδη μουσικὴν ποιεῖν, μὴ ἀπειθῆσαι αὐτῷ ἀλλὰ ποιεῖν· ἀσφαλέστερον γὰρ εἶναι μὴ ἀπιέναι πρὶν ἀφοσιώσασθαι ποιήσαντα ποιήματα, πειθόμενον τῷ ἐνυπνίῳ. οὕτω δὴ πρῶτον μὲν εἰς τὸν θεὸν ἐποίησα, οὗ ἦν ἡ παροῦσα 2(θυσία· μετὰ δὲ τὸν θεόν, ἐννοήσας ὅτι τὸν ποιητὴν δέοι, εἴ περ μέλλει ποιητὴς εἶναι, ποιεῖν μύθους ἀλλ' οὐ

minibus decertarem: sciebam enim facile id non esse: verum ut insomnia quaedam experirer, me simul expians, num forte haec sit ea musica, quam saepius iam exercere me iubent. Nam frequenter in superiori tempore insomnium idem, licet alia atque alia forma sese mihi offerens, eadem semper ita praecepit, Fac, o Socrates, musicam, atque exerce. Ego igitur, quod in superiori tempore faciebam, hoc mihi praeceptum arbitrabar: et quemadmodum currentes adhortari solemus, sic, quod ipse antea faciebam, ad idem me insomnium cohortari putabam; quasi philosophia maxima musica foret. Postquam vero facto iam de me iudicio mori me interim Dei festivitas inhiberet: censui oportere, si forte insomnium totiens iubeat populare hanc musicam exercere, non negligere eius praeceptum. Tutiu enim fore arbitratus sum, antequam e vita migrarem, expiar animum atque, ut monet insomnium, poemata facere. Quam obrem primo equidem cecini eum ipsum, cuius tunc sacra cele brabantur: atque post Deum, iudicans oportere eum, qui poe futurus sit, non sermones sed fabulas facere, me vero non ea

λόγους καὶ αὐτὸς οὐκ ἦ μυθολογικός, διὰ ταῦτα δή, οὓς προχείρους εἶχον καὶ ἠπιστάμην μύθους τοὺς Αἰσώπου, τούτων ἐποίησα οἷς πρώτοις ἐνέτυχον. ταῦτα οὖν, ὦ Κέβης, Εὐηνῷ φράζε, καὶ ἐρρῶσθαι καὶ ἂν σωφρονῇ ἐμὲ διώκειν. ἄπειμι δέ, ὡς ἔοικε, τήμερον· κελεύουσι γὰρ Ἀθηναῖοι. Καὶ ὁ Σιμμίας, Οἷον παρακελεύει, ἔφη, τοῦτο, ὦ Σώκρατες, Εὐηνῷ; πολλὰ γὰρ ἤδη ἐντετύγηκα τῷ ἀνδρί· σχεδὸν οὖν ἐξ ὧν ἐγὼ ἤσθημαι, οὐδ' ὁπωστιοῦν ἑκὼν εἶναι πείσεται. Τί δαί, ἦ δ' ὅς, οὐ φιλόσοφος Εὐηνός; Ἔμοιγε δοκεῖ, ἔφη ὁ Σιμμίας. Ἐθελήσει τοίνυν, ἔφη, καὶ Εὐηνὸς καὶ πᾶς ὅτῳ ἀξίως τούτου τοῦ πράγματος μέτεστιν. οὐ μέντοι γ' ἴσως βιάσεται αὑτόν· οὐ γάρ φασι θεμιτὸν εἶναι. Καὶ ἅμα λέγων ταῦτα καθῆκε τὰ σκέλη ἀπὸ τῆς κλίνης ἐπὶ τὴν γῆν, καὶ καθεζόμενος οὕτως ἤδη τὰ λοιπὰ διελέγετο.

Ἤρετο οὖν αὐτὸν ὁ Κέβης, Πῶς τοῦτο λέγεις, ὦ Σώκρατες, τὸ μὴ θεμιτὸν εἶναι ἑαυτὸν βιάζεσθαι, ἐθέλειν δ' ἄν τῷ ἀποθνήσκοντι τὸν φιλόσοφον ἕπεσθαι; Τί δαί, ὦ Κέβης; οὐκ ἀκηκόατε σύ τε καὶ Σιμμίας περὶ τῶν τοιούτων Φιλολάῳ συγγεγονότες; Οὐδέν γε σαφές, ὦ Σώκρατες. Ἀλλὰ μὴν κἀγὼ ἐξ ἀκοῆς περὶ

fabulatorem, nonnullas ex fabulis Aesopi, quas sciebam, promptioresque habebam, ut in quamque prius incidi, modulatus sum. Haec igitur, o Cebes, refer Evano: et valere iube, atque consule, ut si probe sapit, me sequatur. migro enim hinc hodie. sic enim Athenienses iubent. Tunc Simmias, Quale id est, inquit, o Socrates, quod Evano mandas? saepe quidem cum illo fui: et quantum de illo sentio, nullo paene modo libens ille tibi parebit. *So.* Quid vero? nonne philosophus est Evanus? *Sim.* Mihi quidem videtur. *So.* Volet igitur et Evanus et omnis, quicunque huius rei digne est particeps. Non tamen forte sibi vim inferet. non enim fas esse aiunt. Et simul haec dicens, crura e lectica demisit in terram; atque ita sedens deinceps reliqua disputavit. Quaesivit igitur ab eo Cebes, Quonam id modo ais, o Socrates? fas quidem non esse seipsum violare; philosophum tamen optare morientem sequi? *So.* Sed dic, o Cebes, nonne tu Simmiasque talia quaedam audivistis a Philolao, quo familiariter utebamini? *Ce.* Manifesti quidem nihil, o Socrates. *So.* Atqui ego quoque de his rebus ex auditu loquor.

αὐτῶν λέγω· ἃ μὲν οὖν τυγχάνω ἀκηκοὼς, φθόνος οὐδεὶς λέγειν. καὶ γὰρ ἴσως καὶ μάλιστα πρέπει μέλλοντα ἐκεῖσε ἀποδημεῖν διασκοπεῖν τε καὶ μυθολογεῖν περὶ τῆς ἀποδημίας τῆς ἐκεῖ, ποίαν τιν' αὐτὴν οἰόμεθα εἶναι· τί γὰρ ἄν τις καὶ ποιοῖ ἄλλο ἐν τῷ μέχρι ἡλίου δυσμῶν χρόνῳ; Κατὰ τί οὖν δή ποτε οὔ φασι θεμιτὸν εἶναι αὐτὸν ἑαυτὸν ἀποκτιννύναι, ὦ Σώκρατες; ἤδη γὰρ ἔγωγε, ἃ περ νῦν δὴ σὺ ἤρου, καὶ Φιλολάου ἤκουσα, ὅτε παρ' ἡμῖν διητᾶτο, ἤδη δὲ καὶ ἄλλων τινῶν, ὡς οὐ δέοι τοῦτο ποιεῖν· σαφὲς δὲ περὶ αὐτῶν οὐδενὸς πώποτε οὐδὲν ἀκήκοα. Ἀλλὰ προθυμεῖσθαι χρή, ἔφη· τάχα γὰρ ἂν καὶ ἀκούσαις. ἴσως μέντοι θαυμαστόν σοι φανεῖται, εἰ τοῦτο μόνον τῶν ἄλλων ἁπάντων ἁπλοῦν ἐστὶ καὶ οὐδέποτε τυγχάνει τῷ ἀνθρώπῳ, ὥς περ καὶ τἆλλα, ἔστιν ὅτε καὶ οἷς βέλτιον τεθνάναι ἢ ζῆν. οἷς δὲ βέλτιον τεθνάναι, θαυμαστὸν ἴσως σοι φαίνεται εἰ τούτοις τοῖς ἀνθρώποις μὴ ὅσιόν ἐστιν αὐτοὺς ἑαυτοὺς εὖ ποιεῖν, ἀλλ' ἄλλον δεῖ περιμένειν εὐεργέτην. Καὶ ὁ Κέβης ἠρέμα ἐπιγελάσας Ἴττω Ζεύς, ἔφη, τῇ αὐτοῦ φωνῇ εἰπών. Καὶ γὰρ ἂν δόξειεν, ἔφη ὁ Σωκράτης, οὕτω γ' εἶναι ἄλογον· οὐ μέντοι ἀλλ' ἴσως ἔχει τινὰ λόγον. ὁ μὲν οὖν ἐν ἀπορρήτοις λεγόμενος

Quae igitur forte ipse audivi, referre vobis nulla invidia prohibebit. etenim forte maxime decet, illo migraturum considerare, atque effingere, qualis fore putanda sit haec ipsa migratio. quid enim aliud usque ad solis occasum quis faciat? *Ce.* Quam ob causam, o Socrates, nefas esse aiunt, sibimet manus inferre? iam enim, quod modo quaerebas, ego a Philolao audivi, cum apud nos observaretur, et ab aliis insuper nonnullis, non decere id facere: apertum tamen hac de re quicquam nihil ab aliquo unquam audivi. *So.* Sed attentione iam opus est. nam et si audiveris, mirum tamen forte videri possit, si hoc solum ex aliis omnibus simplex sit; nec accidat unquam homini, quemadmodum cetera, quando et quibusdam melius mori quam vivere, itaque mirum tibi forte videbitur, si his quibus praestat mori, non liceat sibimet prodesse, sed aliud oporteat exspectare, qui prosit. Tunc Cebes subridens Thebanorum more, Proh Iuppiter, inquit. *So.* Atqui videri quid potest id sic absurdum. fortasse tamen quandam habet rationem. Profecto sermo ille, qui de his in arcanis habetur,

περὶ αὐτῶν λόγος, ὡς ἔν τινι φρουρᾷ ἐσμὲν οἱ ἄνθρωποι καὶ οὐ δεῖ δὴ ἑαυτὸν ἐκ ταύτης λύειν οὐδ' ἀποδιδράσκειν, μέγας τέ τίς μοι φαίνεται καὶ οὐ ῥᾴδιος διιδεῖν· οὐ μέντοι ἀλλὰ τόδε γέ μοι δοκεῖ, ὦ Κέβης, εὖ λέγεσθαι, τὸ θεοὺς εἶναι ἡμῶν τοὺς ἐπιμελομένους καὶ ἡμᾶς τοὺς ἀνθρώπους ἓν τῶν κτημάτων τοῖς θεοῖς εἶναι. ἢ σοὶ οὐ δοκεῖ οὕτως; Ἔμοιγ', ἔφη ὁ Κέβης. Οὐκοῦν, ἦ δ' ὅς, καὶ σὺ ἂν τῶν σαυτοῦ κτημάτων εἴ τι αὐτὸ ἑαυτὸ ἀποκτιννύοι μὴ σημήναντός σου ὅτι βούλει αὐτὸ τεθνάναι, χαλεπαίνοις ἂν αὐτῷ, καὶ εἴ τινα ἔχοις τιμωρίαν, τιμωροῖο ἄν; Πάνυ γ', ἔφη. Ἴσως τοίνυν ταύτῃ οὐκ ἄλογον μὴ πρότερον αὐτὸν ἀποκτιννύναι δεῖν, πρὶν ἂν ἀνάγκην τινὰ ὁ θεὸς ἐπιπέμψῃ, ὥς περ καὶ τὴν νῦν παροῦσαν ἡμῖν. Ἀλλ' εἰκός, ἔφη ὁ Κέβης, τοῦτό γε φαίνεται. ὃ μέντοι νῦν δὴ ἔλεγες, τὸ τοὺς φιλοσόφους ῥᾳδίως ἂν ἐθέλειν ἀποθνήσκειν, ἔοικε τοῦτο, ὦ Σώκρατες, ἀτόπῳ, εἴ περ ὃ νῦν δὴ ἐλέγομεν εὐλόγως ἔχει, τὸ θεόν τε εἶναι τὸν ἐπιμελούμενον ἡμῶν καὶ ἡμᾶς ἐκείνου κτήματα εἶναι. τὸ γὰρ μὴ ἀγανακτεῖν τοὺς φρονιμωτάτους ἐκ ταύτης τῆς θεραπείας ἀπιόντας, ἐν ᾗ ἐπιστατοῦσιν αὐτῶν οἵ περ ἄριστοί εἰσι τῶν ὄντων ἐπιστάται, θεοί, οὐκ ἔχει λό-

quadam custodia esse homines, neque decere quenquam ex hac seipsum solvere neque aufugere, magnus quidem mihi videtur neque cognitu facilis. Verumtamen id mihi, o Cebes, recte apparet dictum, Deos quidem curam habere nostrum; nos vero homines unam quandam ex possessionibus esse Deorum. an non ita tibi videtur? *Ce.* Mihi quidem. *So.* Nonne igitur et tu, si quid ex mancipiis tuis seipsum perimeret, cum tu nullo modo id permisisses, irascereris utique illi, et, si potestatem haberes, poena quadam afficeres? *Ce.* Omnino. *So.* Forte igitur hac ratione haud praeter rationem est, non prius decere seipsum interficere, quam Deus necessitatem aliquam imposuerit, qualem nobis imposuit in praesentia. *Ce.* Consentaneum id quidem apparet. Quod vero dicebas modo, philosophos perfacile velle mori, absurdum, o Socrates, videtur esse; siquidem, quod nunc diximus, rationem habet, Deum videlicet nostrum esse curatorem, nos vero in rebus eius positos esse. Nullam enim id rationem habet, prudentissimos videlicet homines non aegre ferre, ab ea cura se amoveri, quam sibi praestant Dii, optimi

γον. οὐ γάρ που αὐτός γε ἑαυτοῦ οἴεται ἄμεινον ἐπιμελήσεσθαι ἐλεύθερος γενόμενος· ἀλλ' ἀνόητος μὲν ἀνθρωπος τάχ' ἂν οἰηθείη ταῦτα, φευκτέον εἶναι ἀπὸ τοῦ δεσπότου, καὶ οὐκ ἂν λογίζοιτο ὅτι οὐ δεῖ ἀπό γε τοῦ ἀγαθοῦ φεύγειν ἀλλ' ὅτι μάλιστα παραμένειν, διὸ ἀλογίστως ἂν φεύγοι· ὁ δὲ νοῦν ἔχων ἐπιθυμοῖ που ἂν ἀεὶ εἶναι παρὰ τῷ αὐτοῦ βελτίονι. καί τοι οὕτως, ὦ Σώκρατες, τοὐναντίον εἶναι εἰκὸς ἢ ὃ νῦν δὴ ἐλέγετο· τοὺς μὲν γὰρ φρονίμους ἀγαναπτεῖν ἀποθνήσκοντας πρέπει, τοὺς δ' ἄφρονας χαίρειν. Ἀκούσας οὖν ὁ Σωκράτης ἡσθῆναί τέ μοι ἔδοξε τῇ τοῦ Κέβητος παραμυθείᾳ, καὶ ἐπιβλέψας εἰς ἡμᾶς Ἀεί τοι, ἔφη, ὁ Κέβης λόγους τινὰς ἀνερευνᾷ, καὶ οὐ πάνυ εὐθέως ἐθέλει πείθεσθαι ὅ τι ἄν τις εἴπῃ. Καὶ ὁ Σιμμίας Ἀλλὰ μήν, ἔφη, ὦ Σώκρατες, νῦν γε δοκεῖ τί μοι καὶ αὐτῷ λέγειν Κέβης· τί γὰρ ἂν βουλόμενοι ἄνδρες σοφοὶ ὡς ἀληθῶς δεσπότας ἀμείνους αὐτῶν φεύγοιεν καὶ ῥᾳδίως ἀπαλλάττοιντο αὐτῶν; καί μοι δοκεῖ Κέβης εἰς σὲ τείνειν τὸν λόγον, ὅτι οὕτω ῥᾳδίως φέρεις καὶ ἡμᾶς ἀπολείπων καὶ ἄρχοντας ἀγαθούς, ὡς αὐτὸς ὁμολογεῖς, θεούς. Δίκαια, ἔφη, λέγετε. οἶμαι γὰρ ὑμᾶς λέγειν ὅτι χρὴ

omnium rerum gubernatores. Nunquam enim putaret vir prudens, ipsum se melius esse curaturum, si liber evaserit: sed demens aliquis forsitan id putaret, fugiendum scilicet esse a domino; neque cogitaret non esse id, quod bonum est, fugiendum, sed in eo maxime permanendum. ideoque absque ratione fugeret. Qui vero mentem habet, semper apud eum, qui sit melior, esse cupit. Atque ita, o Socrates, contra omnino conveniens esse videtur quam quod paulo ante dicebatur. Sapientes quidem decere graviter mortem ferre; insipientes vero lubenter. Socrates igitur, cum haec audisset, delectari visus est argutia Cebetis. conversusque ad nos, Semper, inquit, hic Cebes rationes quasdam perscrutatur; neque admodum facile, quivis dixerit, vult admittere. Tunc Simmias, Mihi quoque, quit, nonnihil videtur Cebes dicere. Quo enim consilio sapientes viri meliores revera quam ipsi sint, fugiant illisque facile patiantur? Atqui mihi videtur Cebes sermonem in tendere, quod tam facile et nos relinquas et Deos, ut fateris, principes bonos. Iusta dicitis, inquit Socrates. arb

με πρὸς ταῦτα ἀπολογήσασθαι ὡς περ ἐν δικαστηρίῳ. Πάνυ μὲν οὖν, ἔφη ὁ Σιμμίας. Φέρε δή, ἦ δ' ὅς, πειραθῶ πρὸς ὑμᾶς πιθανώτερον ἀπολογήσασθαι ἢ πρὸς τοὺς δικαστάς. ἐγὼ γάρ, ἔφη, ὦ Σιμμία τε καὶ Κέβης, εἰ μὲν μὴ ᾠμην ἥξειν πρῶτον μὲν παρὰ θεοὺς ἄλλους σοφούς τε καὶ ἀγαθούς, ἔπειτα καὶ παρ' ἀνθρώπους τετελευτηκότας ἀμείνους τῶν ἐνθάδε, ἠδίκουν ἂν οὐκ ἀγανακτῶν τῷ θανάτῳ· νῦν δὲ εὖ ἴστε ὅτι παρ' ἄνδρας τε ἐλπίζω ἀφίξεσθαι ἀγαθούς, — καὶ τοῦτο μὲν οὐκ ἂν πάνυ διισχυρισαίμην· ὅτι μέντοι παρὰ θεοὺς δεσπότας πάνυ ἀγαθοὺς ἥξειν, εὖ ἴστε ὅτι, εἴ πέρ τι ἄλλο τῶν τοιούτων, διισχυρισαίμην ἂν καὶ τοῦτο. ὥστε διὰ ταῦτα οὐχ ὁμοίως ἀγανακτῶ, ἀλλ' εὐελπίς εἰμι εἶναί τι τοῖς τετελευτηκόσι καὶ ὡς πέρ γε καὶ πάλαι λέγεται, πολὺ ἀμεινον τοῖς ἀγαθοῖς ἢ τοῖς κακοῖς. Τί οὖν, ἔφη ὁ Σιμμίας, ὦ Σώκρατες; πότερον αὐτὸς ἔχων τὴν διάνοιαν ταύτην ἐν νῷ ἔχεις ἀπιέναι, ἢ κἂν ἡμῖν μεταδοίης; κοινὸν γὰρ δὴ ἔμοιγε δοκεῖ καὶ ἡμῖν εἶναι ἀγαθὸν τοῦτο. καὶ ἅμα σοι ἡ ἀπολογία ἔσται, ἐὰν ἃ περ λέγεις ἡμᾶς πείσῃς. Ἀλλὰ πειράσομαί γε, ἔφη. πρῶτον δὲ Κρίτωνα τόνδε σκεψώμεθα, τί ἐστιν ὃ βού-

enim vos dicere, me ipsum tanquam in iudicio oportere purgare. *Sim.* Et maxime quidem. *So.* Age ergo, conabor nunc apud vos accuratius, quam nuper apud Atheniensium iudices fecerim, me defendere. Equidem, o Simmia atque Cebes, nisi me migraturum putarem primum quidem ad Deos alios sapientes et bonos, deinde ad homines defunctos his, qui hic sunt, meliores, iniuste agerem non moleste ferens mortem. Nunc certe habetote, sperare me ad viros bonos iturum. sed hoc quidem haud omnino asseverarem. Quod vero ad Deos dominos valde bonos iturus sim, certum habetote, si quid aliud eiusmodi, et hoc utique me affirmaturum. Propterea haud similiter mortem moleste fero: sed bono animo sum; speroque superesse aliquid his, qui defuncti sunt; atque, ut iam diu dicitur, multo melius bonis fore quam malis. *Sim.* Quidnam, o Socrates, cogitas? nunquid ipse cum isthac sententia hinc abire? an nos quoque participes eius relinquere? nempe commune nobis quoque id bonum arbitror esse debere. praeterea ita demum te apud nos purgaveris, si, quae dicis, nobis etiam persuaseris. *So.* Dabo equidem operam. sed Critonem prius auscultemus, vi-

λεσθαί μοι δοκεῖ πάλαι εἰπεῖν. Τί δέ, ὦ Σώκρατες, ἔφη ὁ Κρίτων, ἄλλο γε ἢ πάλαι μοι λέγει ὁ μέλλων σοι δώσειν τὸ φάρμακον, ὅτι χρή σοι φράζειν ὡς ἐλάχιστα διαλέγεσθαι; φησὶ γὰρ θερμαίνεσθαι μᾶλλον τοὺς διαλεγομένους, δεῖν δὲ οὐδὲν τοιοῦτον προσφέρειν τῷ φαρμάκῳ· εἰ δὲ μή, ἐνίοτε ἀναγκάζεσθαι καὶ δὶς καὶ τρὶς πίνειν τούς τι τοιοῦτον ποιοῦντας. Καὶ ὁ Σωκράτης, Ἔα, ἔφη, χαίρειν αὐτόν· ἀλλὰ μόνον τὸ ἑαυτοῦ παρασκευαζέτω ὡς καὶ δὶς δώσων, ἐὰν δὲ δέῃ, καὶ τρίς. Ἀλλὰ σχεδὸν μέν τι ἤδη, ἔφη ὁ Κρίτων· ἀλλά μοι πάλαι πράγματα παρέχει. Ἔα αὐτόν, ἔφη.

Ἀλλ' ὑμῖν δὴ τοῖς δικασταῖς βούλομαι ἤδη τὸν λόγον ἀποδοῦναι, ὡς μοι φαίνεται εἰκότως ἀνὴρ τῷ ὄντι ἐν φιλοσοφίᾳ διατρίψας τὸν βιον θαρρεῖν μέλλων ἀποθανεῖσθαι καὶ εὔελπις εἶναι ἐκεῖ μέγιστα οἴσεσθαι ἀγαθά, ἐπειδὰν τελευτήσῃ. πῶς ἂν οὖν δὴ τοῦθ' οὕτως ἔχοι, ὦ Σιμμία τε καὶ Κέβης; ἐγὼ πειράσομαι φράσαι. κινδυνεύουσι γὰρ ὅσοι τυγχάνουσιν ὀρθῶς ἁπτόμενοι φιλοσοφίας, λελῃθέναι τοὺς ἄλλους ὅτι οὐδὲν ἄλλο αὐτοὶ ἐπιτηδεύουσιν ἢ ἀποθνήσκειν τε καὶ τεθνάναι. εἰ οὖν τοῦτο ἀληθές, ἄτοπον δή που ἂν εἴη προθυμεῖσθαι

detur enim mihi iamdudum nonnihil significare velle. *Cri.* Quidnam putas aliud, o Socrates, quam quod iamdudum mihi dicit is, qui tibi venenum est daturus? iubet enim te moneri, ut quam parcissime loquaris: dicens eos qui disputant, nimium incalescere: nihil vero tale bibituris venenum convenire. alioquin eos, qui id fecerint, cogi interdum bis, quandoque ter venenum bibere. *So.* Mitte ipsum. tantum id, quod est officii eius, paret, tanquam bis et, si oportuerit, ter praebiturus. *Cri.* Et antea quidem ferme id responsurum sciebam. sed me ille iamdudum stimulat. *So.* Mitte ipsum. Ego vero, o iudices, rationem vobis iam reddere volo, ob quam mihi videatur vir, qui per omnem vitam incubuerit philosophiae, merito magna cum fiducia imminentem exspectare mortem, atque bona spe esse se ibi, postquam hinc migraverit, maxima bona reportaturum quemadmodum igitur id ita se habeat, o Simmia atque Ceb conabor equidem aperire. Quicunque philosophiam recte quando attigerunt, nimirum videntur latuisse ceteros homi quod nihil aliud ipsi commentarentur quam mori atque ess mortuos. Quod si id verum est, perabsurdum foret, si,

μὲν ἐν παντὶ τῷ βίῳ μηδὲν ἄλλο ἢ τοῦτο, ἥκοντος δὲ δὴ αὐτοῦ ἀγανακτεῖν ὃ πάλαι προὐθυμοῦντό τε καὶ ἐπετήδευον. Καὶ ὁ Σιμμίας γελάσας Νὴ τὸν Δία, ἔφη, ὦ Σώκρατες, οὐ πάνυ γέ με νῦν δὴ γελασείοντα ἐποίησας γελάσαι. οἶμαι γὰρ ἂν δὴ τοὺς πολλοὺς αὐτὸ τοῦτο ἀκούσαντας δοκεῖν εὖ πάνυ εἰρῆσθαι εἰς τοὺς φιλοσοφοῦντας καὶ ξυμφάναι ἄν, τοὺς μὲν παρ' ἡμῖν ἀνθρώπους καὶ πάνυ, ὅτι τῷ ὄντι οἱ φιλοσοφοῦντες θανατῶσι καὶ σφᾶς γε οὐ λελήθασιν ὅτι ἀξιοί εἰσι τοῦτο πάσχειν. Καὶ ἀληθῆ γ' ἂν λέγοιεν, ὦ Σιμμία, πλήν γε τοῦ σφᾶς μὴ λεληθέναι. λέληθε γὰρ αὐτοὺς ἥ τε θανατῶσι καὶ ᾗ ἄξιοί εἰσι θανάτου καὶ οἷον θανάτου οἳ ὡς ἀληθῶς φιλόσοφοι. εἴπωμεν γάρ, ἔφη, πρὸς ἡμᾶς αὐτούς, χαίρειν εἰπόντες ἐκείνοις· ἡγούμεθά τι τὸν θάνατον εἶναι; Πάνυ γ', ἔφη ὑπολαβὼν ὁ Σιμμίας. Ἆρα μὴ ἄλλο τι ἢ τὴν τῆς ψυχῆς ἀπὸ τοῦ σώματος ἀπαλλαγήν; καὶ εἶναι τοῦτο τὸ τεθνάναι, χωρὶς μὲν ἀπὸ τῆς ψυχῆς ἀπαλλαγὲν αὐτὸ καθ' ἑαυτὸ τὸ σῶμα γεγονέναι, χωρὶς δὲ τὴν ψυχὴν ἀπὸ τοῦ σώματος ἀπαλλαγεῖσαν αὐτὴν καθ' αὑτὴν εἶναι; ἆρα μὴ ἄλλο τι ὁ θάνατος ἢ τοῦτο; Οὔκ, ἀλλὰ τοῦτο, ἔφη. Σκέψαι δή, ὦ γαθέ, ἐὰν ἄρα καὶ σοὶ ξυνδοκῇ ἃ περ καὶ ἐμοί· ἐκ

nihil praeter hoc aliud per omnem vitam studuerint, hoc ipso adveniente, quod iam diu agitabant exercebantque, graviter ferrent. Hinc Simmias arridens, per Iovem, inquit, o Socrates, mihi quidem haud multum ridere cupienti risum expressisti. Nam multos arbitror fore, qui, si id audiverint, aptissime in philosophos dictum putent: nostrosque homines consensuros et valde quidem, philosophos eos revera se ipsos morti praebere; nec tamen se latuisse, quam digni sint morte. *So.* Forte id recte, o Simmia, dicerent, praeter id quod se non latuisse addunt. latuit sane eos, qua ratione veri philosophi et mori studeant et morte sint digni. Sed iam relinquamus illos, nobisque ipsis loquamur. Putamusne aliquid esse mortem? *Sim.* Aliquid certe. *So.* Nunquid aliud quam animae a corpore solutionem? esseque id mortuum esse, scilicet solutum ab anima corpus per se seorsum esse? seorsum quoque a corpore animam solutam, ipsam per seipsam existere? nunquid mors praeter hoc aliud est? *Sim.* Nihil aliud. *So.* Considera, bone vir, num tibi idem quoque et mihi videatur. ex his enim nos arbitror planius,

γὰρ τούτων μᾶλλον οἶμαι ἡμᾶς εἴσεσθαι περὶ ὧν σκοπούμεν. φαίνεταί σοι φιλοσόφου ἀνδρὸς εἶναι ἐσπουδακέναι περὶ τὰς ἡδονὰς καλουμένας τὰς τοιάσδε, οἷον σιτίων τε καὶ ποτῶν; Ἥκιστά γε, ὦ Σώκρατες, ἔφη ὁ Σιμμίας. Τί δαί; τὰς τῶν ἀφροδισίων; Οὐδαμῶς. Τί δαί; τὰς ἄλλας τὰς περὶ τὸ σῶμα θεραπείας δοκεῖ σοι ἐντίμους ἡγεῖσθαι ὁ τοιοῦτος; οἷον ἱματίων διαφερόντων κτήσεις καὶ ὑποδημάτων καὶ τοὺς ἄλλους καλλωπισμοὺς τοὺς περὶ τὸ σῶμα πότερον τιμᾷν σοι δοκεῖ ἢ ἀτιμάζειν, καθ' ὅσον μὴ πολλὴ ἀνάγκη μετέχειν 1
αὐτῶν; Ἀτιμάζειν ἔμοιγε δοκεῖ, ἔφη, ὅ γε ὡς ἀληθῶς φιλόσοφος. Οὐκοῦν ὅλως δοκεῖ σοι, ἔφη, ἡ τοῦ τοιούτου πραγματεία οὐ περὶ τὸ σῶμα εἶναι, ἀλλὰ καθ' ὅσον δύναται ἀφεστάναι αὐτοῦ, πρὸς δὲ τὴν ψυχὴν τετράφθαι; Ἔμοιγε. Ἆρ' οὖν πρῶτον μὲν ἐν τοῖς τοιούτοις
65 δῆλός ἐστιν ὁ φιλόσοφος ἀπολύων ὅτι μάλιστα τὴν ψυχὴν ἀπὸ τῆς τοῦ σώματος κοινωνίας διαφερόντως τῶν ἄλλων ἀνθρώπων; Φαίνεται. Καὶ δοκεῖ γέ που, ὦ Σιμμία, τοῖς πολλοῖς ἀνθρώποις, ᾧ μηδὲν ἡδὺ τῶν τοιούτων μηδὲ μετέχει αὐτῶν, οὐκ ἄξιον εἶναι ζῆν, ἀλλ' ἐγ- 2
γύς τι τείνειν τοῦ τεθνάναι ὁ μηδὲν φροντίζων τῶν ἡδονῶν αἳ διὰ τοῦ σώματός εἰσιν. Ἰάνυ μὲν οὖν ἀλη-

quae perquirimus, inventuros. Videturne tibi philosophi officium esse sectari eas, quae appellantur voluptates, quales sunt epularum atque poculorum? *Sim.* Minime quidem, o Socrate *So.* Sed nunquid venereorum? *Sim.* Nullo modo. *So.* Qui reliquum corporis cultum an multi facere philosophus tibi detur? ut habere vestes egregias calceosque et alia, quae cir corpus sunt ornamenta; utrum multi facere tibi videtur, an hili pendere, nisi quatenus magna cogat necessitas illis u *Sim.* Mihi quidem videtur verus philosophus haec omnia fl cipendere. *So.* An non tibi videtur eiusmodi studium haud corpus quidem declinare, sed, quantum fieri potest, ab illo cedere atque ad animum se convertere? *Sim.* Mihi quidem. Nonne igitur in eiusmodi rebus primum manifeste apparet ph sophus praeter ceteros homines animum, quam maxime pot a commercio corporis segregare? *Sim.* Apparet. *So.* Putant plerique, o Simmia, eum hominem, cui nihil talium dul neque illis fruatur, revera vivere existimandum non esse paene mortuum, cum voluptates corporis non percipiat. *Si*

θῇ λέγεις. Τί δαὶ δὴ περὶ αὐτὴν τὴν τῆς φρονήσεως κτῆσιν, πότερον ἐμπόδιον τὸ σῶμα ἢ οὔ, ἐάν τις αὐτὸ ἐν τῇ ζητήσει κοινωνὸν συμπαραλαμβάνῃ; οἷον τὸ τοιόνδε λέγω· ἆρα ἔχει ἀλήθειάν τινα ὄψις τε καὶ ἀκοὴ τοῖς ἀνθρώποις, ἢ τά γε τοιαῦτα καὶ οἱ ποιηταὶ ἡμῖν ἀεὶ θρυλοῦσιν, ὅτι οὔτ' ἀκούομεν ἀκριβὲς οὐδὲν οὔτε ὁρῶμεν; καί τοι εἰ αὗται τῶν περὶ τὸ σῶμα αἰσθήσεων μὴ ἀκριβεῖς εἰσὶ μηδὲ σαφεῖς, σχολῇ αἵ γε ἄλλαι· πᾶσαι γάρ που τούτων φαυλότεραί εἰσιν. ἢ σοι οὐ δοκοῦσιν; Πάνυ μὲν οὖν, ἔφη. Πότε οὖν, ἦ δ' ὅς, ἡ ψυχὴ τῆς ἀληθείας ἅπτεται; ὅταν μὲν γὰρ μετὰ τοῦ σώματος ἐπιχειρῇ τι σκοπεῖν, δῆλον ὅτι τότε ἐξαπατᾶται ὑπ' αὐτοῦ. Ἀληθῆ λέγεις. Ἆρ' οὖν οὐκ ἐν τῷ λογίζεσθαι, εἴ πέρ που ἄλλοθι, κατάδηλον αὐτῇ γίγνεταί τι τῶν ὄντων; Ναί. Λογίζεται δέ γέ που τότε κάλλιστα, ὅταν μηδὲν τούτων αὐτὴν παραλυπῇ, μήτε ἀκοὴ μήτε ὄψις μήτε ἀλγηδὼν μή τέ τις ἡδονή, ἀλλ' ὅτι μάλιστα αὐτὴ καθ' αὑτὴν γίγνηται ἐῶσα χαίρειν τὸ σῶμα, καὶ καθ' ὅσον δύναται μὴ κοινωνοῦσα αὐτῷ μηδ' ἁπτομένη ὀρέγηται τοῦ ὄντος. Ἔστι ταῦτα. Οὐκοῦν καὶ ἐνταῦθα ἡ τοῦ φιλοσόφου ψυχὴ μάλιστα ἀτι-

rissima narras. *So.* Quid autem circa sapientiae ipsius acquisitionem? utrum impedimento est corpus, si quis ipsum socium ad investigandum assumpserit: necne? quale utique, tale aliquid dico. Habentne visus et auditus veritatem in hominibus aliquam? an talia quaedam ipsi quoque poetae semper canunt, nihil nos audire, nihil videre sincerum? Atqui si ii corporis sensus sinceri certique non sunt, neque etiam alii: quippe cum ceteri omnes his quodammodo deteriores sint. an non tibi videntur? *Sim.* Prorsus. *So.* Quando igitur animo veritatem attingit? quando enim aliquid cum corpore tentat investigare, procul dubio decipitur a corpore. *Sim.* Vere loqueris. *So.* An non sicubi proprie in ipsa ratiocinatione fit sibi aliquid eorum, quae vere sunt, manifestum? *Sim.* Ita est. *So.* Ratiocinatur autem tunc optime, quando horum nihil eum perturbat, neque auditus neque visus, neque dolor neque voluptas: sed quam maxime seipsum in se recipiens, deserit corpus, neque quicquam, quoad fieri potest, cum illo communicans neque attingens, ipsum, quod vere est, affectat. *Sim.* Est ita. *So.* Nonne et in hoc philosophi animus maxime contemnit corpus, ab eo-

ζει τὸ σῶμα καὶ φεύγει ἀπ' αὐτοῦ, ζητεῖ δὲ αὐτὴ δ' αὐτὴν γίγνεσθαι; Φαίνεται. Τί δὲ δὴ τὰ τοιάδε, Σιμμία; φαμέν τι εἶναι δίκαιον αὐτὸ ἢ οὐδέν; Φαμὲν μέντοι νὴ Δία. Καὶ αὖ καλόν γέ τοι καὶ ἀγαθόν; Πῶς δ' οὔ; Ἤδη οὖν πώποτέ τι τῶν τοιούτων τοῖς ὀφθαλμοῖς εἶδες; Οὐδαμῶς, ἦ δ' ὅς. Ἀλλ' ἄλλῃ τινὶ αἰσθήσει τῶν διὰ τοῦ σώματος ἐφήψω αὐτῶν; λέγω δὲ περὶ πάντων, οἷον μεγέθους πέρι, ὑγιείας, ἰσχύος, καὶ τῶν ἄλλων ἑνὶ λόγῳ ἁπάντων τῆς οὐσίας, ὃ τυγχάνει ἕκαστον ὄν· ἆρα διὰ τοῦ σώματος αὐτῶν τἀληθέστατον θεωρεῖται, ἢ ὧδ' ἔχει· ὃς ἂν μάλιστα ἡμῶν καὶ ἀκριβέστατα παρασκευάσηται αὐτὸ ἕκαστον διανοηθῆναι περὶ οὗ σκοπεῖ, οὗτος ἂν ἐγγύτατα ἴοι τοῦ γνῶναι ἕκαστον; Πάνυ μὲν οὖν. Ἆρ' οὖν ἐκεῖνος ἂν τοῦτο ποιήσειε καθαρώτατα, ὅς τις ὅτι μάλιστα αὐτῇ τῇ διανοίᾳ ἴοι ἐφ' ἕκαστον, μήτε τὴν ὄψιν παρατιθέμενος ἐν τῷ διανοεῖσθαι μή τέ τιν' ἄλλην αἴσθησιν ἐφέλκων μηδεμίαν μετὰ τοῦ λογισμοῦ, ἀλλ' αὐτῇ καθ' αὑτὴν εἰλικρινεῖ τῇ διανοίᾳ χρώμενος αὐτὸ καθ' αὑτὸ εἰλικρινὲς ἕκαστον ἐπιχειροίη θηρεύειν τῶν ὄντων, ἀπαλλαγεὶς ὅτι μάλιστα ὀφθαλμῶν τε καὶ ὤτων καὶ ὡς ἔπος εἰπεῖν

que aufugit, quaeritque secundum seipsum vivere? *Sim.* Apparet. *So.* Quid vero haec, o Simmia? Dicimusne iustum ipsum esse aliquid an nihil? *Sim.* Aliquid per Iovem. *So.* Rursus ipsum pulchrum ipsumque bonum aliquid esse? *Sim.* Quidni? *So.* Num aliquando horum aliquid oculis percepisti? *Sim.* Nunquam. *So.* An alio quodam sensu corporis attigisti? loquor autem de omnibus, veluti de ipsa magnitudine, de sanitate, d robore ipso, ac summatim de ceterorum omnium essentia, est, quod unumquodque sit: nunquid per corpus quod in verissimum est perspicitur? an ita se res habet. quicunque strum maxime et sincerissime cogitare mente se comparat ips quod aggreditur cogitandum, hic proxime ad cognitionem i accedit? *Sim.* Prorsus. *So.* Nonne igitur ille purissime ret, quicunque ipsa mentis excogitatione quam maxime s unumquodque conferret, neque visum in excogitando adhi neque sensum prorsus ullum ratiocinationi coniungens: sed secundum se ipsam mentis excogitatione sincera utens, i per se quodlibet sincerum existens studeret venari, ab lis, ab auribus et, ut summatim dicam, a toto corpore

ξύμπαντος τοῦ σώματος, ὡς ταράττοντος καὶ οὐκ ἐῶντος τὴν ψυχὴν κτήσασθαι ἀλήθειάν τε καὶ φρόνησιν, ὅταν κοινωνῇ; ἆρ' οὐχ οὕτός ἐστιν, ὦ Σιμμία, εἴ πέρ τις καὶ ἄλλος, ὁ τευξόμενος τοῦ ὄντος; Ὑπερφυῶς, ἔφη ὁ Σιμμίας, ὡς ἀληθῆ λέγεις, ὦ Σώκρατες. Οὐκοῦν ἀνάγκη, ἔφη, ἐκ πάντων τούτων παρίστασθαι δόξαν τοιάνδε τινὰ τοῖς γνησίως φιλοσόφοις, ὥστε καὶ πρὸς ἀλλήλους τοιαῦτ' ἄττα λέγειν, ὅτι Κινδυνεύει τοι ὥς περ ἀτραπός τις ἡμᾶς ἐκφέρειν μετὰ τοῦ λόγου ἐν τῇ σκέψει, ὅτι ἕως ἂν τὸ σῶμα ἔχωμεν καὶ ξυμπεφυρμένη ᾖ ἡμῶν ἡ ψυχὴ μετὰ τοῦ τοιούτου κακοῦ, οὐ μή ποτε κτησόμεθα ἱκανῶς οὗ ἐπιθυμοῦμεν· φαμὲν δὲ τοῦτο εἶναι τὸ ἀληθές. μυρίας μὲν γὰρ ἡμῖν ἀσχολίας παρέχει τὸ σῶμα διὰ τὴν ἀναγκαίαν τροφήν· ἔτι δὲ ἄν τινες νόσοι προσπέσωσιν, ἐμποδίζουσιν ἡμῶν τὴν τοῦ ὄντος θήραν· ἐρώτων δὲ καὶ ἐπιθυμιῶν καὶ φόβων καὶ εἰδώλων παντοδαπῶν καὶ φλυαρίας ἐμπίπλησιν ἡμᾶς πολλῆς, ὥστε τὸ λεγόμενον ὡς ἀληθῶς τῷ ὄντι ὑπ' αὐτοῦ οὐδὲ φρονῆσαι ἡμῖν ἐγγίγνεται οὐδέποτε οὐδέν. καὶ χὰρ πολέμους καὶ στάσεις καὶ μάχας οὐδὲν ἄλλο παρέχει ἢ τὸ σῶμα καὶ αἱ τούτου ἐπιθυμίαι. διὰ γὰρ τὴν

utpote perturbante animum, neque permittente veritatem sapientiamque assequi, si quando in communionem recipiatur? An non hic erit, o Simmia, si quis unquam alius, ipsius, quod vere est, compos. *Sim.* Mirifice vera loqueris, Socrates. *So.* Nonne igitur ex his omnibus necessario sequitur, opinionem eiusmodi legitimis philosophis usque adeo constare debere, ut ad se invicem ita loquantur? Necessaria iam ratione concluditur, nos quadam rationis ipsius via ad id considerandum perduci, videlicet donec corpus habemus, animusque noster tanto malo erit admixtus, nunquam nos id, quod desideramus, verum ad votum consecuturos. Impedimenta enim paene innumerabilia corpus praebet propter necessariam eius alimoniam. praeterea morbi nobis hinc incidentes investigationem veritatis impediunt: amoribus, cupiditatibus, timoribus, multiplicibusque imaginibus, multis denique nugis nos implet, ut verissime dicatur nihil pensi unquam ac veri nobis afferre. Nam ad bella, ad seditiones, ad pugnas nihil aliud quam corpus multiplex, eiusque cupiditates impelli. Omnia enim pecuniarum

τῶν χρημάτων κτῆσιν πάντες οἱ πόλεμοι ἡμῖν γίγνονται, τὰ δὲ χρήματα ἀναγκαζόμεθα κτᾶσθαι διὰ τὸ σῶμα, δουλεύοντες τῇ τούτου θεραπείᾳ· καὶ ἐκ τούτου ἀσχολίαν ἄγομεν φιλοσοφίας πέρι διὰ πάντα ταῦτα. τὸ δ' ἔσχατον πάντων, ὅτι ἐάν τις ἡμῖν καὶ σχολὴ γένηται ἀπ' αὐτοῦ καὶ τραπώμεθα πρὸς τὸ σκοπεῖν τι, ἐν παῖς ζητήσεσιν αὖ πανταχοῦ παραπῖπτον θόρυβον παρέχει καὶ ταραχὴν καὶ ἐκπλήττει, ὥστε μὴ δύνασθαι ὑπ' αὐτοῦ καθορᾶν τἀληθές. ἀλλὰ τῷ ὄντι ἡμῖν δέδεικται ὅτι εἰ μέλλομέν ποτε καθαρῶς τι εἴσεσθαι, ἀπαλ- 10
λακτέον αὐτοῦ καὶ αὐτῇ τῇ ψυχῇ θεατέον αὐτὰ τὰ πράγματα· καὶ τότε, ὡς ἔοικεν, ἡμῖν ἔσται οὗ ἐπιθυμοῦμέν τε καὶ φαμὲν ἐρασταὶ εἶναι, φρονήσεως, ἐπειδὰν τελευτήσωμεν, ὡς ὁ λόγος σημαίνει, ζῶσι δὲ οὔ. εἰ γὰρ μὴ οἷόν τε μετὰ τοῦ σώματος μηδὲν καθαρῶς γνῶναι, δυοῖν θάτερον, ἢ οὐδαμοῦ ἔστι κτήσασθαι τὸ εἰδέναι ἢ τελευτήσασι· τότε γὰρ αὐτὴ καθ' αὑτὴν ἔσται ἡ ψυχὴ
67 χωρὶς τοῦ σώματος, πρότερον δ' οὔ. καὶ ἐν ᾧ ἂν ζῶμεν, οὕτως, ὡς ἔοικεν, ἐγγυτάτω ἐσόμεθα τοῦ εἰδέναι, ἐὰν ὅτι μάλιστα μηδὲν ὁμιλῶμεν τῷ σώματι μηδὲ κοι- 20

gratia fiunt. Pecunias autem quaerere cogimur corporis gratia, usui eius inservientes, atque ita fit, ut propter haec omnia a philosophiae studiis abstrahamur. Extremum vero omnium est, quod si quid ab ipso otii nobis contingat, nosque ad considerandum aliquid conferamus, investigantibus nobis rursus ubique sese opponens, tumultu quodam perturbat animum, et quasi percutiens reddit attonitum, adeo ut hoc obstaculo impediti verum perspicere nequeamus. Ceterum nobis revera demonstratum est, si quando optamus pure aliquid intelligere, recedere a corpore oportere atque ipso animo res ipsas considerare. atque tunc, ut apparet, compotes evademus eius, quod affectamus, cuiusve amatores profitemur nos esse, scilicet sapientiae, cum videlicet mortui fuerimus, quemadmodum significat ratio: dum autem vivemus, nequaquam. nempe si nihil cum corpore pure discerni potest, e duobus alterum: aut nullo modo possumus scientiam consequi aut post mortem. Tunc enim animus ipse per seipsum erit seorsim a corpore; prius vero nequaquam. Atque dum vivimus, ita, ut videtur, proxime ad scientiam accedemus, si quam minimum cum corpore commercium habuerimus, neque quicquam cum illo communicaveri-

γωνῶμεν, ὅ τι μὴ πᾶσα ἀνάγκη, μηδὲ ἀναπιμπλώμεθα τῆς τούτου φύσεως, ἀλλὰ καθαρεύωμεν ἀπ' αὐτοῦ, ἕως ἂν ὁ θεὸς αὐτὸς ἀπολύσῃ ἡμᾶς. καὶ οὕτω μὲν καθαροὶ ἀπαλλαττόμενοι τῆς τοῦ σώματος ἀφροσύνης, ὡς τὸ εἰκός, μετὰ τοιούτων τε ἐσόμεθα καὶ γνωσόμεθα δι' ἡμῶν αὐτῶν πᾶν τὸ εἰλικρινές· τοῦτο δ' ἐστὶν ἴσως τἀληθές. μὴ καθαρῷ γὰρ καθαροῦ ἐφάπτεσθαι μὴ οὐ θεμιτὸν ᾖ. Τοιαῦτα οἶμαι, ὦ Σιμμία, ἀναγκαῖον εἶναι πρὸς ἀλλήλους λέγειν τε καὶ δοξάζειν πάντας τοὺς ὀρθῶς φιλομαθεῖς. ἢ οὐ δοκεῖ σοι οὕτως; *Παντός γε μᾶλλον, ὦ Σώκρατες.* Οὐκοῦν, ἔφη ὁ Σωκράτης, εἰ ταῦτ' ἀληθῆ, ὦ ἑταῖρε, πολλὴ ἐλπὶς ἀφικομένῳ οἱ ἐγὼ πορεύομαι, ἐκεῖ ἱκανῶς, εἴ πέρ που ἄλλοθί, κτήσασθαι τοῦτο οὗ ἕνεκα ἡ πολλὴ πραγματεία ἡμῖν ἐν τῷ παρελθόντι βίῳ γέγονεν, ὥστε ἡ γε ἀποδημία ἡ νῦν ἐμοὶ προστεταγμένη μετὰ ἀγαθῆς ἐλπίδος γίγνεται καὶ ἄλλῳ ἀνδρὶ ὃς ἡγεῖται οἱ παρεσκευάσθαι τὴν διάνοιαν ὡς περ κεκαθαρμένην. *Πάνυ μὲν οὖν,* ἔφη ὁ Σιμμίας. *Κάθαρσις* δὲ εἶναι ἆρα οὐ τοῦτο ξυμβαίνει ὃ περ πάλαι ἐν τῷ λόγῳ λέγεται, τὸ χωρίζειν ὅτι μάλιστα ἀπὸ τοῦ σώματος τὴν ψυχὴν καὶ ἐθίσαι αὐτὴν καθ' αὑτὴν πανταχόθεν ἐκ τοῦ σώματος συναγείρεσθαί τε καὶ ἀθροί-

mus, nisi quantum summa cogat necessitas; neque huius natura replebimur, sed ab eius contagione cavebimus, quoad deus ipse nos solvat. Atque ita puri et a corporis insania liberati, ut consentaneum est, cum talibus erimus, cognoscemusque per nos ipsos sincerum quodlibet, id est, forsitan ipsum verum. nam impuro quidem purum attingere nefas est. Talia equidem, o Simmia, iudico necessarium esse omnes discendi cupidos loqui invicem atque opinari. an non ita tibi videtur? *Sim.* Et maxime quidem omnium, o Socrates. *So.* Si haec igitur vera sunt, o amice, magna spes est eunti illuc, quo nunc ego proficiscor, sicubi, et ibi sufficienter eius rei se compotem fieri, cuius gratia tantum nos negotium in superiori vita suscepimus. Hanc ergo migrationem, in praesentia mihi iniunctam, bona cum spe suscipio: similiterque quivis alius, qui modo putavit praeparatam sibi mentem tanquam purificatam. *Sim.* Ita prorsus. *So.* Purificatio vero nonne in hoc consistit, quod iamdudum dicebamus, videlicet ut, quam maxime possumus, seiungamus a corpore animum, eumque assuefaciamus per se undique a corporis

ζεσθαι, καὶ οἰκεῖν κατὰ τὸ δυνατὸν καὶ ἐν τῷ νῦν παρόντι καὶ ἐν τῷ ἔπειτα μόνην καθ' αὑτήν, ἐκλυομένην ὡς περ ἐκ δεσμῶν ἐκ τοῦ σώματος; Πάνυ μὲν οὖν, ἔφη. Οὐκοῦν τοῦτό γε θάνατος ὀνομάζεται, λύσις καὶ χωρισμὸς ψυχῆς ἀπὸ σώματος; Παντάπασί γ', ἦ δ' ὅς. Λύειν δέ γε αὐτήν, ὡς φαμέν, προθυμοῦνται ἀεὶ μάλιστα καὶ μόνοι οἱ φιλοσοφοῦντες ὀρθῶς, καὶ τὸ μελέτημα αὐτὸ τοῦτό ἐστι τῶν φιλοσόφων, λύσις καὶ χωρισμὸς ψυχῆς ἀπὸ σώματος. ἢ οὔ; Φαίνεται. Οὐκοῦν ὃ περ ἐν ἀρχῇ ἔλεγον, γελοῖον ἂν εἴη ἄνδρα παρασκευάζονθ' ἑαυτὸν ἐν τῷ βίῳ ὅτι ἐγγυτάτω ὄντα τοῦ τεθνάναι οὕτω ζῆν, κἄπειθ' ἥκοντος αὐτῷ τούτου ἀγανακτεῖν; οὐ γελοῖον; Πῶς δ' οὔ; Τῷ ὄντι ἄρα, ἔφη, ὦ Σιμμία, οἱ ὀρθῶς φιλοσοφοῦντες ἀποθνήσκειν μελετῶσι, καὶ τὸ τεθνάναι ἥκιστ' αὐτοῖς ἀνθρώπων φοβερόν. ἐκ τῶνδε δὲ σκόπει. εἰ γὰρ διαβέβληνται μὲν πανταχῇ τῷ σώματι, αὐτὴν δὲ καθ' αὑτὴν ἐπιθυμοῦσι τὴν ψυχὴν ἔχειν, τούτου δὲ γιγνομένου εἰ φοβοῖντο καὶ ἀγανακτοῖεν, οὐ πολλὴ ἂν ἀλογία εἴη, εἰ μὴ ἄσμενοι ἐκεῖσε ἴοιεν οἱ ἀφικομένοις ἐλπὶς ἐστιν, οὐ διὰ βίου
68 ἔρων, τυχεῖν· ἔρως δὲ φρονήσεως· ᾧ τε διαβέβληντο,

contagione sevocari et colligi, itaque (quoad eius fieri potest) habitare; idque, et in praesenti tempore et in futuro, a corpore tanquam a vinculis resolutum? *Sim.* Maxime quidem. *So.* Nonne igitur haec mors appellatur, solutio animae et separatio a corpore? *Sim.* Prorsus. *So.* Solvere vero ipsum, quemadmodum confitemur, omni tempore maxime ac soli student, qui recte et philosophantur. atque haec ipsa philosophorum meditatio est, animum a corpore solvere atque separare. nonne ita? *Sim.* Ita videtur. *So.* Quamobrem, ut in principio dicebam, ridiculum foret, si vir, qui se in vita sic comparavit, ut quam proxime ad mortem accederet, ea deinde adveniente perturbaretur. nonne ridiculum? *Sim.* Quidni? *So.* Revera igitur, o Simmia, recte philosophantes mortem commentantur, atque ab ea minime omnium perterrentur. Ita vero considera. Cum enim corpus quidem ubique asperneutur, animum vero ipsum cupiant secundum seipsum habere; nonne summa esset absurditas, si tunc, quando id evenit, expavescant molesteque ferant; neque libenter illuc proficiscantur, quo cum pervenerint, spes est eo quidem, quod amabant in vita, potiri (amabant autem

τούτου ἀπηλλάχθαι ξυνόντος αὐτοῖς; ἢ ἀνθρωπίνων μὲν παιδικῶν καὶ γυναικῶν καὶ υἱέων ἀποθανόντων πολλοὶ δὴ ἑκόντες ἠθέλησαν εἰς Ἅιδου ἐλθεῖν, ὑπὸ ταύτης ἀγόμενοι τῆς ἐλπίδος τῆς τοῦ ὄψεσθαί τι ἐκεῖ ὧν ἐπεθύμουν καὶ ξυνέσεσθαι· φρονήσεως δὲ ἄρα τις τῷ ὄντι ἐρῶν, καὶ λαβὼν σφόδρα τὴν αὐτὴν ταύτην ἐλπίδα, μηδαμοῦ ἄλλοθι ἐντεύξεσθαι αὐτῇ ἀξίως λόγου ἢ ἐν Ἅιδου, ἀγανακτήσει τε ἀποθνήσκων καὶ οὐκ ἄσμενος εἶσιν αὐτόσε; οἴεσθαί γε χρή, ἐὰν τῷ ὄντι γ' ἦ, ὦ ἑταῖρε, φιλόσοφος· σφόδρα γὰρ αὐτῷ ταῦτα δόξει, μηδαμοῦ ἄλλοθι καθαρῶς ἐντεύξεσθαι φρονήσει ἀλλ' ἢ ἐκεῖ. εἰ δὲ τοῦτο οὕτως ἔχει, ὅ περ ἄρτι ἔλεγον, οὐ πολλὴ ἂν ἀλογία εἴη εἰ φοβοῖτο τὸν θάνατον ὁ τοιοῦτος; Πολλὴ μέντοι νὴ Δία, ἦ δ' ὅς. Οὐκοῦν ἱκανόν σοι τεκμήριον, ἔφη, τοῦτο ἀνδρὸς ὃν ἂν ἴδῃς ἀγανακτοῦντα μέλλοντα ἀποθανεῖσθαι, ὅτι οὐκ ἄρ' ἦν φιλόσοφος ἀλλά τις φιλοσώματος; ὁ αὐτὸς δέ που οὗτος τυγχάνει ὢν καὶ φιλοχρήματος καὶ φιλότιμος, ἤτοι τὰ ἕτερα τούτων ἢ καὶ ἀμφότερα. Πάνυ γ', ἔφη, ἔχει οὕτως ὡς λέγεις. Ἆρ' οὖν, ἔφη, ὦ Σιμμία, οὐ καὶ ἡ ὀνομαζομένη ἀνδρία τοῖς οὕτω διακειμένοις μάλιστα

sapientiam); eo autem, cuius commercium moleste ferebant, liberari? An vero amatis et mulieribus et filiis defunctis, multi iam sponte voluerunt ad inferos proficisci, sperantes eos ibi visere cum eisque versari, quos amaverant: sapientiae autem verus amator, vehementer in hanc ipsam spem adductus, non aliter eam, pro dignitate ulla se comparaturum, quam si moriatur, imminentem mortem aegre feret, ac non libenter hino illuc emigrabit? Arbitrari quidem, o amice, oportet, si vere philosophus sit, magnopere apud ipsum hanc opinionem valere, ut non alibi puram sapientiam posse assequi speret quam in futura post mortem vita. Si autem hoc ita se habet, nonne, quemadmodum modo dicebam, praeter rationem foret omnino, si mortem vir eiusmodi formidaret? *Sim.* Per Iovem, contra rationem. *So.* Sufficiens ergo coniectura erit, inquit, si quem videris moleste mortem ferre, eum non esse philosophum, sed philosomatum quendam, id est corporis amatorem, atque eundem ferme philocrimatum et philotimum, id est pecuniarum honorumque cupidum: ac talem, ut alterum horum affectet aut utrumque. *Sim.* Omnino ita est, ut ais. *So.* Proinde quae, o Simmia, fortitudo nominatur, an non viris eiusmodi maxime

προσήκει; Πάντως δή που, ἔφη. Οὐκοῦν καὶ ἡ σωφροσύνη, ἣν καὶ οἱ πολλοὶ ὀνομάζουσι σωφροσύνην, τὸ περὶ τὰς ἐπιθυμίας μὴ ἐπτοῆσθαι ἀλλ' ὀλιγώρως ἔχειν καὶ κοσμίως, ἆρ' οὐ τούτοις μόνοις προσήκει τοῖς μάλιστα τοῦ σώματος ὀλιγωροῦσί τε καὶ ἐν φιλοσοφίᾳ ζῶσιν; Ἀνάγκη, ἔφη. Εἰ γὰρ ἐθέλεις, ἦ δ' ὅς, ἐννοῆσαι τήν γε τῶν ἄλλων ἀνδρίαν τε καὶ σωφροσύνην, δόξει σοι εἶναι ἄτοπος. Πῶς δή, ὦ Σώκρατες; Οἶσθα, ἦ δ' ὅς, ὅτι τὸν θάνατον ἡγοῦνται πάντες οἱ ἄλλοι τῶν μεγάλων κακῶν εἶναι; Καὶ μάλα, ἔφη. Οὐκοῦν φόβῳ μειζόνων κακῶν ὑπομένουσιν αὐτῶν οἱ ἀνδρεῖοι τὸν θάνατον, ὅταν ὑπομένωσιν; Ἔστι ταῦτα. Τῷ δεδιέναι ἄρα καὶ δέει ἀνδρεῖοί εἰσι πάντες πλὴν οἱ φιλόσοφοι. καί τοι ἄτοπόν γε δέει τινὰ καὶ δειλίᾳ ἀνδρεῖον εἶναι. Πάνυ μὲν οὖν. Τί δαί, οἱ κόσμιοι αὐτῶν οὐ ταὐτὸν τοῦτο πεπόνθασιν; ἀκολασίᾳ τινὶ σώφρονές εἰσι; καί τοι φαμέν γέ που ἀδύνατον εἶναι, ἀλλ' ὅμως αὐτοῖς συμβαίνει τούτῳ ὅμοιον εἶναι τὸ πάθος τὸ περὶ ταύτην τὴν εὐήθη σωφροσύνην· φοβούμενοι γὰρ ἑτέρων ἡδονῶν στερηθῆναι καὶ ἐπιθυμοῦντες ἐκείνων, ἄλλων
69 ἀπέχονται ὑπ' ἄλλων κρατούμενοι. καί τοι καλοῦσί γε

convenit? *Sim.* Maxime. *So.* Nonne et temperantia (cuius plerique aiunt officium esse nequaquam prosternere se libidinibus, sed parvi pendere illas, modestiamque servare) his duntaxat convenit, qui corpus despiciunt maxime atque in philosophia vivunt? *Sim.* Necesse est. *So.* Si enim considerare velis fortitudinem temperantiamque aliorum, tibi perabsurda videbitur. *Sim.* Quanam, o Socrates, ratione? *So.* Scis utique, ceteros omnes mortem unum ex maximis malis existimare. *Sim.* Et maxime quidem. *So.* Nonne igitur maiorum metu malorum, quicunque inter eos fortes sunt, sustinent mortem, quando sustinent? *Sim.* Hoc pacto. *So.* Metuendo igitur atque metu fortes sunt omnes praeter philosophos: etsi absurdum est, metu vel timiditate aliquem esse fortem. *Sim.* Nimium certe. *So.* Quid autem? qui inter eos moderati dicuntur, nonne simili quodam pacto affecti sunt, intemperantia videlicet quadam temperati? quamquam impossibile id esse dicimus. Verumtamen illis evenit affectio quaedam huic similis, in istac eorum fatua temperantia. timentes enim, ne aliis careant voluptatibus, easque appetentes, a ceteris abstinent, ab aliis superati; etsi vocant intemperantiam a

ἀκολασίαν τὸ ὑπὸ τῶν ἡδονῶν ἄρχεσθαι, ἀλλ' ὅμως ξυμβαίνει αὐτοῖς κρατουμένοις ὑφ' ἡδονῶν κρατεῖν ἄλλων ἡδονῶν. τοῦτο δ' ὁμοιόν ἐστιν ᾧ νῦν δὴ ἐλέγετο, τῷ τρόπον τινὰ δι' ἀκολασίαν αὐτοὺς σεσωφρονίσθαι. Ἔοικε γάρ. Ὦ μακάριε Σιμμία, μὴ γὰρ οὐχ αὕτη ᾖ ἡ ὀρθὴ πρὸς ἀρετὴν ἀλλαγή, ἡδονὰς πρὸς ἡδονὰς καὶ λύπας πρὸς λύπας καὶ φόβον πρὸς φόβον καταλλάττεσθαι, καὶ μείζω πρὸς ἐλάττω, ὥς περ νομίσματα, ἀλλ' ᾖ ἐκεῖνο μόνον τὸ νόμισμα ὀρθόν, ἀνθ' οὗ δεῖ ἅπαντα ταῦτα καταλλάττεσθαι, φρόνησις, καὶ τούτου μὲν πάντα καὶ μετὰ τούτου ὠνούμενά τε καὶ πιπρασκόμενα τῷ ὄντι ᾖ, καὶ ἀνδρία καὶ σωφροσύνη καὶ δικαιοσύνη, καὶ ξυλλήβδην ἀληθὴς ἀρετὴ ᾖ μετὰ φρονήσεως, καὶ προσγιγνομένων καὶ ἀπογιγνομένων καὶ ἡδονῶν καὶ φόβων καὶ τῶν ἄλλων πάντων τῶν τοιούτων· χωριζόμενα δὲ φρονήσεως καὶ ἀλλαττόμενα ἀντὶ ἀλλήλων, μὴ σκιαγραφία τις ᾖ ἡ τοιαύτη ἀρετὴ καὶ τῷ ὄντι ἀνδραποδώδης τε καὶ οὐδὲν ὑγιὲς οὐδ' ἀληθὲς ἔχῃ, τὸ δ' ἀληθὲς τῷ ὄντι ᾖ κάθαρσίς τις τῶν τοιούτων πάντων, καὶ ἡ σωφροσύνη καὶ ἡ δικαιοσύνη καὶ ἡ ἀνδρία καὶ αὐτὴ ἡ φρόνησις μὴ καθαρμός τις ᾖ. καὶ κινδυνεύουσι καὶ οἱ τὰς τελετὰς ἡμῖν οὗτοι

voluptatibus superari. verumtamen accidit eis, ut superati a voluptatibus alias superent voluptates. Iam vero id illi simile est, quod modo dicebatur, scilicet quodam modo per intemperantiam fieri temperatos. *Sim.* Simile quidem. *So.* Animadvertendum est, o beate Simmia, ne haec haudquaquam recta sit ad virtutem via, voluptates videlicet voluptatibus, dolores doloribus, et metum metu, et maius minori, tanquam nummos, commutare: sed ille duntaxat rectus sit nummus, cuius gratia haec omnia oporteat commutari atque venundari, scilicet sapientia sive prudentia: pro qua et cum qua omnia empta ac vendita revera sit et fortitudo et temperantia et iustitia, ac summatim vera virtus cum sapientia sive prudentia: et accedentibus et recedentibus voluptatibus et timoribus ceterisque generis eiusdem. Sin autem a sapientia segregata invicem commutantur, adumbratio quaedam sit eiusmodi virtus, ac revera servilis, nihil sani verique possidens: virtutis autem veritas in horum omnium purificatione revera consistat; et temperantia et iustitia et fortitudo, et sapientia ipsa sit purificatio quaedam. Quamobrem hi, qui mysteria nobis constituerunt, minime contemnendi viden-

καταστήσαντες οὐ φαῦλοί τινες εἶναι, ἀλλὰ τῷ ὄντι πάλαι αἰνίττεσθαι ὅτι ὃς ἂν ἀμύητος καὶ ἀτέλεστος εἰς Ἅιδου ἀφίκηται, ἐν βορβόρῳ κείσεται, ὁ δὲ κεκαθαρμένος τε καὶ τετελεσμένος ἐκεῖσε ἀφικόμενος μετὰ θεῶν οἰκήσει. εἰσὶ γὰρ δή, φασὶν οἱ περὶ τὰς τελετάς, ναρθηκοφόροι μὲν πολλοί, βάκχοι δέ τε παῦροι· οὗτοι δ' εἰσὶ κατὰ τὴν ἐμὴν δόξαν οὐκ ἄλλοι ἢ οἱ πεφιλοσοφηκότες ὀρθῶς. ὧν δὴ καὶ ἐγὼ κατά γε τὸ δυνατὸν οὐδὲν ἀπέλιπον ἐν τῷ βίῳ, ἀλλὰ παντὶ τρόπῳ προὐθυμήθην γενέσθαι. εἰ δὲ ὀρθῶς προὐθυμήθην καί τι ἠνυσάμην, ἐκεῖσε ἐλθόντες τὸ σαφὲς εἰσόμεθα, ἐὰν θεὸς ἐθέλῃ, ὀλίγον ὕστερον, ὡς ἐμοὶ δοκεῖ.

Ταῦτ' οὖν ἐγώ, ἔφη, ὦ Σιμμία τε καὶ Κέβης, ἀπολογοῦμαι, ὡς εἰκότως ὑμᾶς τε ἀπολείπων καὶ τοὺς ἐνθάδε δεσπότας οὐ χαλεπῶς φέρω οὐδ' ἀγανακτῶ, ἡγούμενος κἀκεῖ οὐδὲν ἧττον ἢ ἐνθάδε δεσπόταις τε ἀγαθοῖς ἐντεύξεσθαι καὶ ἑταίροις· τοῖς δὲ πολλοῖς ἀπιστίαν παρέχει. εἴ τι οὖν ὑμῖν πιθανώτερός εἰμι ἐν τῇ ἀπολογίᾳ ἢ τοῖς Ἀθηναίων δικασταῖς, εὖ ἂν ἔχοι.

Εἰπόντος δὴ τοῦ Σωκράτους ταῦτα ὑπολαβὼν ὁ Κέβης ἔφη Ὦ Σώκρατες, τὰ μὲν ἄλλα δοκεῖ ἔμοιγε

tur; sed revera iamdiu occulte nos admonere, quicunque non expiatus neque initiatus migrabit ad inferos, eum iacere in luto: quicunque vero purgatus atque initiatus illuc accesserit, cum diis habitare. aiunt enim, qui mysteria tractant, ministri Bacchi ferentes ferulas narthecophori quidem feruligeri multi sunt, Bacchi vero pauci. Hi vero, ut equidem opinor, non alii sunt, quam qui recte philosophati sunt. quorum quidem in numero esse me, neque inferiorem quidem omni studio pro viribus conatus sum; an vero recte contenderim aliquidve profecerim, eum illuc pervenerimus, certo sciemus, si deus voluerit, paulo post, ut mihi videtur. Haec igitur mea excusatio est, o Simmia et o Cebes, quam videlicet ob causam, cum vos eosque, qui hic sunt, dominos relinquam, merito non aegre feram neque perturber. spero enim, me et illic non minus, quam hic, bonos dominos amicosque inventurum. Multi vero id minime credunt. Si igitur defensio mea vobis magis quam Atheniensibus iudicibus persuasit, bene se res habet. Cum haec Socrates dixisset, suscipiens sermonem Cebes sic inquit, Cetera quidem, o Socrates,

καλῶς λέγεσθαι, τὰ δὲ περὶ τῆς ψυχῆς πολλὴν ἀπι- 7
στίαν παρέχει τοῖς ἀνθρώποις, μὴ ἐπειδὰν ἀπαλλαγῇ
τοῦ σώματος οὐδαμοῦ ἔτι ᾖ, ἀλλ' ἐκείνῃ τῇ ἡμέρᾳ δια-
φθείρηταί τε καὶ ἀπολλύηται ἥ ἂν ἄνθρωπος ἀποθά-
νῃ, εὐθὺς ἀπαλλαττομένη τοῦ σώματος, καὶ ἐκβαίνου-
σα, ὥς περ πνεῦμα ἢ καπνὸς διασκεδασθεῖσα, οἴχηται
διαπτομένη καὶ οὐδὲν ἔτι οὐδαμοῦ ᾖ, ἐπεὶ εἴ περ εἴη
που αὐτὴ καθ' ἑαυτὴν ξυνηθροισμένη καὶ ἀπηλλαγμέ-
νη τούτων τῶν κακῶν ὧν σὺ νῦν δὴ διῆλθες, πολλὴ
ἂν ἐλπὶς εἴη καὶ καλή, ὦ Σώκρατες, ὡς ἀληθῆ ἐστιν ἃ
σὺ λέγεις. ἀλλὰ τοῦτο δή ἴσως οὐκ ὀλίγης παραμυθίας
δεῖται καὶ πίστεως, ὡς ἔστι τε ἡ ψυχὴ ἀποθανόντος
τοῦ ἀνθρώπου καί τινα δύναμιν ἔχει καὶ φρόνησιν.
Ἀληθῆ, ἔφη, λέγεις, ὁ Σωκράτης, ὦ Κέβης. ἀλλὰ τί
δὴ ποιῶμεν; ἢ περὶ αὐτῶν τούτων βούλει διαμυθο-
λογῶμεν, εἴτε εἰκὸς οὕτως ἔχειν εἴτε μή; Ἐγωγ' οὖν,
ἔφη ὁ Κέβης, ἡδέως ἂν ἀκούσαιμι ἥν τινα δόξαν ἔχεις
περὶ αὐτῶν. Οὔκουν γ' ἄν οἶμαι, ἦ δ' ὃς ὁ Σωκράτης,
εἰπεῖν τινὰ νῦν ἀκούσαντα, οὐδ' εἰ κωμῳδοποιὸς εἴη, ὡς
ἀδολεσχῶ καὶ οὐ περὶ προσηκόντων τοὺς λόγους ποιοῦ-
μαι. εἰ οὖν δοκεῖ, χρὴ διασκοπεῖσθαι. σκεψώμεθα δ' αὐ-
τὸ τῇδέ πῃ, εἴτε ἄρα ἐν Ἅιδου εἰσὶν αἱ ψυχαὶ τελευ-

recte dicta videntur: quantum vero ad ipsam animam spectat, valde ambigunt homines, ne anima a corpore separata nusquam sit ulterius, sed ea ipsa die, qua homo mortem obierit, intereat statimque seiuncta a corpore dissolvatur, atque exhalans, quasi ventus aut fumus, dissipetur atque evanescat, neque usquam ulterius omnino sit aliquid. Profecto si esset alicubi collecta in semetipsam, et ab his malis, quae tu modo narrabas, liberata, multa nimirum bonaque spes esset, o Socrates, vera, quae dicebas, fore. Ceterum ad id fortasse persuasione fideque non parva opus est, ut credatur, superesse animam post interitum hominis, atque aliquam vim intelligentiamque habere. *So.* Vera, o Cebes, loqueris. Verum quid agendum censes? an forte de his ipsis confabulandum, utrum ita fore an aliter probabile sit? *Ce.* Libenter equidem audirem de his rebus, quid sentias. *So.* Neminem arbitror haec audientem, nec si comoedus quidem sit, esse dicturum nugari nunc me, ac de quibus minime oporteat verba facere. Si ergo placet oportetque considerare, id hoc pacto consideremus, utrum videlicet apud in-

τησιάντων τῶν ἀνθρώπων εἴτε καὶ οὔ. παλαιὸς μὲν οὖν ἔστι τις λόγος, οὗτος οὗ μεμνήμεθα, ὡς εἰσὶν ἐνθένδε ἀφικόμεναι ἐκεῖ καὶ πάλιν γε δεῦρο ἥκουσιν καὶ γίγνονται ἐκ τῶν τεθνεώτων. καὶ εἰ τοῦθ' οὕτως ἔχει, πάλιν γίγνεσθαι ἐκ τῶν ἀποθανόντων τοὺς ζῶντας, ἄλλο τι εἶεν ἂν ἡμῶν αἱ ψυχαὶ ἐκεῖ; οὐ γὰρ ἄν που πάλιν ἐγίγνοντο μὴ οὖσαι, καὶ τοῦτο ἱκανὸν τεκμήριον τοῦ ταὐτ' εἶναι, εἰ τῷ ὄντι φανερὸν γένοιτο ὅτι οὐδαμόθεν ἀλλοθεν γίγνονται οἱ ζῶντες ἢ ἐκ τῶν τεθνεώτων. εἰ δὲ μή ἐστι τοῦτο, ἄλλου ἂν του δέοι λόγου. Πάνυ μὲν οὖν, ἔφη ὁ Κέβης. Μὴ τοίνυν κατ' ἀνθρώπων, ἦ δ' ὅς, σκόπει μόνον τοῦτο, εἰ βούλει ῥᾷον μαθεῖν, ἀλλὰ καὶ κατὰ ζώων πάντων καὶ φυτῶν, καὶ ξυλλήβδην ὅσα περ ἔχει γένεσιν, περὶ πάντων ἴδωμεν, ἆρ' οὕτωσὶ γίγνεται ἅπαντα, οὐκ ἄλλοθεν ἢ ἐκ τῶν ἐναντίων τὰ ἐναντία, ὅσοις τυγχάνει ὂν τοιοῦτόν τι, οἷον τὸ καλὸν τῷ αἰσχρῷ ἐναντίον που καὶ δίκαιον ἀδίκῳ, καὶ ἄλλα δὴ μυρία οὕτως ἔχει. τοῦτ' οὖν σκεψώμεθα, ἆρα ἀναγκαῖον ὅσοις ἔστι τι ἐναντίον, μηδαμόθεν ἄλλοθεν αὐτὸ γίγνεσθαι ἢ ἐκ τοῦ αὐτῷ ἐναντίου. οἷον ὅταν μεῖζόν τι γίγνηται, ἀνάγκη που ἐξ ἐλάττονος ὄντος πρότερον ἔπειτα μεῖζον γίγνεσθαι;

feros sint mortuorum animae, necne. Vetus quidem hic exstat sermo, cuius memores sumus, abire quidem illuc animas defunctorum, rursusque huc reverti fierique ex mortuis. Atqui si hoc verum est, ut ex mortuis iterum viventes fiant, essent animae illic nostrae. neque enim rursus fierent, si alicubi non essent. Atque haec sufficiens coniectura est, ita esse, si revera constet, haud aliunde viventes fieri quam ex mortuis. at vero nisi id sit, alia opus erit ratione. *Ce.* Omnino. *So.* Neque vero id in hominibus solum, si planius intelligere vis, consideres, sed in animalibus omnibus et plantis atque, ut summatim dicam, in omnibus quae gignuntur, in his, inquam, omnibus consideremus, nunquid omnia sic fiant, neque aliunde quam ex contrariis contraria, quibuscunque tale aliquid contingit: quemadmodum pulchrum turpi quodammodo contrarium est et iustum iniusto, aliaque eiusmodi quamplurima videmus. Ergo utrum necessarium sit, cuicunque aliquid est contrarium, nullo modo aliunde id quam ex suo contrario fieri? Veluti quando quid maius efficitur, necesse est ex eo, quod ante fuerat minus, postea maius evadere.

Ναί. Οὐκοῦν κἂν ἔλαττον γίγνηται, ἐκ μείζονος ὄντος πρότερον ὕστερον ἔλαττον γενήσεται; Εστιν, ἔφη, 71
οὕτως. Καὶ μὴν ἐξ ἰσχυροτέρου γε τὸ ἀσθενέστερον καὶ ἐκ βραδυτέρου τὸ θᾶττον; Πάνυ γε. Τί δαί; ἄν τι χεῖρον γίγνηται, οὐκ ἐξ ἀμείνονος, καὶ ἐὰν δικαιότερον, ἐξ ἀδικωτέρου; Πῶς γὰρ οὔ; Ἱκανῶς οὖν, ἔφη, ἔχομεν τοῦτο, ὅτι πάντα οὕτω γίγνεται, ἐξ ἐναντίων τὰ ἐναντία πράγματα; Πάνυ γε. Τί δ' αὖ; ἔστι τι καὶ τοιόνδε ἐν αὐτοῖς οἷον μεταξὺ ἀμφοτέρων πάντων
10 τῶν ἐναντίων δυοῖν ὄντοιν δύο γενέσεις, ἀπὸ μὲν τοῦ ἑτέρου ἐπὶ τὸ ἕτερον, ἀπὸ δ' αὖ τοῦ ἑτέρου πάλιν ἐπὶ τὸ ἕτερον; μείζονος μὲν γὰρ πράγματος καὶ ἐλάττονος μεταξὺ αὔξησις καὶ φθίσις, καὶ καλοῦμεν οὕτω τὸ μὲν αὐξάνεσθαι, τὸ δὲ φθίνειν; Ναί, ἔφη. Οὐκοῦν καὶ διακρίνεσθαι καὶ συγκρίνεσθαι, καὶ ψύχεσθαι καὶ θερμαίνεσθαι, καὶ πάντα οὕτω, κἂν εἰ μὴ χρώμεθα τοῖς ὀνόμασιν ἐνιαχοῦ, ἀλλ' ἔργῳ γοῦν πανταχοῦ οὕτως ἔχειν ἀναγκαῖον, γίγνεσθαί τε αὐτὰ ἐξ ἀλλήλων γένεσίν τε εἶναι ἑκατέρου εἰς ἄλληλα; Πάνυ γ', ἢ δ' ὅς. Τί οὖν;
20 ἔφη, τῷ ζῆν ἔστι τι ἐναντίον, ὥς περ τῷ ἐγρηγορέναι τὸ καθεύδειν; Πάνυ μὲν οὖν, ἔφη. Τί; Τὸ τεθνάναι,

Ce. Ita est. *So.* Nonne et si minus aliquid fiat, ex eo, quod ante maius erat, postea fiet minus? *Ce.* Sic omnino. *So.* Quin etiam ex robustiori debilius, ex tardiori velocius? *Ce.* Prorsus. *So.* Quid vero? si quid evadat deterius, nonne ex meliori? et si iustius, ex iniustiori? *Ce.* Quidni? *So.* In omnibus igitur satis id exploratum habemus, omnia ita fieri, contraria videlicet ex contrariis. *Ce.* Prorsus. *So.* Quid rursus? Estne medium aliquid inter contraria duo? duae videlicet inter illa generationes, sive progressiones ab altero quidem in alterum, atque in alterum vicissim ab altero? Sane inter maius atque minus medium obtinent incrementum et decrementum: dicimusque id quidem crescere, illud vero decrescere. *Ce.* Ita., *So.* Nonne similiter discerni vicissim atque confundi, frigescere et incalescere, omniaque eodem pacto? et si nomina nobis desunt alicubi, ubique tamen ita necesse est, fieri videlicet omnia ex contrariis invicem, generationemque esse utriusque vicissim in alterum? *Ce.* Omnino quidem. *So.* Quid vero? ei quod est vivere, estne aliquid contrarium? quemadmodum ei, quod vigilare est, dormire contrarium? *Ce.* Sic est omnino. *So.* Quidnam? *Ce.* Mori.

ἔφη. Οὐκοῦν ἐξ ἀλλήλων τε γίγνεται ταῦτα, εἴ περ ἐναντία ἐστί, καὶ αἱ γενέσεις εἰσὶν αὐτοῖν μεταξὺ δύο δυοῖν οὖσοιν; Πῶς γὰρ οὔ; Τὴν μὲν τοίνυν ἑτέραν συζυγίαν ὧν νῦν δὴ ἔλεγον, ἐγώ σοι, ἔφη, ἐρῶ, ὁ Σωκράτης, καὶ αὐτὴν καὶ τὰς γενέσεις· σὺ δέ μοι τὴν ἑτέραν. λέγω δὲ τὸ μὲν καθεύδειν, τὸ δὲ ἐγρηγορέναι, καὶ ἐκ τοῦ καθεύδειν τὸ ἐγρηγορέναι γίγνεσθαι καὶ ἐκ τοῦ ἐγρηγορέναι τὸ καθεύδειν, καὶ τὰς γενέσεις αὐτοῖν τὴν μὲν καταδαρθάνειν εἶναι, τὴν δὲ ἀνεγείρεσθαι. ἱκανῶς σοι, ἔφη, ἢ οὔ; Πάνυ μὲν οὖν. Λέγε δή μοι καὶ σύ, ἔφη, οὕτω περὶ ζωῆς καὶ θανάτου. οὐκ ἐναντίον μὲν φῂς τῷ ζῆν τὸ τεθνάναι εἶναι; Ἔγωγε. Γίγνεσθαι δὲ ἐξ ἀλλήλων; Ναί. Ἐξ οὖν τοῦ ζῶντος τί τὸ γιγνόμενον; Τὸ τεθνηκός, ἔφη. Τί δαί, ἦ δ' ὅς, ἐκ τοῦ τεθνεῶτος; Ἀναγκαῖον, ἔφη, ὁμολογεῖν ὅτι τὸ ζῶν. Ἐκ τῶν τεθνεώτων ἄρα, ὦ Κέβης, τὰ ζῶντά τε καὶ οἱ ζῶντες γίγνονται; Φαίνεται, ἔφη. Εἰσὶν ἄρα, ἔφη, αἱ ψυχαὶ ἡμῶν ἐν Ἅιδου. Ἔοικεν. Οὐκοῦν καὶ τοῖν γενεσέοιν τοῖν περὶ ταῦτα ἥ γ' ἑτέρα σαφὴς οὖσα τυγχάνει; τὸ γὰρ ἀποθνήσκειν σαφὲς δή που. ἦ οὔ; Πάνυ μὲν οὖν, ἔφη. Πῶς οὖν, ἦ δ' ὅς, ποιήσομεν;

So. An non ex se invicem haec fiunt? siquidem contraria sunt: cumque duo sint, duae quoque inter haec generationes mutuae sive progressiones? *Ce.* Nihil prohibet. *So.* Alteram quidem coniugationem eorum, quae modo dicebam, ego tibi dicam, tam ipsam quam generationes eorum: tu vero mihi aperies alteram. Dico autem illud quidem dormire, illud autem evigilare; atque ex somno vigiliam fieri et ex vigilia somnum: horumque generationes hanc quidem connivere, illam vero expergisci. satisfeci tibi, necne? *Ce.* Satisfecisti certe. *So.* Dic tu mihi quoque similiter de vita atque morte. an non contrarium vivere dicis esse atque mori? *Ce.* Equidem. *So.* Et ex se invicem fieri? *Ce.* Ita. *So.* Ergo ex vivente quidnam fiet? *Ce.* Mortuum. *So.* Quid autem ex mortuo? *Ce.* Necesse est confiteri vivens. *So.* Igitur ex mortuis, o Cebes, viventia fiunt atque viventes. *Ce.* Apparet. *So.* Sunt igitur apud inferos animae nostrae? *Ce.* Videtur. *So.* Nonne ergo et generationum, quae circa haec sunt, altera quidem manifesta est? Mori enim manifestum est: nonne? *Ce.* Ita prorsus. *So.* Quidnam igitur faciemus? non reddemus vicissim ge-

οὐκ ἀνταποδώσομεν τὴν ἐναντίαν γένεσιν, ἀλλὰ ταύτῃ χωλὴ ἔσται ἡ φύσις; ἢ ἀνάγκη ἀποδοῦναι τῷ ἀποθνήσκειν ἐναντίαν τινὰ γένεσιν; Πάντως που, ἔφη. Τίνα ταύτην; Τὸ ἀναβιώσκεσθαι. Οὐκοῦν, ἦ δ' ὅς, εἴ περ ἔστι τὸ ἀναβιώσκεσθαι, ἐκ τῶν τεθνεώτων ἂν εἴη γένεσις εἰς τοὺς ζῶντας αὖτη, τὸ ἀναβιώσκεσθαι; Πάνυ γε. Ὁμολογεῖται ἄρα ἡμῖν καὶ ταύτῃ τοὺς ζῶντας ἐκ τῶν τεθνεώτων γεγονέναι οὐδὲν ἧττον ἢ τοὺς τεθνεῶτας ἐκ τῶν ζώντων. τούτου δὲ ὄντος ἱκανόν που ἐδόκει τεκμήριον εἶναι ὅτι ἀναγκαῖον τὰς τῶν τεθνεώτων ψυχὰς εἶναί που, ὅθεν δὴ πάλιν γίγνεσθαι. Δοκεῖ μοι, ἔφη, ὦ Σώκρατες, ἐκ τῶν ὡμολογημένων ἀναγκαῖον οὕτως ἔχειν. Ἰδὲ τοίνυν, ἔφη, ὦ Κέβης, ὅτι οὐδ' ἀδίκως ὡμολογήκαμεν, ὡς ἐμοὶ δοκεῖ. εἰ γὰρ μὴ ἀεὶ ἀνταποδιδοίη τὰ ἕτερα τοῖς ἑτέροις γιγνόμενα, ὥσπερεὶ κύκλῳ περιόντα, ἀλλ' εὐθεῖά τις εἴη ἡ γένεσις ἐκ τοῦ ἑτέρου μόνον εἰς τὸ καταντικρὺ καὶ μὴ ἀναχάμπτοι πάλιν ἐπὶ τὸ ἕτερον μηδὲ καμπὴν ποιοῖτο, οἶσθ' ὅτι πάντα τελευτῶντα τὸ αὐτὸ σχῆμα ἂν σχοίη καὶ τὸ αὐτὸ πάθος ἂν πάθοι καὶ παύσαιτο γιγνόμενα; Πῶς λέγεις; ἔφη. Οὐδὲν χαλεπόν, ἦ δ' ὅς, ἐννοῆσαι ὃ λέγω·

nerationem huic contrariam, sed hac in re duntaxat mancam dicemus naturam esse? an vero necesse est reddere ei, quod mori est, contrariam quandam generationem? *Ce.* Omnino. *So.* Quam vero istam? *Ce.* Reviviscere. *So.* Nonne igitur, si reviviscentia est, progressio quaedam haec est ex mortuis ad viventes? *Ce.* Est utique. *So.* Convenit ergo nobis hac insuper ratione, viventes ex mortuis fieri nihilo minus quam mortuos ex viventibus. quod cum ita sit, sufficientem coniecturam hinc haberi, animas mortuorum necessario alicubi esse, unde iterum revertantur. *Ce.* Videtur mihi, o Socrates, hoc ex his, quae concessa sunt, necessario sequi. *So.* Animadverte ergo, o Cebes, haud ab re nos haec, ut arbitror, concessisse. Nisi enim continue altera vicissim alteris redderentur, quasi quodam circulo remeantia, sed directa quaedam progressio foret, duntaxat ex altero in eius oppositum, neque rursus reflecterentur in alterum facerentque regressum; omnia tandem, mihi crede, eandem subirent figuram atque affectionem, fierique cessarent. *Ce.* Quonam id pacto dicis? *So.* Haud quaquam intellectu difficile

ἀλλ' οἷον εἰ τὸ καταδαρθάνειν μὲν εἴη, τὸ δ' ἀνεγείρεσθαι μὴ ἀνταποδιδοίη γιγνόμενον ἐκ τοῦ καθεύδοντος, οἶσθ' ὅτι τελευτῶντα πάντ' ἂν λῆρον τὸν Ἐνδυμίωνα ἀποδείξειε καὶ οὐδαμοῦ ἂν φαίνοιτο, διὰ τὸ καὶ τἆλλα πάντα ταὐτὸν ἐκείνῳ πεπονθέναι, καθεύδειν· κἂν εἰ ξυγκρίνοιτο μὲν πάντα, διακρίνοιτο δὲ μή, ταχὺ ἂν τὸ τοῦ Ἀναξαγόρου γεγονὸς εἴη, ὁμοῦ πάντα χρήματα. ὡσαύτως δέ, ὦ φίλε Κέβης, καὶ εἰ ἀποθνήσκοι μὲν πάντα ὅσα τοῦ ζῆν μεταλάβοι, ἐπειδὴ δὲ ἀποθάνοι, μένοι ἐν τούτῳ τῷ σχήματι τὰ τεθνεῶτα καὶ μὴ πάλιν ἀναβιώσκοιτο, ἆρ' οὐ πολλὴ ἀνάγκη τελευτῶντα πάντα τεθνάναι καὶ μηδὲν ζῆν; εἰ γὰρ ἐκ μὲν τῶν ἄλλων τὰ ζῶντα γίγνοιτο, τὰ δὲ ζῶντα θνήσκοι, τίς μηχανὴ μὴ οὐχὶ πάντα κατανάλωθῆναι εἰς τὸ τεθνάναι; Οὐδὲ μία μοι δοκεῖ, ἔφη ὁ Κέβης, ὦ Σώκρατες, ἀλλά μοι δοκεῖς παντάπασιν ἀληθῆ λέγειν. Ἔστι γάρ, ἔφη, ὦ Κέβης, ὡς ἐμοὶ δοκεῖ, παντὸς μᾶλλον οὕτω, καὶ ἡμεῖς αὐτὰ ταῦτα οὐκ ἐξαπατώμενοι ὁμολογοῦμεν, ἀλλ' ἔστι τῷ ὄντι καὶ τὸ ἀναβιώσκεσθαι καὶ ἐκ τῶν τεθνεώτων τοὺς ζῶντας γίγνεσθαι καὶ τὰς τῶν τεθνεώτων ψυχὰς εἶναι, καὶ ταῖς μέν γ' ἀγαθαῖς ἄμεινον εἶναι, ταῖς δὲ κακαῖς κάκιον.

est, quod loquor. Perinde enim ac si in somnum caderetur quidem, ab eo vero in vigiliam nunquam resurgeretur, minime te latet, omnia tandem eo deventura, ut Endymion ridicula quaedam fabula videatur, neque appareat usquam; cum cetera quoque universa somno similiter opprimantur. Proinde si confunderentur quidem omnia, nunquam vero discernerentur, Anaxagorae illud repente contingeret, Universa videlicet esse simul. Eadem ratione, o amice Cebes, si, quaecunque vitam acceperint, moriantur, mortua vero cum fuerint, mortua relinquantur neque iterum reviviscant; an non necessarium est omnino, cuncta demum interiisse nihilque vivere? Nam si ex aliis quidem viventia fierent, postea vero perirent, quid obstaret, quo minus in interitum cuncta consumerentur? *Ce.* Nihil prorsus, o Socrates; sed mihi omnino vera loqui videris. *So.* Est certe, o Cebes, maxime omnium ita, ut mihi videtur; neque nos haec ipsa quasi decepti confessi sumus: sed revera reviviscentia est, atque ex mortuis viventes fiunt, mortuorumque supersunt animae. atque bonis quidem melius est; malis vero peius.

Καὶ μήν, ἔφη ὁ Κέβης ὑπολαβών, καὶ κατ' ἐκεῖνόν γε τὸν λόγον, ὦ Σώκρατες, εἰ ἀληθής ἐστιν, ὃν σὺ εἴωθας θαμὰ λέγειν, ὅτι ἡμῖν ἡ μάθησις οὐκ ἄλλο τι ἢ ἀνάμνησις τυγχάνει οὖσα, καὶ κατὰ τοῦτον ἀνάγκη που ἡμᾶς ἐν προτέρῳ τινὶ χρόνῳ μεμαθηκέναι ἃ νῦν ἀναμιμνησκόμεθα. τοῦτο δὲ ἀδύνατον, εἰ μὴ ἦν που ἡμῶν ἡ ψυχὴ πρὶν ἐν τῷδε τῷ ἀνθρωπίνῳ εἴδει γενέσθαι· ὥστε καὶ ταύτῃ ἀθάνατόν τι ἔοικεν ἡ ψυχὴ 73
εἶναι. Ἀλλ', ὦ Κέβης, ἔφη ὁ Σιμμίας ὑπολαβών, ποίαι
10 τούτων αἱ ἀποδείξεις; ὑπόμνησόν με· οὐ γὰρ σφόδρα ἐν τῷ παρόντι μέμνημαι. Ἐνὶ μὲν λόγῳ, ἔφη ὁ Κέβης, καλλίστῳ, ὅτι ἐρωτώμενοι οἱ ἄνθρωποι, ἐάν τις καλῶς ἐρωτᾷ, αὐτοὶ λέγουσι πάντα ἢ ἔχει· καί τοι εἰ μὴ ἐτύγχανεν αὐτοῖς ἐπιστήμη ἐνοῦσα καὶ ὀρθὸς λόγος, οὐκ ἂν οἷοί τ' ἦσαν τοῦτο ποιεῖν. ἔπειτα ἐάν τις ἐπὶ τὰ διαγράμματα ἄγῃ ἢ ἄλλο τι τῶν τοιούτων, ἐνταῦθα σαφέστατα κατηγορεῖ ὅτι τοῦτο οὕτως ἔχει. Εἰ δὲ μὴ ταύτῃ γε, ἔφη, πείθει, ὦ Σιμμία, ὁ Σωκράτης, σκέψαι ἐὰν τῇδέ πῃ σοι σκοπουμένῳ συνδόξῃ. ἀπιστεῖς
20 γὰρ δὴ πῶς ἡ καλουμένη μάθησις ἀνάμνησίς ἐστιν; Ἀπιστῶ μὲν ἔγωγ', ἦ δ' ὃς ὁ Σιμμίας, οὔ, αὐτὸ δὲ

Ce. Atqui et secundum illud, o Socrates, quod frequenter usurpare soles, si modo verum est, Disciplinam videlicet nostram nihil esse aliud quam reminiscentiam: et secundum hoc, inquam, necesse est, nos in superiori quodam tempore ea, quorum nunc reminiscimur, didicisse. Id vero fieri non posset, nisi prius anima nostra fuisset alicubi, quam in hanc humanam speciem deveniret. quamobrem et hac ratione immortale quiddam anima videtur esse. *Sim.* Quales huius rei demonstrationes habes, o Cebes? Commemora eas nobis. Non enim satis in praesentia memini. *Ce.* Una quidem ratio est pulcherrima, quod interrogati homines, si quis eos recte interroget, ipsi omnia quemadmodum sunt, respondent. Atqui nunquam id facere possent, nisi inesset ipsis scientia rectaque ratio. Deinde, si quis eos ad geometricas figuras descriptionesque vel simile aliquid converterit, ibi manifeste comperiet, ita id se habere. *So.* Si haec, o Simmia, ratio tibi non satisfacit, attende, an sic tibi consideranti idem quod nobis videatur. Diffidis enim, eam, quam disciplinam vocant, reminiscentiam esse posse. *Sim.* Haud equidem diffido.

τοῦτο, ἔφη, δέομαι παθεῖν περὶ οὗ ὁ λόγος, ἀναμνησθῆναι· καὶ σχεδόν γε ἐξ ὧν Κέβης ἐπεχείρησε λέγειν ἤδη μέμνημαι καὶ πείθομαι, οὐδὲν μέντ' ἂν ἧττον ἀκούοιμι νῦν οὐ πῃ ἐπεχείρησας λέγειν. Τῇδε ἔγωγε, ἦ δ' ὅς. ὁμολογοῦμεν γὰρ δή που, εἴ τίς τι ἀναμνησθήσεται, δεῖν αὐτὸν τοῦτο πρότερόν ποτε ἐπίστασθαι. Πάνυ γε, ἔφη. Ἆρ' οὖν καὶ τόδε ὁμολογοῦμεν, ὅταν ἐπιστήμη παραγίγνηται τρόπῳ τοιούτῳ, ἀνάμνησιν εἶναι; λέγω δέ τινα τρόπον τοῦτον· ἐάν τίς τι ἕτερον ἢ ἰδὼν ἢ ἀκούσας ἢ τινα ἄλλην αἴσθησιν λαβὼν μὴ μόνον ἐκεῖνο γνῷ, ἀλλὰ καὶ ἕτερον ἐννοήσῃ, οὗ μὴ ἡ αὐτὴ ἐπιστήμη ἀλλ' ἄλλη, ἆρ' οὐχὶ τοῦτο δικαίως λέγομεν ὅτι ἀνεμνήσθη οὗ τὴν ἔννοιαν ἔλαβεν; Πῶς λέγεις; Οἷον τὰ τοιάδε· ἄλλη που ἐπιστήμη ἀνθρώπου καὶ λύρας. Πῶς γὰρ οὔ; Οὐκοῦν οἶσθα ὅτι οἱ ἐρασταί, ὅταν ἴδωσι λύραν ἢ ἱμάτιον ἢ τι ἄλλο οἷς τὰ παιδικὰ αὐτῶν εἴωθε χρῆσθαι, πάσχουσι τοῦτο· ἔγνωσάν τε τὴν λύραν καὶ ἐν τῇ διανοίᾳ ἔλαβον τὸ εἶδος τοῦ παιδὸς οὗ ἦν ἡ λύρα; τοῦτο δ' ἐστὶν ἀνάμνησις· ὥς πέρ γε καὶ Σιμμίαν τις ἰδὼν πολλάκις Κέβητος ἀνεμνήσθη, καὶ

Veruntamen id expedit mihi discere, de quo sermo est, scilicet reminisci. Ac ferme ex his, quae Cebes coepit dicere, iam recordor, et credo. Nihilo minus tamen et a te, o Socrates, qua ratione id modo probare ipse aggrediberis, perlibenter audirem. *So.* Hac equidem ratione. confitemur sane quodammodo, si quis alicuius reminiscatur, oportere ipsum prius aliquando id scivisse. *Sim.* Prorsus. *So.* Nunquid ergo et hoc confitemur, quôtiens scientia hoc modo provenit, reminiscentiam eam esse? dico autem hoc pacto. si quis aliud quiddam viderit vel audiverit vel alio perceperit sensu, neque solum idipsum cognoscat, verum etiam agnoscat aliud quiddam, cuius non una eademque, sed alia scientia sit; nonne merito dicemus, hunc eius rei reminisci, in cuius pervenerit notionem? *Sim.* Quonam pacto id dicis? *So.* Hoc. alia quodammodo hominis scientia est, alia lyrae. *Sim.* Quidni? *So.* An ignoras hoc amantibus evenire, cum lyram aut vestem aut quid aliud ex his aspiciant, quibus uti eorum puellae amatae consueverunt. nam et agnoscunt lyram, et simul mente formam recolunt puellae, cuius erat lyra. Hoc vero est reminisci. ceu si quis, cum Simmiam viderit, saepe Cebetis recordetur; et cetera eiusdem ge-

ἄλλοι που μυρία τοιαῦτ' ἂν εἴη. Μυρία μέντοι νὴ Δί', ἔφη ὁ Σιμμίας. Οὐκοῦν, ἦ δ' ὅς, τὸ τοιοῦτον ἀνάμνησίς τίς ἐστι; μάλιστα μέντοι ὅταν τις τοῦτο πάθῃ περὶ ἐκεῖνα ἃ ὑπὸ χρόνου καὶ τοῦ μὴ ἐπισκοπεῖν ἤδη ἐπιλέληστο; Πάνυ μὲν οὖν, ἔφη. Τί δαί; ἦ δ' ὅς· ἔστιν ἵππον γεγραμμένον ἰδόντα καὶ λύραν γεγραμμένην ἀνθρώπου ἀναμνησθῆναι, καὶ Σιμμίαν ἰδόντα γεγραμμένον Κέβητος ἀναμνησθῆναι; Πάνυ γε. Οὐκοῦν καὶ Σιμμίαν ἰδόντα γεγραμμένον αὐτοῦ Σιμμίου ἀναμνησθῆναι; Ἔστι μέντοι, ἔφη. Ἆρ' οὖν 74
οὐ κατὰ πάντα ταῦτα ξυμβαίνει τὴν ἀνάμνησιν εἶναι μὲν ἀφ' ὁμοίων, εἶναι δὲ καὶ ἀπ' ἀνομοίων; Ξυμβαίνει. Ἀλλ' ὅταν γε ἀπὸ τῶν ὁμοίων ἀναμιμνήσκηταί τίς τι, ἆρ' οὐκ ἀναγκαῖον τόδε προσπάσχειν, ἐννοεῖν εἴτε τι ἐλλείπει τοῦτο κατὰ τὴν ὁμοιότητα εἴτε μὴ ἐκείνου οὗ ἀνεμνήσθη; Ἀνάγκη, ἔφη. Σκόπει δή, ἦ δ' ὅς, εἰ ταῦτα οὕτως ἔχει. φαμέν πού τι εἶναι ἴσον, οὐ ξύλον λέγω ξύλῳ οὐδὲ λίθον λίθῳ οὐδ' ἄλλο τῶν τοιούτων οὐδέν, ἀλλὰ παρὰ ταῦτα πάντα ἕτερόν τι, αὐτὸ τὸ ἴσον, φῶμέν τι εἶναι ἢ μηδέν; Φῶμεν μέντοι νὴ Δί', ἔφη ὁ Σιμμίας, θαυμαστῶς γε. Ἦ καὶ ἐπι-

neris infinita. *Sim.* Infinita, per Iovem. *So.* An non igitur tale quiddam recordatio quaedam est? maxime vero, si id nobis in illis contingat rebus, quas longitudine temporis et negligentia oblivioni iam tradiderimus? *Sim.* Ita certe. *So.* Quid vero? contingitne, ut, qui equum pictum viderit pictamque lyram, reminiscatur hominis? atque cum pictum aspexerit Simmiam, veniat illi in mentem et Cebes? *Sim.* Sic utique. *So.* Nonne evenit etiam, ut, qui Simmiam inspexerit pictum, ipsius quoque Simmiae recordetur? *Sim.* Evenit certe. *So.* An non secundum haec omnia contingit, tum a similibus, tum a dissimilibus reminiscentiam provenire? *Sim.* Contingit. *So.* Verum quotiens a similibus quispiam reminiscitur, an non necesse est id insuper intelligere, utrum deficiat hoc secundum similitudinem, necne, ab illo cuius repetita memoria est? *Sim.* Necesse est. *So.* Attende sane, nunquid haec ita se habeant. dicimus aliquid esse aequale? non dico lignum ligno, neque lapidem lapidi, neque aliud eiusmodi quicquam, sed praeter haec omnia aliud quiddam aequale ipsum dicimusne aliquid esse, an nihil? *Sim.* Dicimus, per Iovem; et quidem mirifice. *So.* An scimus

στάμεθα αὐτὸ ὃ ἔστιν; Πάνυ γε, ἦ δ' ὅς. Πόθεν λαβόντες αὐτοῦ τὴν ἐπιστήμην; ἆρ' οὐκ ἐξ ὧν νῦν δὴ ἐλέγομεν, ἢ ξύλα ἢ λίθους ἢ ἄλλ', ἅττα ἰδόντες ἴσα, ἐκ τούτων ἐκεῖνο ἐνενοήσαμεν, ἕτερον ὂν τούτων; ἢ οὐχ ἑτερόν σοι φαίνεται; σκόπει δὲ καὶ τῇδε, ἆρ' οὐ λίθοι μὲν ἴσοι καὶ ξύλα ἐνίοτε ταὐτὰ ὄντα τοτὲ μὲν ἴσα φαίνεται, τοτὲ δ' οὔ; Πάνυ μὲν οὖν. Τί δαί; αὐτὰ τὰ ἴσα ἔστιν ὅτε ἄνισά σοι ἐφάνη, ἢ ἡ ἰσότης ἀνισότης; Οὐδεπώποτέ γε, ὦ Σώκρατες. Οὐ ταὐτὸν ἄρ' ἐστίν, ἦ δ' ὅς, ταῦτά τε τὰ ἴσα καὶ αὐτὸ τὸ ἴσον. Οὐδαμῶς μοι φαίνεται, ὦ Σώκρατες. Ἀλλὰ μὴν ἐκ τούτων γ', ἔφη, τῶν ἴσων, ἕτερον ὄντων ἐκείνου τοῦ ἴσου, ὅμως αὐτοῦ τὴν ἐπιστήμην ἐννενόηκάς τε καὶ εἴληφας; Ἀληθέστατα, ἔφη, λέγεις. Οὐκοῦν ἢ ὁμοίου ὄντος τούτοις ἢ ἀνομοίου; Πάνυ γε. Διαφέρει δέ γ', ἦ δ' ὅς, οὐδέν. ἕως γὰρ ἂν ἄλλο ἰδὼν ἀπὸ ταύτης τῆς ὄψεως ἄλλο ἐνοήσῃς, εἴτε ὅμοιον εἴτε ἀνόμοιον, ἀναγκαῖον, ἔφη, αὐτὸ ἀναμνησιν γεγονέναι. Πάνυ μὲν οὖν. Τί δαὶ τόδ'; ἦ δ' ὅς. ἦ πάσχομέν τι τοιοῦτον περὶ τὰ ἐν τοῖς ξύλοις τε καὶ οἷς νῦν δὴ ἐλέγομεν τοῖς ἴσοις; ἆρα φαί-

et ipsum, quod est aequale? *Sim.* Omnino quidem. *So.* Undenam scientiam eius accepimus? an non ex his, quae modo diximus, videlicet conspicati vel ligna vel saxa vel alia quaedam aequalia, ex his illud excogitavimus, quod aliud est quam haec? an non aliud quiddam apparet? Considera vero et hoc pacto, nonne saxa vel ligna aequalia, dum eadem sunt, alias aequalia, alias inaequalia nobis apparent? *Sim.* Penitus. *So.* Quid autem? ipsa aequalia possunt inaequalia tibi videri? vel aequalitas, inaequalitas? *Sim.* Nunquam, o Socrates. *So.* Quamobrem non idem sunt haec aequalia atque ipsum aequale. *Sim.* Nullo modo idem mihi apparent, o Socrates. *So.* Veruntamen ab his aequalibus, quae alia sunt quam ipsum illud aequale, ipsius simul excogitasti scientiam atque percepisti. *Sim.* Verissima loqueris. *So.* An non, sive simile ipsum sit sive dissimile? *Sim.* Omnino. *So.* Nihil sane refert. quatenus enim aliud conspicatus, ex hac ipsa perspectione aliud intellexeris, sive simile sive dissimile, necesse est hinc reminiscentiam provenire. *Sim.* Et maxime quidem. *So.* Quid vero ad id? an sic nos habemus circa ea, quae sunt in his, quae modo dicebamus, aequalia, lignis, saxisque et aliis? videnturne ita aequalia haec

νεται ἡμῖν οὕτως ἴσα εἶναι ὡς περ αὐτὸ ὃ ἔστιν ἴσον, ἢ ἐνδεῖ τι ἐκείνου τῷ μὴ τοιοῦτον εἶναι οἷον τὸ ἴσον, ἢ οὐδέν; Καὶ πολύ γε, ἔφη, ἐνδεῖ. Οὐκοῦν ὁμολογοῦμεν, ὅταν τίς τι ἰδὼν ἐννοήσῃ ὅτι βούλεται μὲν τοῦτο, ὃ νῦν ἐγὼ ὁρῶ, εἶναι οἷον ἄλλο τι τῶν ὄντων, ἐνδεῖ δὲ καὶ οὐ δύναται τοιοῦτον εἶναι οἷον ἐκεῖνο, ἀλλ' ἔστι φαυλότερον, ἀναγκαῖόν που τὸν τοῦτο ἐννοοῦντα τυχεῖν προειδότα ἐκεῖνο ᾧ φησὶν αὐτὸ προσεοικέναι μέν, ἐνδεεστέρως δὲ ἔχειν; Ἀνάγκη. Τί οὖν; τὸ τοιοῦτον πεπόνθαμεν καὶ ἡμεῖς, ἢ οὔ, περί τε τὰ ἴσα καὶ αὐτὸ τὸ ἴσον; Παντάπασί γε. Ἀναγκαῖον ἄρα ἡμᾶς προειδέναι τὸ ἴσον πρὸ ἐκείνου τοῦ χρόνου, ὅτε τὸ πρῶτον ἰδόντες τὰ ἴσα ἐνενοήσαμεν ὅτι ὀρέγεται μὲν πάντα ταῦτ' εἶναι οἷον τὸ ἴσον, ἔχει δὲ ἐνδεεστέρως. Ἔστι ταῦτα. Ἀλλὰ μὴν καὶ τόδε ὁμολογοῦμεν, μὴ ἄλλοθεν αὐτὸ ἐννενοηκέναι μηδὲ δυνατὸν εἶναι ἐννοῆσαι ἀλλ' ἢ ἐκ τοῦ ἰδεῖν ἢ ἅψασθαι ἢ ἔκ τινος ἄλλης τῶν αἰσθήσεων· ταὐτὸν δὲ πάντα ταῦτα λέγω. Ταὐτὸν γὰρ ἔστιν, ὦ Σώκρατες, πρός γε ὃ βούλεται δηλῶσαι ὁ λόγος. Ἀλλὰ μὲν δὴ ἔκ γε τῶν αἰσθήσεων δεῖ ἐννοῆσαι ὅτι πάντα τὰ ἐν ταῖς αἰσθήσεσιν ἐκείνου

esse, ut ipsum, quod est aequale? an deesse potius aliquid, quo minus talia sint, quale est aequale ipsum, an nihil? *Sim.* Permultum certe deest. *So.* Nonne confitemur: quando quis aliquid intuens animadvertat, appetere quidem hoc, quod in praesentia videt, esse tale, quale quiddam aliud ex his quae sunt; verum deficere, neque posse tale esse aequale, quale sit illud, sed deterius esse; nonne necesse est eum, qui animadvertit, ante cognovisse illud, cui dicit hoc quodammodo simile fieri, sed ad plenam similitudinem non accedere? *Sim.* Necesse est. *So.* Quid ergo? talene aliquid contingit et nobis, nec ne, circa aequalia ipsumque aequale? *Sim.* Quam plurimum. *So.* Necesse est ergo, nos aequalis ipsius scientiam ante illud tempus habuisse, in quo primum videntes aequalia, agnovimus conari quidem haec omnia talia evadere, quale est ipsum, attamen a perfectione ipsius abesse. *Sim.* Ita est. *So.* Atqui et hoc confitemur, nos neque aliunde id agnovisse neque agnoscere posse, quam ex visu vel tactu vel alio quodam sensu. similiter enim de his omnibus iudico. *Sim.* Similiter, o Socrates, ad id se habent, de quo agitur, ostendendum. *So.* Atqui a sensibus quidem intellexisse oportet, omnia, quae subiecta sunt sensibus, illud, quod est

τε ὀρέγεται τοῦ ὃ ἔστιν ἴσον, καὶ αὐτοῦ ἐνδεέστερά ἐστιν. ἢ πῶς λέγομεν; Οὕτως. Πρὸ τοῦ ἄρα ἄρξασθαι ἡμᾶς ὁρᾶν καὶ ἀκούειν καὶ τἆλλα αἰσθάνεσθαι τυγεῖν ἔδει που εἰληφότας ἐπιστήμην αὐτοῦ τοῦ ἴσου, ὅ τι ἔστιν, εἰ ἐμέλλομεν τὰ ἐκ τῶν αἰσθήσεων ἴσα ἐκεῖσε ἀνοίσειν, ὅτι προθυμεῖται μὲν πάντα τοιαῦτα εἶναι οἷον ἐκεῖνο, ἔστι δὲ αὐτοῦ φαυλότερα. Ἀνάγκη ἐκ τῶν προειρημένων, ὦ Σώκρατες. Οὐκοῦν γενόμενοι εὐθὺς ἑωρῶμέν τε καὶ ἠκούομεν καὶ τὰς ἄλλας αἰσθήσεις εἴχομεν; Πάνυ γε. Ἔδει δέ γε, φαμέν, πρὸ τούτων τὴν τοῦ ἴσου ἐπιστήμην εἰληφέναι; Ναί. Πρὶν γενέσθαι ἄρα, ὡς ἔοικεν, ἀνάγκη ἡμῖν αὐτὴν εἰληφέναι. Ἔοικεν. Οὐκοῦν εἰ μὲν λαβόντες αὐτὴν πρὸ τοῦ γενέσθαι ἔχοντες ἐγενόμεθα, ἠπιστάμεθα καὶ πρὶν γενέσθαι καὶ εὐθὺς γενόμενοι οὐ μόνον τὸ ἴσον καὶ τὸ μεῖζον καὶ τὸ ἔλαττον ἀλλὰ καὶ ξύμπαντα τὰ τοιαῦτα; οὐ γὰρ περὶ τοῦ ἴσου νῦν ὁ λόγος ἡμῖν μᾶλλόν τι ἢ καὶ περὶ αὐτοῦ τοῦ καλοῦ καὶ αὐτοῦ τοῦ ἀγαθοῦ καὶ δικαίου καὶ ὁσίου, καὶ ὃ περ λέγω, περὶ ἁπάντων οἷς ἐπισφραγιζόμεθα τοῦτο, ὃ ἔστι, καὶ ἐν ταῖς ἐρωτήσεσιν ἐρωτῶντες καὶ ἐν ταῖς ἀποκρίσεσιν ἀποκρινόμενοι. ὥστε ἀναγ-

aequale, appetere, quamvis ipsum non assequantur. an aliter dicimus? *Sim.* Haud aliter. *So.* Ante enim, quam inciperemus videre aut audire aliisque uti sensibus, oportuit nos aequalis ipsius scientiam possedisse, videlicet quid ipsum sit: si modo aequalia haec, quae sensibus subiacent, ad ipsum adeo relaturi simus, ut iudicemus anniti quidem haec omnia talia, quale ipsum est, evadere, veruntamen deteriora relinqui. *Sim.* Necessario ex superioribus, o Socrates, sequitur. *So.* An non statim nati vidimus et audivimus aliosque sensus exercuimus? *Sim.* Omnino. *So.* Oportuit autem, ut diximus, ante haec ipsius aequalis scientiam habuisse. *Sim.* Oportuit. *So.* Quamobrem, ut videtur, necesse est, antequam nasceremur, eam comprehendisse. *Sim.* Sic apparet. *So.* Nonne, si eam sortiti ante nativitatem ipsam iam habentes nati sumus, scivimus et ante ortum atque statim nati, non solum ipsum aequale maiusque et minus, verum etiam eiusdem generis omnia? non enim de aequali magis nunc nobis est sermo quam de ipso pulchro, de ipso bono, de ipso iusto atque sancto, et, ut dico, de omnibus, quibus proprie hoc ipsum, quod est, assignamus, et interrogationibus interrogantes et responsionibus respondentes, ut necessarium sit

καῖον ἡμῖν εἶναι τούτων ἁπάντων τὰς ἐπιστήμας πρὸ τοῦ γενέσθαι εἰληφέναι. Ἔστι ταῦτα. Καὶ εἰ μέν γε λαβόντες μὴ ἑκάστοτε ἐπιλελήσμεθα, εἰδότας ἀεὶ γίγνεσθαι καὶ ἀεὶ διὰ βίου εἰδέναι· τὸ γὰρ εἰδέναι τοῦτ' ἐστί, λαβόντα του ἐπιστήμην ἔχειν καὶ μὴ ἀπολωλεκέναι. ἢ οὐ τοῦτο λήθην λέγομεν, ὦ Σιμμία, ἐπιστήμης ἀποβολήν; Πάντως δή που, ἔφη, ὦ Σώκρατες. Εἰ δέ γε, οἶμαι, λαβόντες πρὶν γενέσθαι γιγνόμενοι ἀπωλέσαμεν, ὕστερον δὲ ταῖς αἰσθήσεσι χρώμενοι περὶ ταῦτα ἐκείνας ἀναλαμβάνομεν τὰς ἐπιστήμας ἃς ποτε καὶ πρὶν εἴχομεν, ἆρ' οὐχ, ὃ καλοῦμεν μανθάνειν, οἰκείαν ἂν ἐπιστήμην ἀναλαμβάνειν εἴη; τοῦτο δέ που ἀναμιμνήσκεσθαι λέγοντες ὀρθῶς ἂν λέγοιμεν; Πάνυ γε. Δυνατὸν γὰρ δὴ τοῦτό γ' ἐφάνη, αἰσθόμενόν τι ἢ ἰδόντα ἢ ἀκούσαντα ἤ τινα ἄλλην αἴσθησιν λαβόντα ἕτερόν τι ἀπὸ τούτου ἐννοῆσαι ὃ ἐπελέλητο, ᾧ τοῦτο ἐπλησίαζεν ἀνόμοιον ὂν ἢ ᾧ ὅμοιον. ὥστε ὅ περ λέγω, δυοῖν θάτερον, ἤτοι ἐπιστάμενοί τε αὐτὰ γεγόναμεν καὶ ἐπιστάμεθα διὰ βίου πάντες, ἢ ὕστερον οὓς φαμεν μανθάνειν, οὐδὲν ἄλλ' ἢ ἀναμιμνήσκονται οὗτοι καὶ ἡ μάθησις ἀνάμνησις ἂν εἴη. Καὶ μάλα δὴ οὕτως

nos, antequam nasceremur, horum omnium scientiam habuisse. *Sim.* Est ita. *So.* Ac si, acceptis scientiis, non semper oblivisceremur, oporteret et cum ipsis nasci, semper etiam per omnem vitam scire. Nam scire id est, acceptam alicuius rei scientiam retinere nec amisisse. an non oblivionem scientiae iacturam esse dicimus? *Sim.* Ita prorsus, o Socrates. *So.* Sin autem acceptam ante ortum scientiam nati amisimus; deinde vero freti sensibus circa ipsas scientias illas, quas ante habueramus, recipimus: nonne id, quod discere appellamus, esset scientiam propriam recuperare, atque id Reminisci nominantes recte nominaremus? *Sim.* Recte. *So.* Fieri enim id posse apparuit: videlicet ut cum quis aliquid senserit vel videndo vel audiendo vel aliter sentiendo, aliud quiddam ex hoc agnoscat, cuius erat oblitus, cui quidem hoc quodammodo propinquabat, sive simile id sit sive dissimile. Ita, quod iam pridem dico, e duobus alterum. aut enim scientes nati sumus, scimusque per omnem vitam omnes; aut, quos deinde dicimus discere, duntaxat reminiscuntur; atque disciplina reminiscentia est. *Sim.* Sic omnino se res habet,

ἔχει, ὦ Σώκρατες. Πότερον οὖν αἱρεῖ, ὦ Σιμμία; ἐπισταμένους ἡμᾶς γεγονέναι, ἢ ἀναμιμνήσκεσθαι ὕστερον ὧν πρότερον ἐπιστήμην εἰληφότες ἦμεν; Οὐκ ἔχω, ὦ Σώκρατες, ἐν τῷ παρόντι ἑλέσθαι. Τί δέ; τόδε ἔχεις ἑλέσθαι, καὶ πῇ σοι δοκεῖ περὶ αὐτοῦ; ἀνὴρ ἐπιστάμενος περὶ ὧν ἐπίσταται ἔχοι ἂν δοῦναι λόγον ἢ οὔ; Πολλὴ ἀνάγκη, ἔφη, ὦ Σώκρατες. Ἦ καὶ δοκοῦσί σοι πάντες ἔχειν διδόναι λόγον περὶ τούτων ὧν νῦν δὴ ἐλέγομεν; Βουλοίμην μέντ' ἄν, ἔφη ὁ Σιμμίας· ἀλλὰ πολὺ μᾶλλον φοβοῦμαι μὴ αὔριον τηνικάδε οὐκέτι ᾖ ἀνθρώπων οὐδεὶς ἀξίως οἷός τε τοῦτο ποιῆσαι. Οὐκ ἄρα δοκοῦσί σοι ἐπίστασθαί γε, ἔφη, ὦ Σιμμία, πάντες αὐτά; Οὐδαμῶς. Ἀναμιμνήσκονται ἄρα ἃ ποτε ἔμαθον; Ἀνάγκη. Πότε λαβοῦσαι αἱ ψυχαὶ ἡμῶν τὴν ἐπιστήμην αὐτῶν; οὐ γὰρ δὴ ἀφ' οὗ γε ἄνθρωποι γεγόναμεν. Οὐ δῆτα. Πρότερον ἄρα. Ναί. Ἦσαν ἄρα, ὦ Σιμμία, αἱ ψυχαὶ καὶ πρότερον, πρὶν εἶναι ἐν ἀνθρώπου εἴδει, χωρὶς σωμάτων, καὶ φρόνησιν εἶχον. Εἰ μὴ ἄρα ἅμα γιγνόμενοι λαμβάνομεν, ὦ Σώκρατες, ταύτας τὰς ἐπιστήμας· οὗτος γὰρ λείπεται ἔτι ὁ χρόνος. Εἶεν, ὦ ἑταῖρε· ἀπόλλυμεν δὲ αὐτὰς ἐν ποίῳ

o Socrates. *So.* Utrum igitur eligis, o Simmia? vel cum scientia nos esse natos, vel reminisci postea, quorum prius scientiam acceperimus? *Sim.* Ambigo, utrum in praesentia, Socrates, eligam. *So.* Quid vero? potesne eligere, quid de hoc videatur tibi? Vir sciens potestne eorum, quae scit, reddere rationem, an contra? *Sim.* Necesse est, o Socrates, posse. *So.* An vero tibi videntur omnes rationem de his, quae modo tractabamus, afferre posse? *Sim.* Optarem equidem: sed multo magis vereor, ne cras nullus hic homo sit, qui pro dignitate id sciat efficere. *So.* Non igitur, o Simmia, putas omnes hoc intelligere? *Sim.* Nullo modo. *So.* Reminiscuntur ergo, quae aliquando didicerant. *Sim.* Necesse est. *So.* Quando vero acceperunt animae nostrae scientiam? non enim postquam homines nati sumus. *Sim.* Non certe. *So.* Ergo prius. *Sim.* Ita. *So.* Erant igitur, Simmia, animae etiam prius, quam in humanam speciem devenirent, seorsum a corpore, intelligentiamque habebant. *Sim.* Nisi forte, o Socrates, dum nasceremur, ipsas scientias acceperimus. nam id etiam tempus reliquum est. *So.* Esto sic, o amice, sed quonam alio tempore eas amisimus? non enim haben-

ἄλλῳ χρόνῳ; οὐ γὰρ δὴ ἔχοντές γε αὐτὰς γιγνόμεθα, ὡς ἄρτι ὡμολογήσαμεν, ἢ ἐν τούτῳ ἀπόλλυμεν, ἐν ᾧ περ καὶ λαμβάνομεν; ἢ ἔχεις ἄλλον τινὰ εἰπεῖν χρόνον; Οὐδαμῶς, ὦ Σώκρατες, ἀλλ' ἐλαθον ἐμαυτὸν οὐδὲν εἰπών. Ἆρ' οὖν οὕτως, ἔφη, ἔχει ἡμῖν, ὦ Σιμμία; εἰ μὲν ἔστιν ἃ θρυλοῦμεν ἀεί, καλόν τε καὶ ἀγαθὸν καὶ πᾶσα ἡ τοιαύτη οὐσία, καὶ ἐπὶ ταύτην τὰ ἐκ τῶν αἰσθήσεων πάντα ἀναφέρομεν, ὑπάρχουσαν πρότερον ἀνευρίσκοντες ἡμετέραν οὖσαν, καὶ ταῦτα ἐκείνῃ ἀπεικάζομεν, ἀναγκαῖον, οὕτως ὡς περ καὶ ταῦτα ἔστιν, οὕτω καὶ τὴν ἡμετέραν ψυχὴν εἶναι καὶ πρὶν γεγονέναι ἡμᾶς· εἰ δὲ μὴ ἔστι ταῦτα, ἄλλως ἂν ὁ λόγος οὗτος εἰρημένος εἴη; ἆρ' οὕτως ἔχει, καὶ ἴση ἀνάγκη ταῦτά τε εἶναι καὶ τὰς ἡμετέρας ψυχὰς πρὶν καὶ ἡμᾶς γεγονέναι, καὶ εἰ μὴ ταῦτα, οὐδὲ τάδε; Ὑπερφυῶς, ἔφη, ὦ Σώκρατες, ὁ Σιμμίας, δοκεῖ μοι ἡ αὐτὴ ἀνάγκη εἶναι, καὶ εἰς καλόν γε καταφεύγει ὁ λόγος, εἰς τὸ ὁμοίως εἶναι τήν τε ψυχὴν ἡμῶν πρὶν γενέσθαι ἡμᾶς, 77
καὶ τὴν οὐσίαν ἣν σὺ νῦν λέγεις. οὐ γὰρ ἔχω ἔγωγε οὐδὲν οὕτω μοι ἐναργὲς ὂν ὡς τοῦτο, τὸ πάντα τὰ τοιαῦτα εἶναι ὡς οἷόν τε μάλιστα, καλόν τε καὶ ἀγα-

tes iam eas nascimur, ut modo confitebamur. An in eodem perdimus, quo et accepimus? an aliud tempus afferre potes? *Sim.* Nullo, Socrates, modo. sed nihil me dicere minime advertebam. *So.* An ergo sic nobis se res habet, o Simmia? Si quidem sunt ea, quae quotidie praedicamus, pulchrum scilicet quiddam atque bonum et omnis eiusmodi essentia, ad quam omnia sensibus percepta referimus, quae et prius erat nostra et tanquam nostram quaerentes invenimus atque ad ipsius exemplar referimus; necesse est, ita, ut et ipsa sunt, nostram quoque animam prius etiam, quam nasceremur, exstitisse. At si haec non sunt, frustra utique ratio haec tractata esset. An non ita se habet, atque par necessitas est, et ipsa esse et animas nostras, antequam nasceremur: et nisi ipsa sunt, neque haec utique sunt? *Sim.* Mirifice, o Socrates, eadem mihi videtur esse necessitas: atque pulcherrime huc ratio nos perducit, ut similiter tam animam nostram quam essentiam ipsam, quam modo dicebas, ante quam nasceremur, exstitisse confiteamur. Nihil enim tam certum habeo quam esse eiusmodi omnia, et quidem maxime, scilicet pulchrum ipsum et bonum aliaque omnia,

θὸν καὶ τἆλλα πάντα ἃ σὺ νῦν δὴ ἔλεγες· καὶ ἔμοιγε ἱκανῶς ἀποδέδεικται.

Τί δὲ δὴ Κέβητι; ἔφη ὁ Σωκράτης· δεῖ γὰρ καὶ Κέβητα πείθειν. Ἱκανῶς, ἔφη ὁ Σιμμίας, ὡς ἔγωγε οἶμαι· καί τοι καρτερώτατος ἀνθρώπων ἐστὶ πρὸς τὸ ἀπιστεῖν τοῖς λόγοις. ἀλλ' οἶμαι οὐκ ἐνδεῶς τοῦτο πεπεῖσθαι αὐτόν, ὅτι πρὶν γενέσθαι ἡμᾶς ἦν ἡμῶν ἡ ψυχή. εἰ μέντοι καὶ ἐπειδὰν ἀποθάνωμεν ἔτι ἔσται, οὐδ' αὐτῷ μοι δοκεῖ, ἔφη, ὦ Σώκρατες, ἀποδεδεῖχθαι, ἀλλ' ἔτι ἐνίστηκεν, ὃ νῦν δὴ Κέβης ἔλεγε, τὸ τῶν πολλῶν, ὅπως μὴ ἅμα ἀποθνήσκοντος τοῦ ἀνθρώπου διασκεδάννυται ἡ ψυχὴ καὶ αὐτῇ τοῦ εἶναι τοῦτο τέλος ᾖ. τί γὰρ κωλύει γίγνεσθαι μὲν αὐτὴν καὶ ξυνίστασθαι ἀμόθεν ποθὲν καὶ εἶναι πρὶν καὶ εἰς ἀνθρώπειον σῶμα ἀφικέσθαι, ἐπειδὰν δὲ ἀφίκηται καὶ ἀπαλλάττηται τούτου, τότε καὶ αὐτὴν τελευτᾶν καὶ διαφθείρεσθαι; Εὖ λέγεις, ἔφη, ὦ Σιμμία, ὁ Κέβης. φαίνεται γὰρ ὥς περ ἡμισυ ἀποδεδεῖχθαι οὗ δεῖ, ὅτι πρὶν γενέσθαι ἡμᾶς ἦν ἡμῶν ἡ ψυχή· δεῖ δὲ προσαποδεῖξαι ὅτι καὶ ἐπειδὰν ἀποθάνωμεν, οὐδὲν ἧττον ἔσται ἡ πρὶν γενέσθαι, εἰ μέλλει τέλος ἡ ἀπόδειξις ἕξειν. Ἀποδέδεικται μέν,

quae tu modo dicebas. Et quantum ad me attinet, satis est demonstratum. *So.* Quid vero videtur Cebeti? oportet enim illi quoque persuadere. *Sim.* Satis et illi arbitror persuasum, quamvis omnium repugnantissimus sit et ad credendum tardissimus. opinor tamen sufficienter illi probatum, ante ortum nostrum animam exstitisse. An vero post interitum nostrum etiam futura sit, nec mihi quidem ipsi, o Socrates, satis adhuc videtur ostensum. sed nunc etiam restat multorum dubitatio illa, quam in medium Cebes adduxerat, ne videlicet homine moriente simul anima dissipetur atque ita esse desinat. quid enim prohibet fieri quidem illam et aliunde constitui, atque esse prius etiam, quam in corpus hominis laberetur: postquam vero ab eo discesserit, tunc illam insuper interire? *Ce.* Recte loqueris, Simmia. Videtur enim quasi dimidium eius, quod oportet, probatum, ante videlicet, quam nasceremur, nostram animam exstitisse: oportere autem id quoque ostendere, postquam mortui fuerimus, non minus fore quam esset, antequam nasceremur, si modo finem suum demonstratio sit habitura. *So.* Demonstra-

ἔφη, ὦ Σιμμία τε καὶ Κέβης, ὁ Σωκράτης, καὶ νῦν, εἰ θέλετε συνθεῖναι τοῦτόν τε τὸν λόγον εἰς ταὐτὸν καὶ ὃν πρὸ τούτου ὡμολογήσαμεν, τὸ γίγνεσθαι πᾶν τὸ ζῶν ἐκ τοῦ τεθνεῶτος. εἰ γὰρ ἔστι μὲν ἡ ψυχὴ καὶ πρότερον, ἀνάγκη δ' αὐτῇ εἰς τὸ ζῆν ἰοῦσῃ τε καὶ γιγνομένῃ μηδαμόθεν ἄλλοθεν ἢ ἐκ θανάτου καὶ τοῦ τεθνάναι γίγνεσθαι, πῶς οὐκ ἀνάγκη αὐτῇ καὶ ἐπειδὰν ἀποθάνῃ εἶναι, ἐπειδή γε δεῖ αὖθις αὐτὴν γίγνεσθαι; ἀποδέδεικται μὲν οὖν, ὅ περ λέγετε, καὶ νῦν· ὅμως δέ μοι δοκεῖς σύ τε καὶ Σιμμίας ἡδέως ἂν καὶ τοῦτον διαπραγματεύσασθαι τὸν λόγον ἔτι μᾶλλον, καὶ δεδιέναι τὸ τῶν παίδων, μὴ ὡς ἀληθῶς ὁ ἄνεμος αὐτὴν ἐκβαίνουσαν ἐκ τοῦ σώματος διαφυσᾷ καὶ διασκεδάννυσιν, ἄλλως τε καὶ ὅταν τύχῃ τις μὴ ἐν νηνεμίᾳ ἀλλ' ἐν μεγάλῳ τινὶ πνεύματι ἀποθνήσκων. Καὶ ὁ Κέβης ἐπιγελάσας Ὡς δεδιότων, ἔφη, ὦ Σώκρατες, πειρῶ ἀναπείθειν· μᾶλλον δὲ μὴ ὡς ἡμῶν δεδιότων, ἀλλ' ἴσως ἔνι τις καὶ ἐν ἡμῖν παῖς ὅς τις τὰ τοιαῦτα φοβεῖται. τοῦτον οὖν πειρώμεθα πείθειν μὴ δεδιέναι τὸν θάνατον ὡς περ τὰ μορμολύκεια. Ἀλλὰ χρή, ἔφη ὁ Σωκράτης, ἐπᾴδειν αὐτῷ ἑκάστης ἡμέρας, ἕως ἂν ἐξεπάσητε. Πόθεν οὖν, ἔφη, ὦ Σώκρατες, τῶν τοιού- 78

tum quidem est istud, o Simmia et o Cebes, etiam nunc, si modo velitis, et id, quod modo probatum est, et illud, quod ante concesseramus, videlicet omne vivens ex mortuo fieri, in unum connectere. Si enim est anima prius, et cum in hanc venit vitam fitque homo, necesse est non aliunde eam quam ex mortuis proficisci: cur non [illegible]ssarium sit, ut etiam post mortem corporis maneat, cum [illegible]rteat ipsam ad hanc vitam reverti? Demonstratum igitu[illegible]unc est, quod dicitur. Veruntamen videmini tu atque Sim[illegible]ius cupere idem rursus diligentius pertractari: ac forsitan puerorum more formidatis, ne revera corpore egredientem ventus dissolvat atque dispergat, praesertim si ventis vehementius flantibus exeat. Ad haec Cebes subridens, tanquam nobis id formidantibus, inquit, o Socrates, contra persuadere conare: immo vero non tanquam formidantibus nobis: sed fortasse est inter nos puer aliquis talia metuens: huic ergo annitamur persuadere, ne mortem ceu larvas pertimescat. *So.* Oportet certe huic mederi carminibus quotidie, quoad sanus efficiatur. *Ce.* Sed ubinam medicum eiusmodi,

τῶν ἀγαθὸν ἐπῳδὸν ληψόμεθα, ἐπειδὴ σύ, ἔφη, ἡμᾶς ἀπολείπεις; Πολλὴ μὲν ἡ Ἑλλάς, ἔφη, ὦ Κέβης, ἐν ᾗ ἔνεισί που ἀγαθοὶ ἄνδρες, πολλὰ δὲ καὶ τὰ τῶν βαρβάρων γένη, οὓς πάντας χρὴ διερευνᾶσθαι ζητοῦντας τοιοῦτον ἐπῳδόν, μήτε χρημάτων φειδομένους μήτε πόνων, ὡς οὐκ ἔστιν εἰς ὅ τι ἂν εὐκαιρότερον ἀναλίσκοιτε χρήματα. ζητεῖν δὲ χρὴ καὶ αὐτοὺς μετ' ἀλλήλων· ἴσως γὰρ ἂν οὐδὲ ῥᾳδίως εὕροιτε μᾶλλον ὑμῶν δυναμένους τοῦτο ποιεῖν.

Ἀλλὰ ταῦτα μὲν δή, ἔφη, ὑπάρξει, ὁ Κέβης· ὅθεν δὲ ἀπελίπομεν, ἐπανέλθωμεν, εἴ σοι ἡδομένῳ ἐστίν. Ἀλλὰ μὴν ἡδομένῳ γε· πῶς γὰρ οὔ μέλλει; Καλῶς, ἔφη, λέγεις. Οὐκοῦν τοιόνδε τι, ἢ δ' ὃς ὁ Σωκράτης, δεῖ ἡμᾶς ἀνερέσθαι ἑαυτούς, τῷ ποίῳ τινὶ ἄρα προσήκει τοῦτο τὸ πάθος πάσχειν, τὸ διασκεδάννυσθαι, καὶ ὑπὲρ τοῦ ποίου τινὸς δεδιέναι μὴ πάθῃ αὐτό, καὶ τῷ ποίῳ τινὶ * οὔ; καὶ μετὰ τοῦτο αὖ ἐπισκέψασθαι πότερον ψυχή ἐστι, καὶ ἐκ τούτων θαῤῥεῖν ἢ δεδιέναι ὑπὲρ τῆς ἡμετέρας ψυχῆς; Ἀληθῆ, ἔφη, λέγεις. Ἆρ' οὖν τῷ μὲν ξυντεθέντι τε καὶ ξυνθέτῳ ὄντι φύσει προσήκει τοῦτο πάσχειν, διαιρεθῆναι ταύτῃ ἥ περ ξυνετέθη· εἰ δέ τι τυγχάνει ὂν ἀξύνθετον, τούτῳ μόνῳ προσήκει μὴ

nanciscemur, o Socrates, cum tu discesseris? *So.* Ampla est, o Cebes, Graecia, in qua sunt viri praestantes: quam plurimae sunt barbarae nationes; per has omnes eiusmodi medicum debetis perquirere, neque pecuniis parcentes neque laboribus. nihil est enim, pro quo commodius omnia quis expendat. Perscrutandum quoque est etiam inter vos ipsos. forte enim non facile invenietis, qui melius quam vos id queat efficere. *Ce.* Fiet id quidem. sed redeamus iam, si tibi placet, unde digressi sumus. *So.* Mihi quidem placet. quid enim prohibet? *Ce.* Recte respondes. *So.* An non tale aliquid a nobis ipsis sciscitari debemus, cuinam et quali conveniat ea passio, per quam dissolvi possit: et cui qualique sit metuendum, ne id patiatur, et secundum quam qualemque eius partem: deinde considerare, cuiusmodi anima sit: demum ex his animae nostrae gratia vel confidere vel timere. *Ce.* Vera loqueris. *So.* Nonne igitur ei, quod componitur iamque compositum est, natura id pati convenit, ut, quatenus est compositum, dissolvatur? si quid vero non sit

πάσχειν ταῦτα, εἴ πέρ τῳ ἄλλῳ; Δοκεῖ μοι, ἔφη, οὕτως ἔχειν, ὦ Κέβης. Οὐκοῦν ἃ περ ἀεὶ κατὰ ταὐτὰ καὶ ὡσαύτως ἔχει, ταῦτα μάλιστα εἰκὸς εἶναι τὰ ἀξύνθετα, τὰ δὲ ἄλλοτ' ἄλλως καὶ μηδέποτε κατὰ ταὐτά, ταῦτα δὲ εἶναι τὰ ξύνθετα; Ἔμοιγε δοκεῖ οὕτως. Ἴωμεν δή, ἔφη, ἐπὶ ταὐτὰ ἐφ' ἃ περ ἐν τῷ ἔμπροσθεν λόγῳ. αὐτὴ ἡ οὐσία ἧς λόγον δίδομεν τοῦ εἶναι καὶ ἐρωτῶντες καὶ ἀποκρινόμενοι, πότερον ὡσαύτως ἀεὶ ἔχει καὶ κατὰ ταὐτὰ ἢ ἄλλοτ' ἄλλως; αὐτὸ τὸ ἴσον, αὐτὸ τὸ καλόν, αὐτὸ ἕκαστον ὅ ἔστι, τὸ ὄν, μή ποτε μεταβολὴν καὶ ἠντινοῦν ἐνδέχεται; ἢ ἀεὶ αὐτῶν ἕκαστον ὅ ἔστι, μονοειδὲς ὂν αὐτὸ καθ' αὑτό, ὡσαύτως καὶ κατὰ ταὐτὰ ἔχει καὶ οὐδέποτε οὐδαμῇ οὐδαμῶς ἀλλοίωσιν οὐδεμίαν ἐνδέχεται; Ὡσαύτως, ἔφη, ἀνάγκη, ὦ Κέβης, καὶ κατὰ ταὐτὰ ἔχειν, ὦ Σώκρατες. Τί δὲ τῶν πολλῶν καλῶν, οἷον ἀνθρώπων ἢ ἵππων ἢ ἱματίων ἢ ἄλλων ὁντινωνοῦν τοιούτων, ἢ ἴσων ἢ καλῶν ἢ πάντων τῶν ἐκείνοις ὁμωνύμων; ἆρα κατὰ ταὐτὰ ἔχει, ἢ πᾶν τοὐναντίον ἐκείνοις οὔτε αὐτὰ αὑτοῖς οὔτε ἀλλήλοις

compositum, huic soli potissimum nulla accidit dissolutio. *Ce.* Mihi quidem sic apparet. *So.* An non, quae semper secundum eadem eodemque modo se habent, haec maxime esse convenit simplicia? quae vero alias aliter, nec unquam secundum eadem, haec esse composita? *Ce.* Ita equidem opinor. *So.* Redeamus iam ad illa, ad quae in superiori disputatione processimus. Ipsa essentia, cuius interrogando respondendoque rationem hoc ipsum, quod est, assignamus, utrum eodem modo et secundum eadem se semper habet? an alias aliter? videlicet et ipsum aequale, ipsum pulchrum, ipsum unumquodque, quod est ens, utrum mutationem aliquando aliquam ipsa recipiunt? an ipsorum unumquodque semper id, quod est uniforme, existens ipsum per seipsum, eodem modo et secundum eadem se habet, neque unquam neque usquam nec ullo pacto mutationem aliquam suscipit? *Ce.* Necesse est, o Socrates, haec eodem modo et secundum eadem se semper habere. *So.* Quid autem dicemus de multis, quae similiter pulchra dicuntur, scilicet hominibus, equis, vestibus vel aliis quibuscunque talibus, quae vel pulchra dicuntur vel aequalia, vel etiam de omnibus, quae illis synonyma sunt? num haec secundum eadem se semper habent? an potius omnino contra quam illa, videlicet neque ipsa sibimet neque

οὐδέποτε ὡς ἔπος εἰπεῖν οὐδαμῶς κατὰ ταὐτά ἐστιν; Οὕτως αὖ, ἔφη, ταῦτα, ὁ Κέβης· οὐδεποτε ὡσαύτως
79 ἔχει. Οὐκοῦν τούτων μὲν κἂν ἅψαιο κἂν ἴδοις κἂν ταῖς ἄλλαις αἰσθήσεσιν αἴσθοιο, τῶν δὲ κατὰ ταὐτὰ ἐχόντων οὐκ ἔστιν ὅτῳ ποτ' ἂν ἄλλῳ ἐπιλάβοιο ἢ τῷ τῆς διανοίας λογισμῷ, ἀλλ' ἔστιν ἀειδῆ τὰ τοιαῦτα καὶ οὐχ ὁρᾶται; Παντάπασιν, ἔφη, ἀληθῆ λέγεις. Θῶμεν οὖν βούλει, ἔφη, δύο εἴδη τῶν ὄντων, τὸ μὲν ὁρατόν, τὸ δὲ ἀειδές; Θῶμεν, ἔφη. Καὶ τὸ μὲν ἀειδὲς ἀεὶ κατὰ ταὐτὰ ἔχον, τὸ δὲ ὁρατὸν μηδέποτε κατὰ ταὐτά; Καὶ 10
τοῦτο, ἔφη, θῶμεν. Φέρε δή, ἦ δ' ὅς, ἄλλο τι ἡμῶν αὐτῶν τὸ μὲν σῶμά ἐστι, τὸ δὲ ψυχή; Οὐδὲν ἄλλο, ἔφη. Ποτέρῳ οὖν ὁμοιότερον τῷ εἴδει φαῖμεν ἂν εἶναι καὶ ξυγγενέστερον τὸ σῶμα; Παντί, ἔφη, τοῦτό γε δῆλον ὅτι τῷ ὁρατῷ. Τί δὲ ἡ ψυχή; ὁρατὸν ἢ ἀειδές; Οὐχ ὑπ' ἀνθρώπων γε, ὦ Σώκρατες, ἔφη. Ἀλλὰ μὴν ἡμεῖς γε τὰ ὁρατὰ καὶ τὰ μὴ τῇ τῶν ἀνθρώπων φύσει ἐλέγομεν. ἢ ἄλλῃ τινὶ οἴει; Τῇ τῶν ἀνθρώπων. Τί οὖν περὶ ψυχῆς λέγομεν; ὁρατὸν εἶναι ἢ οὐχ ὁρατόν; Οὐχ ὁρατόν. Ἀειδὲς ἄρα; Ναί. Ὁμοιότερον ἄρα ψυχὴ 20

invicem unquam, ut simpliciter loquar, ullo pacto secundum eadem eodemque modo se habent? *Ce.* Haec, o Socrates, nunquam eodem modo sunt. *So.* Et haec quidem tangi, videri aliisque sensibus attingi possunt. quae vero semper secundum eadem permanent, sola intelligentiae ratione percipiuntur; suntque invisibilia, quae talia sunt, neque cernuntur. *Ce.* Vera omnino loqueris. *So.* Vis ergo duas rerum species ponamus, alteram visibilium, invisibilium alteram? *Ce.* Ponamus. *So.* Et invisibile quidem modo semper eodem esse, visibile vero nunquam eodem? *Ce.* Hoc quoque ponamus. *So.* Age iam, aliudne in nobis est, quam hinc quidem corpus, inde vero anima? *Ce.* Nihil aliud. *So.* Utrinam speciei corpus esse similius cognatiusque dicimus? *Ce.* Nemini dubium, quin visibili. *So.* Quid vero anima? visibilene aliquid est, an contra? *Ce.* Non hominibus quidem, o Socrates. *So.* Atqui nos de his duntaxat, quae ab hominum natura videri vel non videri possunt, loquebamur. an de his, quae ad aliam naturam spectant, tractabamus? *Ce.* De his duntaxat, quae ad humanam. *So.* Quid ergo de anima dicebamus? nunquid visibilem esse? *Ce.* Non visibilem. *So.* Invisibilem ergo? *Ce.* Ita. *So.* Anima igitur invisibili speciei

σώματός ἐστι τῷ ἀειδεῖ, τὸ δὲ τῷ ὁρατῷ; Πᾶσα ἀνάγκη, ὦ Σώκρατες. Οὐκοῦν καὶ τόδε πάλαι λέγομεν, ὅτι ἡ ψυχὴ ὅταν μὲν τῷ σώματι προσχρῆται εἰς τὸ σκοπεῖν τι ἢ διὰ τοῦ ὁρᾶν ἢ διὰ τοῦ ἀκούειν ἢ δι' ἄλλης τινὸς αἰσθήσεως — τοῦτο γὰρ ἔστι τὸ διὰ τοῦ σώματος, τὸ δι' αἰσθήσεως σκοπεῖν τι —, τότε μὲν ἕλκεται ὑπὸ τοῦ σώματος εἰς τὰ οὐδέποτε κατὰ ταὐτὰ ἔχοντα, καὶ αὐτὴ πλανᾶται καὶ ταράττεται καὶ ἰλιγγιᾷ ὥσπερ μεθύουσα, ἅτε τοιούτων ἐφαπτομένη; Πάνυ γε. Ὅταν δέ γε αὐτὴ καθ' αὑτὴν σκοπῇ, ἐκεῖσε οἴχεται εἰς τὸ καθαρόν τε καὶ ἀεὶ ὂν καὶ ἀθάνατον καὶ ὡσαύτως ἔχον, καὶ ὡς συγγενὴς οὖσα αὐτοῦ ἀεὶ μετ' ἐκείνου τε γίγνεται, ὅταν περ αὐτὴ καθ' αὑτὴν γένηται καὶ ἐξῇ αὐτῇ, καὶ πέπαυταί τε τοῦ πλάνου καὶ περὶ ἐκεῖνα ἀεὶ κατὰ ταὐτὰ ὡσαύτως ἔχει, ἅτε τοιούτων ἐφαπτομένη; καὶ τοῦτο αὐτῆς τὸ πάθημα φρόνησις κέκληταί; Παντάπασιν, ἔφη, καλῶς καὶ ἀληθῆ λέγεις, ὦ Σώκρατες. Ποτέρῳ οὖν αὖ σοι δοκεῖ τῷ εἴδει καὶ ἐκ τῶν ἔμπροσθεν καὶ ἐκ τῶν νῦν λεγομένων ψυχὴ ὁμοιότερον εἶναι καὶ ξυγγενέστερον; Πᾶς ἂν ἔμοιγε δοκεῖ, ἦ δ' ὅς, ξυγχωρῆσαι, ὦ Σώκρατες, ἐκ ταύτης τῆς μεθόδου, καὶ ὁ

similior est quam corpus: corpus vero visibili. *Ce.* Necessarium id est omnino. *So.* An non et hoc evenire in superioribus dicebamus, ut cum anima ad aliquid considerandum socium sibi corpus assumit, vel per visum vel per auditum vel per alium sensum (hoc enim est per corpus considerare, quia per sensus id agitur) tunc quidem a corpore trahatur ad ea, quae nunquam eodem modo sunt, atque ipsa aberret perturbeturque, quasi ebria vacillet, utpote quae talia quaedam attigerit. *Ce.* Prorsus. *So.* At vero quotiens ipse animus per seipsum excogitat, illuc se confert ad purum, sempiternum, immortale, semper eodem modo se habens: et tanquam ipsius cognatus semper inhaeret illi, quotiens ipse redierit in seipsum, eique liceat, cessetque ab errore: et circa illa semper secundum eadem eodem modo se habet, utpote qui talia iam attigerit. atque haec eius affectio sapientia sive prudentia nominatur. *Ce.* Praeclare ac vere omnino loqueris, Socrates. *So.* Utri igitur speciei rursus tibi videtur, ex his quae et in superioribus et modo dicta sunt, anima esse similior atque cognatior? *Ce.* Arbitror equidem, o Socrates, quemlibet vel indocilem prorsus et pertina-

δυσμαθέστατος, ὅτι ὅλῳ καὶ παντὶ ὁμοιότερόν ἐστι ψυχὴ τῷ ἀεὶ ὡσαύτως ἔχοντι μᾶλλον ἢ τῷ μή. Τί δὲ τὸ σῶμα; Τῷ ἑτέρῳ. Ὅρα δὲ καὶ τῇδε, ὅτι ἐπειδὰν ἐν τῷ αὐτῷ ὦσι ψυχὴ καὶ σῶμα, τῷ μὲν δουλεύειν καὶ ἄρχεσθαι ἡ φύσις προστάττει, τῇ δὲ ἄρχειν καὶ δεσπόζειν· καὶ κατὰ ταῦτα αὖ πότερόν σοι δοκεῖ ὅμοιον τῷ θείῳ εἶναι καὶ πότερον τῷ θνητῷ; ἢ οὐ δοκεῖ σοι τὸ μὲν θεῖον οἷον ἄρχειν τε καὶ ἡγεμονεύειν πεφυκέναι, τὸ δὲ θνητὸν ἄρχεσθαί τε καὶ δουλεύειν; Ἔμοιγε. Ποτέρῳ οὖν ἡ ψυχὴ ἔοικεν; Δῆλα δή, ὦ Σώκρατες, ὅτι ἡ μὲν ψυχὴ τῷ θείῳ, τὸ δὲ σῶμα τῷ θνητῷ. Σκόπει δή, ἔφη, ὦ Κέβης, εἰ ἐκ πάντων τῶν εἰρημένων τάδε ἡμῖν ξυμβαίνει, τῷ μὲν θείῳ καὶ ἀθανάτῳ καὶ νοητῷ καὶ μονοειδεῖ καὶ ἀδιαλύτῳ καὶ ἀεὶ ὡσαύτως καὶ κατὰ ταὐτὰ ἔχοντι ἑαυτῷ ὁμοιότατον εἶναι ψυχήν, τῷ δ' ἀνθρωπίνῳ καὶ θνητῷ καὶ ἀνοήτῳ καὶ πολυειδεῖ καὶ διαλυτῷ καὶ μηδέποτε κατὰ ταὐτὰ ἔχοντι ἑαυτῷ ὁμοιότατον αὖ εἶναι σῶμα. ἔχομέν τι παρὰ ταῦτα ἄλλο λέγειν, ὦ φίλε Κέβης, ὡς οὐχ οὕτως ἔχει; Οὐκ ἔχομεν. Τί οὖν; τούτων οὕτως ἐχόντων ἆρ' οὐχὶ σώματι μὲν ταχὺ

cem ex hac discursione concessurum, animam et per totum et per omne similiorem esse ei, quod semper eodem modo est, quam opposito. *So.* Quid autem corpus? *Ce.* Alteri speciei. *So.* Considera rursus hoc pacto. Quamdiu in eodem sunt anima atque corpus, hoc quidem servire atque subesse natura iubet, hanc vero praeesse atque dominari. Secundum haec rursus utrum tibi videtur simile esse divino, utrum mortali? an non putas divinum quidem tale esse natura, ut praesit et ducat; mortale vero, ut subiiciatur ac serviat? *Ce.* Puto equidem. *So.* Utri igitur horum est anima similis? *Ce.* Constat, o Socrates, animam quidem similem esse divino; corpus vero mortali. *So.* Animadverte iam, o Cebes, num haec ex omnibus, quae dicta sunt, consequantur: videlicet ipsi divino, immortali, intelligibili, uniformi, indissolubili, semper eodem modo et secundum eadem seipsum habenti, animam esse simillimam: humano vero, mortali, nec intelligibili, multiformi, dissolubili, nunquam eodem modo sibimet se habenti, simillimum esse corpus. Possumusne, o amice Cebes, haec praeter aliud quicquam afferre, quo minus ita sit? *Ce.* Non possumus. *So.* Quid ergo? cum haec ita se habeant, nonne corpori convenit, ut brevi solva-

διαλύεσθαι προσήκει, ψυχῇ δὲ αὖ τὸ παράπαν ἀδιαλύτῳ εἶναι ἢ ἐγγύς τι τούτου; Πῶς γὰρ οὔ; Ἐννοεῖς οὖν, ἔφη, ὅτι ἐπειδὰν ἀποθάνῃ ὁ ἄνθρωπος, τὸ μὲν ὁρατὸν αὐτοῦ, τὸ σῶμα, καὶ ἐν ὁρατῷ κείμενον, ὃ δὴ νεκρὸν καλοῦμεν, ᾧ προσήκει διαλύεσθαι καὶ διαπίπτειν καὶ διαπνεῖσθαι, οὐκ εὐθὺς τούτων οὐδὲν πέπονθεν ἀλλ' ἐπιεικῶς συχνὸν ἐπιμένει χρόνον, ἐὰν μέν τις καὶ χαριέντως ἔχων τὸ σῶμα τελευτήσῃ καὶ ἐν τοιαύτῃ ὥρᾳ, καὶ πάνυ μάλα. συμπεσὸν γὰρ τὸ σῶμα καὶ ταριχευθέν, ὥς περ οἱ ἐν Αἰγύπτῳ ταριχευθέντες, ὀλίγου ὅλον μένει ἀμήχανον ὅσον χρόνον. ἔνια δὲ μέρη τοῦ σώματος, καὶ ἐὰν σαπῇ, ὀστᾶ τε καὶ νεῦρα καὶ τὰ τοιαῦτα πάντα, ὅμως ὡς ἔπος εἰπεῖν ἀθάνατά ἐστιν. ἢ οὔ; Ναί. Ἡ δὲ ψυχὴ ἄρα, τὸ ἀειδές, τὸ εἰς τοιοῦτον τόπον ἕτερον οἰχόμενον, γενναῖον καὶ καθαρὸν καὶ ἀειδῆ, εἰς Ἅιδου ὡς ἀληθῶς, παρὰ τὸν ἀγαθὸν καὶ φρόνιμον θεόν, οἷ, ἂν θεὸς ἐθέλῃ, αὐτίκα καὶ τῇ ἐμῇ ψυχῇ ἰτέον, αὕτη δὲ δὴ ἡμῖν ἡ τοιαύτη καὶ οὕτω πεφυκυῖα ἀπαλλαττομένη τοῦ σώματος εὐθὺς διαπεφύσηται καὶ ἀπόλωλεν, ὥς φασιν οἱ πολλοὶ ἄνθρωποι; πολλοῦ γε δεῖ, ὦ φίλε Κέβης τε καὶ Σιμμία, ἀλλὰ πολλῷ

tur: animae vero, ut omnino indissolubilis sit, vel aliquid rei omnino indissolubili propinquum? *Ce.* Quidni? *So.* Cernis igitur, postquam mortuus homo fuerit, quod in eo visibile est corpus, et in loco visibili positum, (quod cadaver appellamus, cui convenit, ut dissolvatur, concidat, diffluat,) nihil horum subito pati, sed multum aliquando tempus superesse, si quis corpore perbelle affecto decesserit. Corpus enim servatum et rebus quibusdam ad durationem curatum, quemadmodum in Aegypto faciunt, incredibile quoddam tempus ferme integrum manet. Quin etiam si putrescat, tamen nonnullae corporis partes, ossa videlicet nervique atque similia, ut ita dicam, immortalia permanent. an non? *Ce.* Ita. *So.* Anima vero, quae invisibile quiddam est, in similem quendam aliumque locum migrans, excellentem, purum, invisibilem, nobis occultum, revera ad bonum sapientemque Deum: quo, si Deus voluerit, paulo post meo quoque animo est migrandum: anima, inquam, talis, talique natura praedita nunquid, cum primum a corpore liberata fuerit, dissipabitur atque interibit, ut multi putant? Permultum abest, o dilecte Cebes atque Simmia. immo multo magis ita se res

μᾶλλον ὧδε ἔχει· ἐὰν μὲν καθαρὰ ἀπαλλάττηται, μηδὲν τοῦ σώματος ξυνεφέλκουσα, ἅτε οὐδὲν κοινωνοῦσα αὐτῷ ἐν τῷ βίῳ ἑκοῦσα εἶναι, ἀλλὰ φεύγουσα αὐτὸ καὶ συνηθροισμένη αὐτὴ εἰς αὑτήν, ἅτε μελετῶσα ἀεὶ τοῦτο, — τοῦτο δὲ οὐδὲν ἄλλο ἐστὶν ἢ ὀρθῶς φιλοσοφοῦσα καὶ τῷ ὄντι τεθνάναι μελετῶσα ῥᾳδίως. ἢ οὐ
81 τοῦτ' ἂν εἴη μελέτη θανάτου; Παντάπασί γε. Οὐκοῦν οὕτω μὲν ἔχουσα εἰς τὸ ὅμοιον αὐτῇ τὸ ἀειδὲς ἀπέρχεται, τὸ θεῖόν τε καὶ ἀθάνατον καὶ φρόνιμον, οὗ ἀφικομένῃ ὑπάρχει αὐτῇ εὐδαίμονι εἶναι, πλάνης καὶ 10
ἀνοίας καὶ φόβων καὶ ἀγρίων ἐρώτων καὶ τῶν ἄλλων κακῶν τῶν ἀνθρωπείων ἀπηλλαγμένῃ, ὡς περ δὲ λέγεται κατὰ τῶν μεμυημένων, ὡς ἀληθῶς τὸν λοιπὸν χρόνον μετὰ θεῶν διάγουσα; οὕτω φῶμεν, ὦ Κέβης, ἢ ἄλλως; Οὕτω νὴ Δί', ἔφη ὁ Κέβης. Ἐὰν δέ γε, οἶμαι, μεμιασμένη καὶ ἀκάθαρτος τοῦ σώματος ἀπαλλάττηται, ἅτε τῷ σώματι ἀεὶ ξυνοῦσα καὶ τοῦτο θεραπεύουσα καὶ ἐρῶσα καὶ γεγοητευμένη ὑπ' αὐτοῦ ὑπό τε τῶν ἐπιθυμιῶν καὶ ἡδονῶν, ὥστε μηδὲν ἄλλο δοκεῖν εἶναι ἀληθὲς ἀλλ' ἢ τὸ σωματοειδὲς οὗ τις ἂν 20
ἅψαιτο καὶ ἴδοι καὶ φάγοι καὶ πίοι καὶ πρὸς τὰ ἀφροδίσια χρήσαιτο, τὸ δὲ τοῖς ὄμμασι σκοτῶδες καὶ ἀειδές,

habet: si quidem pura discesserit, corporeum nil secum trahens; utpote quae sua cum illo in vita communicaverit, sed fugerit illud semper seque in se collegerit, tanquam semper id meditata. quod quidem nihil est aliud quam recte philosophari mortemque revera facile commentari. an non haec est meditatio mortis? *Ce.* Est omnino. *So.* Anima, inquam, si sic affecta discesserit, nonne ad aliquid sibi simile divinum abit? divinum et immortale et sapiens? quo cum pervenerit, evadit felix, ab errore, dementia, timoribus durisque amoribus ceterisque humanis liberata malis: et quemadmodum de initiatis dici solet, revera reliquum tempus vitam cum diis agit? Itane dicendum est, o Cebes, an aliter? *Ce.* Ita per Iovem. *So.* Sin autem polluta impuraque a corpore decedat, utpote quae corpus semper amplexa ipsum duntaxat coluerit et amaverit, eiusque voluptatibus et libidinibus quasi veneficiis quibusdam delinita fuerit, et usque adeo capta, ut nihil aliud putet esse verum, nisi quod corporeum sit, quod tangi, quod videri possit, quodve bibat et quod edat, et quo in venereis utatur: quod vero oculis quidem

νοητὸν δὲ καὶ φιλοσοφίᾳ αἱρετόν, τοῦτο δὲ εἰθισμένη μισεῖν τε καὶ τρέμειν καὶ φεύγειν, οὕτω δὴ ἔχουσαν οἴει ψυχὴν αὐτὴν καθ' αὑτὴν εἰλικρινῆ ἀπαλλάξεσθαι; Οὐδ' ὁπωστιοῦν, ἔφη. Ἀλλὰ διειλημμένην γε οἶμαι ὑπὸ τοῦ σωματοειδοῦς, ὃ αὐτῇ ἡ ὁμιλία τε καὶ ξυνουσία τοῦ σώματος διὰ τὸ ἀεὶ ξυνεῖναι καὶ διὰ τὴν πολλὴν μελέτην ἐνεποίησε ξύμφυτον. Πάνυ γε. Ἐμβριθὲς δέ γε, ὦ φίλε, τοῦτο οἴεσθαι χρὴ εἶναι καὶ βαρὺ καὶ γεῶδες καὶ ὁρατόν· ὃ δὴ καὶ ἔχουσα ἡ τοιαύτη ψυχὴ βαρύνεταί τε καὶ ἕλκεται πάλιν εἰς τὸν ὁρατὸν τόπον, φόβῳ τοῦ ἀειδοῦς τε καὶ Ἅιδου, ὥς περ λέγεται, περὶ τὰ μνήματά τε καὶ τοὺς τάφους κυλινδουμένη, περὶ ἃ δὴ καὶ ὤφθη ἄττα ψυχῶν σκοτοειδῆ φάσματα, οἷα παρέχονται αἱ τοιαῦται ψυχαὶ εἴδωλα, αἱ μὴ καθαρῶς ἀπολυθεῖσαι ἀλλὰ τοῦ ὁρατοῦ μετέχουσαι, διὸ καὶ ὁρῶνται. Εἰκός γε, ὦ Σώκρατες. Εἰκὸς μέντοι, ὦ Κέβης· καὶ οὔ τί γε τὰς τῶν ἀγαθῶν ταύτας εἶναι, ἀλλὰ τὰς τῶν φαύλων, αἳ περὶ τὰ τοιαῦτα ἀναγκάζονται πλανᾶσθαι δίκην τίνουσαι τῆς προτέρας τροφῆς, κακῆς οὔσης. καὶ μέχρι γε τούτου πλανῶνται ἕως ἂν τῇ τοῦ ξυνεπακολουθοῦντος τοῦ σωματοειδοῦς ἐπιθυμίᾳ πάλιν ἐνδεθῶσιν εἰς σῶμα.

occultum et invisibile sit, verumtamen intelligibile et philosophia comprehendendum, habere odio consueverit formidareque et fugere: sic, inquam, institutam animam putasne ipsam per se sinceram evadere? *Ce.* Nullo modo. *So.* Sed infectam involutamque, ut arbitror, contagione corporea, quam consuetudo congressusque cum corpore, propter continuam familiaritatem plurimumque eius cultum, inseruit quasi iam naturalem? *Ce.* Ita putamus. *So.* Ponderosum vero, o amice, id putandum est et grave terrenumque et visibile, quod anima eiusmodi secum trahit: ideoque ab eo gravatur et ad visibilem retrahitur locum, metu invisibilis atque occulti: et, quemadmodum fertur, circa monumenta sepulchraque revolvitur, circa quae iam nonnulla apparuerunt animarum umbrosa phantasmata, qualia praeferunt simulacra tales animae, quae videlicet non purae decesserunt a corpore, sed visibile aliquid trahentes: quo fit, ut videri possint. *Ce.* Consentaneum est, o Socrates. *So.* Consentaneum tamen, o Cebes, non esse has bonorum animas, sed malorum, quae circa haec oberrare coguntur, poenas dantes vitae improbe actae. itaque tam diu circumvagantur, quoad, cupiditate naturae corporeae comitante, rursus induant corpus.

ἐνδοῦνται δέ, ὥς περ εἰκός, εἰς τοιαῦτα ἤθη ὁποῖ' ἄττ' ἂν καὶ μεμελετηκυῖαι τύχωσιν ἐν τῷ βίῳ. Τὰ ποῖα δὴ ταῦτα λέγεις, ὦ Σώκρατες; Οἷον τοὺς μὲν γαστριμαργίας τε καὶ ὕβρεις καὶ φιλοποσίας μεμελετηκότας καὶ μὴ διευλαβημένους εἰς τὰ τῶν ὄνων γένη καὶ τῶν
82 τοιούτων θηρίων εἰκὸς ἐνδύεσθαι. ἢ οὐκ οἴει; Πάνυ μὲν οὖν εἰκὸς λέγεις. Τοὺς δέ γε ἀδικίας τε καὶ τυραννίδας καὶ ἁρπαγὰς προτετιμηκότας εἰς τὰ τῶν λύκων τε καὶ ἱεράκων καὶ ἱκτίνων γένη. ἢ ποῖ ἂν ἄλλοσε φαῖμεν τὰς τοιαύτας ἰέναι; Ἀμέλει, ἔφη ὁ Κέβης, εἰς τὰ τοιαῦτα. Οὐκοῦν, ἦ δ' ὅς, δῆλα δὴ καὶ τἆλλα, οἷ ἂν ἑκάστη ἴοι κατὰ τὰς αὐτῶν ὁμοιότητας τῆς μελέτης; Δῆλον δή, ἔφη· πῶς δ' οὔ; Οὐκοῦν εὐδαιμονέστατοι, ἔφη, καὶ τούτων εἰσὶ καὶ εἰς βέλτιστον τόπον ἰόντες οἱ τὴν δημοτικὴν τε καὶ πολιτικὴν ἀρετὴν ἐπιτετηδευκότες, ἣν δὴ καλοῦσι σωφροσύνην τε καὶ δικαιοσύνην, ἐξ ἔθους τε καὶ μελέτης γεγονυῖαν ἄνευ φιλοσοφίας τε καὶ νοῦ; Πῇ δὴ οὗτοι εὐδαιμονέστατοι; Ὅτι τούτους εἰκός ἐστιν εἰς τοιοῦτον πάλιν ἀφικνεῖσθαι πολιτικόν τε καὶ ἥμερον γένος, ἢ που μελιττῶν ἢ σφηκῶν ἢ μυρμήκων, ἢ καὶ εἰς ταὐτόν γε πάλιν τὸ ἀν-

induunt autem, ut decens est, eiusmodi mores, quales in vita exercuerunt. *Ce.* Quales dicis mores, o Socrates? *So.* Eiusmodi eos quidem, qui ventri dediti per inertiam atque lasciviam vitam egerunt, neque quicquam pensi pudorisque habuerunt, decens est, asinos similiaque subire. an non putas? *Ce.* Consentanea loqueris. *So.* Qui vero iniurias, tyrannides, rapinas prae ceteris secuti sunt, in luporum, accipitrum, milvorum genera par est pertransire. num alio has migrare dicendum est? *Ce.* Ita potissimum. *So.* Similiter et in ceteris: abeunt enim in ea genera quaelibet, quibus in vita mores similes contraxerunt. *Ce.* Manifestum id quidem. *So.* Nonne horum felicissimi sunt et in optimum proficiscuntur locum, quicunque popularem civilemque virtutem quam temperantiam et iustitiam nominant, exercuere, absque philosophia quidem atque mente, sed ex consuetudine exercitationeque acquisitam? *Ce.* Quonam pacto hi felicissimi sunt? *So.* Quoniam decens est, hos in tale quoddam genus iterum civile miteque demigrare, quodam modo apum aut vesparum vel formicarum; atque deinde in idem rursus genus

θρώπινον γένος, καὶ γίγνεσθαι ἐξ αὐτῶν ἄνδρας μετρίους. Εἰκός. Εἰς δέ γε θεῶν γένος μὴ φιλοσοφήσαντι καὶ παντελῶς καθαρῷ ἀπιόντι οὐ θέμις ἀφικνεῖσθαι ἀλλ' ἢ τῷ φιλομαθεῖ. ἀλλὰ τούτων ἕνεκα, ὦ ἑταῖρε Σιμμία τε καὶ Κέβης, οἱ ὀρθῶς φιλοσοφοῦντες ἀπέχονται τῶν κατὰ τὸ σῶμα ἐπιθυμιῶν ἁπασῶν καὶ καρτεροῦσι καὶ οὐ παραδιδόασιν αὐταῖς αὑτούς, οὔ τι οἰκοφθορίαν τε καὶ πενίαν φοβούμενοι ὡς περ οἱ πολλοὶ καὶ φιλοχρήματοι· οὐδὲ αὖ ἀτιμίαν τε καὶ ἀδοξίαν μοχθηρίας δεδιότες ὥς περ οἱ φίλαρχοί τε καὶ φιλότιμοι, ἔπειτα ἀπέχονται αὐτῶν. Οὐ γὰρ ἂν πρέποι, ἔφη, ὦ Σώκρατες, ὁ Κέβης. Οὐ μέντοι μὰ Δί', ἦ δ' ὅς. τοιγάρτοι τούτοις μὲν ἅπασιν, ἔφη, ὦ Κέβης, ἐκεῖνοι οἷς τι μέλει τῆς αὑτῶν ψυχῆς ἀλλὰ μὴ σώματα πλάττοντες ζῶσι, χαίρειν εἰπόντες οὐ κατὰ ταὐτὰ πορεύονται αὐτοῖς, ὡς οὐκ εἰδόσιν ὅπῃ ἔρχονται, αὐτοὶ δὲ ἡγούμενοι οὐ δεῖν ἐναντία τῇ φιλοσοφίᾳ πράττειν καὶ τῇ ἐκείνης λύσει τε καὶ καθαρμῷ ταύτῃ τρέπονται, ἐκείνῃ ἑπόμενοι ᾗ ἐκείνη ὑφηγεῖται. Πῶς, ὦ Σώκρατες; Ἐγὼ ἐρῶ, ἔφη. γιγνώσκουσι γάρ, ἦ δ' ὅς, οἱ φιλομαθεῖς ὅτι παραλαβοῦσα αὐτῶν τὴν ψυχὴν ἡ φιλοσοφία ἀτεχνῶς

humanum, modestosque ex illis homines fieri. *Ce.* Ita decet. *So.* In deorum vero genus nulli fas est pervenire praeter eos, qui discendi cupiditate flagrantes et philosophati sunt et puri penitus decesserunt. Horum quidem gratia, o amice Simmia atque Cebes, qui recte philosophantur, ab omnibus corporis cupiditatibus abstinent; atque ita perseverant, nec se illis unquam tradunt; neque familiae iacturam paupertatemque formidant, quemadmodum multi pecuniarum cupidi: neque rursus contemptum atque ignominiam, quemadmodum qui magistratus ambiunt et honores, deinde ab his abstinent. *Ce.* Neque enim deceret, o Socrates. *So.* Non, per Iovem. Quamobrem hi, qui animum suum colunt neque corpori fingendo vivunt, spretis his omnibus, haudquaquam ea gradiuntur via, qua superiores illi, quos narravimus; quia videlicet, quo proficiscantur, ignorent. Ipsi vero, existimantes philosophiae eiusque solutioni repugnandum non esse, hanc ea sequuntur via, qua eos ipsa ducit. *Ce.* Quonam pacto, o Socrates? *So.* Dicam equidem. Cognoscunt profecto viri scientiae cupidi, quemadmodum eorum animam suscipit

διαδεδεμένην ἐν τῷ σώματι καὶ προσκεκολλημένην, ἀναγκαζομένην δὲ ὡς περ δι' εἱργμοῦ διὰ τούτου σκοπεῖσθαι τὰ ὄντα ἀλλὰ μὴ αὐτὴν δι' αὑτῆς, καὶ ἐν πάσῃ ἀμαθίᾳ κυλινδουμένην, καὶ τοῦ εἱργμοῦ τὴν δεινότητα κατιδοῦσα ὅτι δι' ἐπιθυμίας ἐστίν, ὡς ἂν μάλιστα αὐ-
83 τὸς ὁ δεδεμένος ξυλλήπτωρ εἴη τῷ δεδέσθαι, — ὃ περ οὖν λέγω, γιγνώσκουσιν οἱ φιλομαθεῖς ὅτι οὕτω παραλαβοῦσα ἡ φιλοσοφία ἔχουσαν αὐτῶν τὴν ψυχὴν ἡρέμα παραμυθεῖται καὶ λύειν ἐπιχειρεῖ, ἐνδεικνυμένη ὅτι ἀπάτης μὲν μεστὴ ἡ διὰ τῶν ὀμμάτων σκέψις, ἀπά- 10
της δὲ ἡ διὰ τῶν ὤτων καὶ τῶν ἄλλων αἰσθήσεων, πείθουσα δὲ ἐκ τούτων μὲν ἀναχωρεῖν ὅσον μὴ ἀνάγκη αὐτοῖς χρῆσθαι, αὐτὴν δὲ εἰς αὐτὴν ξυλλέγεσθαι καὶ ἀθροίζεσθαι παρακελευομένη, πιστεύειν δὲ μηδενὶ ἄλλῳ ἀλλ' ἢ αὐτὴν αὐτῇ, ὅ τι ἂν νοήσῃ αὐτὴ καθ' αὑτὴν αὐτὸ καθ' αὑτὸ τῶν ὄντων· ἃ τι δ' ἂν δι' ἄλλων σκοπῇ ἐν ἄλλοις ὂν ἄλλο, μηδὲν ἡγεῖσθαι ἀληθές· εἶναι δὲ τὸ μὲν τοιοῦτον αἰσθητόν τε καὶ ὁρατόν, ὃ δὲ αὐτὴ ὁρᾷ, νοητόν τε καὶ ἀειδές. ταύτῃ οὖν τῇ λύσει οὐκ οἰομένη δεῖν ἐναντιοῦσθαι ἡ τοῦ ὡς ἀληθῶς φι- 20
λοσόφου ψυχὴ οὕτως ἀπέχεται τῶν ἡδονῶν τε καὶ ἐπι-

revera ligatam in corpore atque implicitam, ac per ipsum quasi per carcerem quendam res considerare coactam; cumque per seipsam id non faciat, omni prorsus inscitia involutam: (cognoscunt praeterea,) quemadmodum philosophia perspiciens, quam callide corporeum vinculum adstringat animam; quippe cum per ipsam fiat concupiscentiam, per quam devinctus animus adiutor sit ad seipsum devinciendum: cognoscunt, inquam, viri scientiae cupidi, quemadmodum philosophia eorum animam ita constitutam suscipiens, paulatim instruit solvereque aggreditur, ostendens quam fallax oculorum, quam fallax aurium ceterorumque sensuum sit iudicium, suadens ab his discedere, quatenus haerere illis summa non cogat necessitas, seque in se ipsam revocare atque colligere, nec ulli credere, praeterquam sibi, quatenus videlicet ipsa per seipsam intelligat quodlibet eorum, quae sunt, existens per seipsum: quod vero ipsa per alia consideret, existens in aliis aliud, nihil existimare verum: (esse vero eiusmodi quidem sensibile atque visibile:) quod autem ipsa per se consideret, intelligibile atque invisibile. Huic ergo solutioni veri philosophi animus repugnandum non esse iudicans, sic a voluptatibus, cupiditatibus, doloribus, timoribus,

θυμιῶν καὶ λυπῶν καὶ φόβων κἀθ' ὅσον δύναται, λογιζομένη ὅτι ἐπειδάν τις σφόδρα ἡσθῇ ἢ φοβηθῇ ἢ λυπηθῇ ἢ ἐπιθυμήσῃ, οὐδὲν τοσοῦτον κακὸν ἔπαθεν ἀπ' αὐτῶν ὅσον ἄν τις οἰηθείη, οἷον ἢ νοσήσας ἤ τι ἀναλώσας διὰ τὰς ἐπιθυμίας, ἀλλ' ὃ πάντων μέγιστόν τε κακὸν καὶ ἔσχατόν ἐστι, τοῦτο πάσχει καὶ οὐ λογίζεται αὐτό. Τί τοῦτο, ὦ Σώκρατες; ἔφη ὁ Κέβης. Ὅτι ψυχὴ παντὸς ἀνθρώπου ἀναγκάζεται ἅμα τε ἡσθῆναι ἢ λυπηθῆναι σφόδρα ἐπί τῳ καὶ ἡγεῖσθαι, περὶ ὃ ἂν μάλιστα τοῦτο πάσχῃ, τοῦτο ἐναργέστατόν τε εἶναι καὶ ἀληθέστατον, οὐχ οὕτως ἔχον. ταῦτα δὲ μάλιστα * τὰ ὁρατά. ἢ οὔ; Πάνυ γε. Οὐκοῦν ἐν τούτῳ τῷ πάθει μάλιστα καταδεῖται ψυχὴ ὑπὸ σώματος; Πῶς δή; Ὅτι ἑκάστη ἡδονὴ καὶ λύπη ὥς περ ἧλον ἔχουσα προσηλοῖ αὐτὴν πρὸς τὸ σῶμα καὶ προσπερονᾷ καὶ ποιεῖ σωματοειδῆ, δοξάζουσαν ταῦτα ἀληθῆ εἶναι ἃ περ ἂν καὶ τὸ σῶμα φῇ. ἐκ γὰρ τοῦ ὁμοδοξεῖν τῷ σώματι καὶ τοῖς αὐτοῖς χαίρειν ἀναγκάζεται, οἶμαι, ὁμότροπός τε καὶ ὁμότροφος γίγνεσθαι καὶ οἷα μηδέποτε καθαρῶς εἰς Ἅιδου ἀφικέσθαι; ἀλλ' ἀεὶ τοῦ σώματος ἀναπλέα ἐξιέναι, ὥστε ταχὺ πάλιν πίπτειν εἰς ἄλλο σῶμα καὶ ὥς

pro viribus abstinet: iudicans, quando quis vehementer delectetur vel metuat vel doleat aut cupiat, haud tantum ab his duntaxat pati malum, quantum quis forsan existimarit, videlicet si propter concupiscentias vel aegrotet quispiam vel pecunias consumpserit; sed quod malorum omnium maximum, extremum, turpissimum est, perpeti, neque tamen illud animadvertere. *Co.* Quidnam hoc est? *So.* Quod videlicet omnis anima hominis cogitur delectari vel dolere circa aliquid vehementer, simulque putare illud, circa quod hoc maxime patitur, manifestissimum esse atque verissimum, cum longe sit secus. haec autem maxime sunt, quae visibilia sunt. nonne? *Ce.* Omnino. *So.* An non in hac passione anima quam maxime ligatur a corpore? *Ce.* Quonam pacto? *So.* Quoniam omnis voluptas atque dolor, quasi clavum tenens, animam corpori affigit atque connectit, efficitque corpoream adeo, ut iam opinetur ea esse vere, quae suadeat corpus. nempe ex eo, quod eadem opinetur cum corpore eisdemque oblectetur, cogitur, ut puto, eiusdem moris eiusdemque alimoniae fieri: ut nunquam possit pura in vitam alteram proficisci, sed semper plena corporis labe egrediatur; ideoque cito cadat rursus in aliud corpus, et quasi sata iterum

περ σπειρομένη ἐμφύεσθαι, καὶ ἐκ τούτων ἄμοιρος εἶναι τῆς τοῦ θείου τε καὶ καθαροῦ καὶ μονοειδοῦς συνουσίας. Ἀληθέστατα, ἔφη, λέγεις, ὁ Κέβης, ὦ Σώκρατες. Τούτων τοίνυν ἕνεκα, ὦ Κέβης, οἱ ὀρθῶς φιλομαθεῖς κόσμιοί τ' εἰσὶ καὶ ἀνδρεῖοι, οὐχ ὧν οἱ πολλοὶ ἕνεκά φασιν. ἢ σὺ οἴει; Οὐ δῆτα ἔγωγε. Οὐ γὰρ ἀλλ' οὕτω λογίσαιτ' ἂν ψυχὴ ἀνδρὸς φιλοσόφου, καὶ οὐκ ἂν οἰηθείη τὴν μὲν φιλοσοφίαν χρῆναι ἑαυτὴν λύειν, λυούσης δὲ ἐκείνης αὐτὴν παραδιδόναι ταῖς ἡδοναῖς καὶ λύπαις ἑαυτὴν πάλιν αὖ ἐγκαταδεῖν καὶ ἀνήνυτον ἔργον πράττειν, Πηνελόπης τινὰ ἐναντίως ἴστὸν μεταχειριζομένην· ἀλλὰ γαλήνην τούτων παρασκευάζουσα, ἑπομένη τῷ λογισμῷ καὶ ἀεὶ ἐν τούτῳ οὖσα, τὸ ἀληθὲς καὶ τὸ θεῖον καὶ τὸ ἀδόξαστον θεωμένη καὶ ὑπ' ἐκείνου τρεφομένη, ζῆν τε οὕτως οἴεται δεῖν, ἕως ἂν ζῇ, καὶ ἐπειδὰν τελευτήσῃ, εἰς τὸ ξυγγενὲς καὶ εἰς τὸ τοιοῦτον ἀφικομένη ἀπηλλάχθαι τῶν ἀνθρωπίνων κακῶν. ἐκ δὲ τῆς ταιαύτης τροφῆς οὐδὲν δεινὸν μὴ φοβηθῇ, ταῦτά γ' ἐπιστηδεύσασα, ὦ Σιμμία τε καὶ Κέβης, ὅπως μὴ διασπασθεῖσα ἐν τῇ ἀπαλλαγῇ τοῦ σώματος ὑπὸ τῶν ἀνέμων διαφυσηθεῖσα καὶ διαπτομένη οἴχηται καὶ οὐδὲν ἔτι οὐδαμοῖ ᾖ.

innascatur, atque propterea a commercio divinae, purae, uniformis essentiae aliena prorsus evadat. *Ce.* Verissima narras, o Socrates. *So.* Horum igitur gratia, o Cebes, iusti scientiae studiosi, temperantiam fortitudinemque sequuntur; non autem illorum, quorum gratia censet vulgus. an tu putas? *Ce.* Minime quidem. *So.* Non certe. sed ita veri philosophi animus cogitaret: nec ullo modo arbitraretur, cum ipsum philosophia solvisset, oportere iterum voluptatibus doloribusque se dedere iterumque vinciri, atque irritum opus facere, quasi telam Penelopes retexentem. immo vero horum tranquillitati studens, sequensque rationem, ac semper in ea permanens, verum et divinum opinionemque supereminens contemplatur: a quo nutritus ita vivendum censet, quam diu vivat; atque sperat se, ubi decesserit, in cognatum atque tale migrantem ab humanis eximi malis. Ex huiusmodi quidem educatione non est, cur metuat, o Simmia et Cebes, ne cum recedat a corpore, distrahatur et dissipetur, omnisque in ventos vita recedat.

Σιγὴ οὖν ἐγένετο ταῦτα εἰπόντος τοῦ Σωκράτους ἐπὶ πολὺν χρόνον, καὶ αὐτός τε πρὸς τῷ εἰρημένῳ λόγῳ ἦν ὁ Σωκράτης, ὡς ἰδεῖν ἐφαίνετο, καὶ ἡμῶν οἱ πλεῖστοι. Κέβης δὲ καὶ Σιμμίας σμικρὸν πρὸς ἀλλήλω διελεγέσθην. καὶ ὁ Σωκράτης ἰδὼν αὐτὼ ἤρετο, Τί, ἔφη, ὑμῖν τὰ λεχθέντα; μῶν μὴ δοκεῖ ἐνδεως λελέχθαι; πολλὰς γὰρ δὴ ἔτι ἔχει ὑποψίας καὶ ἀντιλαβάς, εἴ γε δή τις αὐτὰ μέλλει ἱκανῶς διεξιέναι. εἰ μὲν οὖν τι ἄλλο σκοπεῖσθον, οὐδὲν λέγω· εἰ δὲ περὶ τούτων ἀπορεῖτον, μηδὲν ἀποκνήσητε καὶ αὐτοὶ εἰπεῖν καὶ διεξελθεῖν, εἴ πῃ ὑμῖν φαίνεται βέλτιον λεχθῆναι, καὶ αὖ καὶ ἐμὲ ξυμπαραλαβεῖν, εἴ τι μᾶλλον οἴεσθε μετ' ἐμοῦ εὐπορήσειν. Καὶ ὁ Σιμμίας ἔφη, Καὶ μήν, ὦ Σώκρατες, τἀληθῆ σοι ἐρῶ. πάλαι γὰρ ἡμῶν ἑκάτερος ἀπορῶν τὸν ἕτερον προωθεῖ καὶ κελεύει ἐρέσθαι διὰ τὸ ἐπιθυμεῖν μὲν ἀκοῦσαι, ὀκνεῖν δὲ ὄχλον παρέχειν, μή σοι ἀηδὲς ᾖ διὰ τὴν παροῦσαν ξυμφοράν. Καὶ ὃς ἀκούσας ἐγέλασέ τε ἠρέμα καί φησι, Βαβαί, ὦ Σιμμία· ἦ που χαλεπῶς ἂν τοὺς ἄλλους πείσαιμι ἀνθρώπους ὡς οὐ ξυμφορὰν ἡγοῦμαι τὴν παροῦσαν τύχην, ὅτε γε μηδ' ὑμᾶς δύναμαι πείθειν, ἀλλὰ φοβεῖσθε μὴ δυσκο-

Cum haec Socrates dixisset, longum factum est silentium. et ipse quidem Socrates, quae dicta fuerant, secum, ut videbatur, repetebat, idemque plerique nostrum faciebant. Cebes autem et Simmias parumper insuper invicem collocuti sunt. Hos ergo intuitus Socrates, Quidnam vobis, inquit, de his, quae dicta sunt, videtur? an forte aliquid insuper in his desideratis? multae enim adhuc dubitationes obiectionesque supersunt, si quis sufficienter ea sit tractaturus. Si igitur aliud quiddam inter vos agitatis, nihil dico. sin autem in his, quae dicta sunt, haesitatis, ne vereamini loqui atque percurrere, si qua in parte putatis melius dici posse. quin etiam socium me assumite, si mecum id commodius fieri posse existimatis. *Sim.* Verum equidem, Socrates, tibi fatebor. Iamdudum ambigens uterque nostrum impellit alterum iubetque interrogare propter audiendi cupiditatem. veremur autem, ne id tibi ob praesentem calamitatem rogitando simus molestiores. Haec Socrates audiens leniter arrisit, dicens, Papae, o Simmia, quam difficile aliis persuaderem, hanc me fortunam haudquaquam adversam existimare, quando ne vobis quidem id persuadere possum: quippe cum metuatis, ne

λώτερόν τι νῦν διάκειμαι ἢ ἐν τῷ πρόσθεν βίῳ. καὶ ὡς ἔοικε, τῶν κύκνων δοκῶ φαυλότερος ὑμῖν εἶναι τὴν μαντικήν, οἳ ἐπειδὰν αἴσθωνται ὅτι δεῖ αὐτοὺς ἀποθανεῖν, ᾄδοντες καὶ ἐν τῷ πρόσθεν χρόνῳ τότε δὴ πλεῖστα καὶ μάλιστα ᾄδουσι, γεγηθότες ὅτι μέλλουσι παρὰ τὸν θεὸν ἀπιέναι, οὗ πέρ εἰσι θεράποντες. οἱ δὲ ἄνθρωποι διὰ τὸ αὑτῶν δέος τοῦ θανάτου καὶ τῶν κύκνων καταψεύδονται, καὶ φασὶν αὐτοὺς θρηνοῦντας τὸν θάνατον ὑπὸ λύπης ἐξᾴδειν, καὶ οὐ λογίζονται ὅτι οὐδὲν ὄρνεον ᾄδει ὅταν πεινῇ ἢ ῥιγοῖ ἤ τινα ἄλλην λύπην λυπῆται, μήδὲ αὐτὴ ἥ τε ἀηδὼν καὶ ἡ χελιδὼν καὶ ὁ ἔποψ, ἃ δή φασι διὰ λύπην θρηνοῦντα ᾄδειν· ἀλλ' οὔτε ταῦτά μοι φαίνεται λυπούμενα ᾄδειν οὔτε οἱ κύκνοι, ἀλλ' ἅτε, οἶμαι, τοῦ Ἀπόλλωνος ὄντες μαντικοί τ' εἰσὶ καὶ προειδότες τὰ ἐν Ἅιδου ἀγαθὰ ᾄδουσί τε καὶ τέρπονται ἐκείνην τὴν ἡμέραν διαφερόντως ἢ ἐν τῷ ἔμπροσθεν χρόνῳ. ἐγὼ δὲ καὶ αὐτὸς ἡγοῦμαι ὑμόδουλός τε εἶναι τῶν κύκνων καὶ ἱερὸς τοῦ αὐτοῦ θεοῦ, καὶ οὐ χεῖρον ἐκείνων τὴν μαντικὴν ἔχειν παρὰ τοῦ δεσπότου, οὐδὲ δυσθυμότερον αὐτῶν τοῦ βίου ἀπαλλάττεσθαι. ἀλλὰ τούτου γε ἕνεκα λέγειν τε χρὴ καὶ

difficilior moestiorque sim in praesentia, quam in superiori fuerim vita. Atque, ut apparet, deterior cygnis ad divinandum vobis esse videor. illi quidem, quando se brevi praesentiunt morituros, tunc magis admodum dulciusque canunt, quam antea consueverint, congratulantes, quod ad Deum sint, cuius erant famuli, iam migraturi. Homines vero, cum ipsi mortem expavescant, cygnos quoque falso criminantur, quod lugentes mortem ob dolorem cantum emittant: profecto haud animadvertunt nullam esse avem, quae cantet, quando esuriat aut rigeat aut quovis alio afficiatur incommodo: non ipsa philomela nec hirundo, nec epops, quas ferunt per querimoniam cantare lugentes. At mihi neque hae aves prae dolore videntur canere, neque cygni. sed quia Phoebo sacri sunt, ut arbitror, divinatione praediti praesagiunt alterius vitae bona: ideoque cantant alacrius gestiuntque ea die quam superiori tempore. Atque et ego arbitror me cygnorum esse conservum eidemque Deo sacrum; neque deterius vaticinium ab eodem domino habere quam illos; neque ignavius e vita decedere. Quapropter licet vobis

ἐρωτᾷν ὅ τι ἂν βούλησθε, ἕως ἂν οἱ Ἀθηναίων ἐῶσιν ἄνδρες ἑνδεκα. Καλῶς, ἔφη, λέγεις, ὁ Σιμμίας· καὶ ἐγώ τέ σοι ἐρῶ ὃ ἀπορῶ, καὶ αὖ ὅδε, ἢ οὐκ ἀποδέχεται τὰ εἰρημένα. ἐμοὶ γὰρ δοκεῖ, ὦ Σώκρατες, περὶ τῶν τοιούτων ἴσως ὥς περ καὶ σοί, τὸ μὲν σαφὲς εἰδέναι ἐν τῷ νῦν βίῳ ἢ ἀδύνατον εἶναι ἢ παγχάλεπόν τι, τὸ μέντοι αὖ τὰ λεγόμενα περὶ αὐτῶν μὴ οὐχὶ παντὶ τρόπῳ ἐλέγχειν καὶ μὴ προαφίστασθαι πρὶν ἂν πανταχῇ σκοπῶν ἀπείπῃ τις, πάνυ μαλθακοῦ εἶναι ἀνδρός· δεῖν γὰρ περὶ αὐτὰ ἓν γέ τι τούτων διαπράξασθαι, ἢ μαθεῖν ὅπῃ ἔχει ἢ εὑρεῖν, ἢ εἰ ταῦτα ἀδύνατον, τὸν γοῦν βέλτιστον τῶν ἀνθρωπίνων λόγων λαβόντα καὶ δυσεξελεγκτότατον, ἐπὶ τούτου ὀχούμενον, ὥς περ ἐπὶ σχεδίας κινδυνεύοντα, διαπλεῦσαι τὸν βίον, εἰ μή τις δύναιτο ἀσφαλέστερον καὶ ἀκινδυνότερον ἐπὶ βεβαιοτέρου ὀχήματος ἢ λόγου θείου τινὸς διαπορευθῆναι. καὶ δὴ καὶ νῦν ἔγωγε οὐκ ἐπαισχυνθήσομαι ἐρέσθαι, ἐπειδὴ καὶ σὺ ταῦτα λέγεις, οὐδὲ ἐμαυτὸν αἰτιάσομαι ἐν ὑστέρῳ χρόνῳ ὅτι νῦν οὐκ εἶπον ἃ ἐμοὶ δοκεῖ. ἐμοὶ γάρ, ὦ Σώκρατες, ἐπειδὴ καὶ πρὸς ἐμαυτὸν καὶ πρὸς τόνδε σκοπῶ τὰ εἰρημένα, οὐ πάνυ φαίνεται ἱκα-

huius gratia dicere et interrogare quicquid libet, quoad Atheniensium undecimviri sinunt. *Sim.* Praeclare loqueris. itaque et ego tibi aperiam, qua in re dubitem: et rursus hic Cebes, quidnam ex superiori disputatione minus admittat. Mihi quidem, o Socrates, quemadmodum fortasse tibi quoque, videtur de his quidem rebus manifestam veritatem in vita praesenti aut nullo modo aut summa cum difficultate intelligi posse. Quae tamen de his dicantur, ea nullo modo redarguere, adeo ut non prius desistas, quam examinando alteruter acquiescat, mollis nimium iudico esse viri. oportere enim circa haec alterutrum efficere: aut discere vel invenire, quemadmodum se habeant: aut, si haec fieri nequeant, optimam atque tutissimam humanarum rationum eligere, qua quis tanquam rate vehatur, atque ita procellas huius vitae pertranseat, si nequeat firmiori quodam vehiculo vel divino aliquo verbo tutius ac minori cum periculo tranare. Atqui ego nunc non verebor interrogare, praesertim cum ad hoc ipse nos adhorteris: ne forte meipsum quandoque sim culpaturus, quod nunc, quae mihi videantur, minime dixerim. Profecto mihi, o Socrates, una cum hoc Cebete tua reputanti

νῶς εἰρῆσθαι. Καὶ ὁ Σωκράτης, Ἴσως γάρ, ἔφη, ὦ ἑταῖρε, ἀληθῆ σοι φαίνεται· ἀλλὰ λέγε ὅπῃ δὴ οὐχ ἱκανῶς. Ταύτῃ ἔμοιγε, ἦ δ' ὅς, ᾗ δὴ καὶ περὶ ἁρμονίας ἄν τις καὶ λύρας τε καὶ χορδῶν τὸν αὐτὸν τοῦτον λόγον εἴποι, ὡς ἡ μὲν ἁρμονία ἀόρατόν τι καὶ ἀσώματον καὶ πάγκαλόν [τι] καὶ θεῖόν ἐστιν ἐν τῇ
86 ἡρμοσμένῃ λύρᾳ, αὐτὴ δ' ἡ λύρα καὶ αἱ χορδαὶ σώματά τε καὶ σωματοειδῆ καὶ ξύνθετα καὶ γεώδη ἐστὶ καὶ τοῦ θνητοῦ ξυγγενῆ. ἐπειδὰν οὖν ἢ κατάξῃ τις τὴν λύραν ἢ διατέμῃ ἢ καὶ διαῤῥήξῃ τὰς χορδάς, εἴ τις διισχυρίζοιτο τῷ αὐτῷ λόγῳ ὥς περ σύ, ὡς ἀνάγκη ἔτι εἶναι τὴν ἁρμονίαν ἐκείνην καὶ μὴ ἀπολωλέναι· οὐδεμία γὰρ μηχανὴ [ἂν] εἴη τὴν μὲν λύραν ἔτι εἶναι διῤῥωγυιῶν τῶν χορδῶν καὶ τὰς χορδὰς θνητοειδεῖς οὔσας, τὴν δὲ ἁρμονίαν ἀπολωλέναι τὴν τοῦ θείου τε καὶ ἀθανάτου ὁμοφυᾶ τε καὶ ξυγγενῆ, προτέραν τοῦ θνητοῦ ἀπολομένην· ἀλλὰ φαίη ὡς ἀνάγκη ἔτι που εἶναι αὐτὴν τὴν ἁρμονίαν, καὶ πρότερον τὰ ξύλα καὶ τὰς χορδὰς κατασαπῆσεσθαι πρίν τι ἐκείνῃ παθεῖν, — καὶ γὰρ οὖν, ὦ Σώκρατες, οἶμαι ἔγωγε καὶ αὐτόν σε τοῦτο ἐντεθυμῆσθαι, ὅτι τοιοῦτόν τι μάλιστα ὑπολαμβάνομεν τὴν ψυχὴν εἶναι, ὡς περ ἐντεταμένου τοῦ σώμα-

haud satis confirmata videntur. *So.* Forsan vere, o amice, opinaris. sed dic, qua in parte minus sufficienter dicta fuisse censeas. *Sim.* In hac utique. Nempe de harmonia et lyra et fidibus idem posset quispiam dicere, harmoniam videlicet esse invisibile quiddam et incorporeum et perpulchrum atque divinum in lyra rite temperata: ipsam vero lyram fidesque corpora esse atque corporea et composita terrestriaque et mortali cognata. Cum igitur aliquis vel lyram fregerit vel fides inciderit sive disruperit, poterit quis eadem, qua tu, ratione affirmare, necessarium esse illam superesse harmoniam neque disperdi. nulla enim machinatio foret, lyram quidem esse adhuc, fidibus iam disruptis, atque ipsas fides mortalis generis: harmoniam vero, quae divini et immortalis cognata erat, prius quam mortale illud interisse. Ille vero diceret adhuc esse alicubi harmoniam, atque prius ligna et fides putrefieri, quam illa aliquid patiatur. Arbitror equidem, o Socrates, te animadvertisse, nos tale aliquid potissimum esse animam cogitare. Esse videlicet in cor-

τος ἡμῶν καὶ ξυνεχομένου ὑπὸ θερμοῦ καὶ ψυχροῦ καὶ ξηροῦ καὶ ὑγροῦ καὶ τοιούτων τινῶν, κρᾶσιν εἶναι καὶ ἁρμονίαν αὐτῶν τούτων τὴν ψυχὴν ἡμῶν, ἐπειδὰν ταῦτα καλῶς καὶ μετρίως κραθῇ πρὸς ἄλληλα. εἰ οὖν τυγχάνει ἡ ψυχὴ οὖσα ἁρμονία τις, δῆλον ὅτι ὅταν χαλασθῇ τὸ σῶμα ἡμῶν ἀμέτρως ἢ ἐπιταθῇ ὑπὸ νόσων καὶ ἄλλων κακῶν, τὴν μὲν ψυχὴν ἀνάγκη εὐθὺς ὑπάρχει ἀπολωλέναι, καί περ οὖσαν θειοτάτην, ὥς περ καὶ αἱ ἄλλαι ἁρμονίαι αἵ τ' ἐν τοῖς φθόγγοις καὶ αἱ ἐν τοῖς τῶν δημιουργῶν ἔργοις πᾶσι, τὰ δὲ λείψανα τοῦ σώματος ἑκάστου πολὺν χρόνον παραμένειν, ἕως ἄν ἢ κατακαυθῇ ἢ κατασαπῇ. ὅρα οὖν πρὸς τοῦτον τὸν λόγον τί φήσομεν, ἐάν τις ἀξιοῖ κρᾶσιν οὖσαν τὴν ψυχὴν τῶν ἐν τῷ σώματι ἐν τῷ καλουμένῳ θανάτῳ πρώτην ἀπόλλυσθαι.

Διαβλέψας οὖν ὁ Σωκράτης, ὥς περ τὰ πολλὰ εἰώθει, καὶ μειδιάσας Δίκαια μέντοι, ἔφη, λέγει ὁ Σιμμίας. εἰ οὖν τις ὑμῶν εὐπορώτερος ἐμοῦ, τί οὐκ ἀπεκρίνατο; καὶ γὰρ οὐ φαύλως ἔοικεν ἅπτομένῳ τοῦ λόγου. δοκεῖ μέντοι μοι χρῆναι πρὸ τῆς ἀποκρίσεως ἔτι πρότερον Κέβητος ἀκοῦσαι, τί αὖ ὅδε ἐγκαλεῖ τῷ λόγῳ,

pore nostro intensionem et complexionem quandam ex calido, frigido, sicco, humido ceterisque talibus; horumque temperantiam consonantiamque animam esse, resultantem videlicet in corpore, postquam haec ipsa bene moderateque invicem temperata fuerint. Si ergo anima harmonia quaedam est, quotiens horum natura in corpore propter morbos aliaque mala immoderate vel remittitur vel intenditur: necesse est, animam quidem, quamvis divinissimam, subito interire, sicut solent ceterae consonantiae, sive quae in vocibus, sive quae in aliis artificum operibus fiunt; reliquias autem corporis cuiusque diutius permanere, quousque vel ardeant vel putrefiant. Considera igitur, quid huic rationi sit respondendum, si quis censeat animam temperantiam quandam esse eorum, quae sunt in corpore, prioremque in morte perire. Tunc Socrates, quemadmodum saepe solebat, intuens acrius atque ridens, Iuste, inquit, tu quidem loqueris, Simmia. Si quis ergo vestrum me facundior est, cur his non respondebat? non enim ignave rationem attigisse videtur. Indico tamen, antequam Simmiae respondeatur, quid Cebes quoque damnet, esse audiendum, ut tempore interiecto

ἵνα χρόνου ἐγγενομένου βουλευσώμεθα τί ἐροῦμεν, ἔπειτα ἀκούσαντας ἢ ξυγχωρεῖν αὐτοῖς, ἐάν τι δοκῶσι προσάδειν· ἐὰν δὲ μή, οὕτως ἤδη ὑπερδικεῖν τοῦ λόγου. ἀλλ' ἄγε, ἦ δ' ὅς, ὦ Κέβης, λέγε τί ἦν ὃ σὲ αὖ θρῶττον ἀπιστίαν παρέχει. Λέγω δή, ἦ δ' ὃς ὁ Κέβης. ἐμοὶ γὰρ φαίνεται ἔτι ἐν τῷ αὐτῷ ὁ λόγος εἶναι, καὶ
87 ὅ περ ἐν τοῖς ἔμπροσθεν ἐλέγομεν, ταὐτὸν ἔγκλημα ἔχειν. ὅτι μὲν γὰρ ἦν ἡμῶν ἡ ψυχὴ καὶ πρὶν εἰς τόδε τὸ εἶδος ἐλθεῖν, οὐκ ἀνατίθεμαι μὴ οὐχὶ πάνυ χαριέντως, καὶ εἰ μὴ ἐπαχθές ἐστιν εἰπεῖν, πάνυ ἱκανῶς ἀποδεδεῖχθαι· ὡς δὲ καὶ ἀποθανόντων ἡμῶν ἔτι που ἔσται, οὐ μοι δοκεῖ τῇδε. ὡς μὲν οὐκ ἰσχυρότερον καὶ πολυχρονιώτερον ψυχὴ σώματος, οὐ ξυγχωρῶ τῇ Σιμμίου ἀντιλήψει· δοκεῖ γάρ μοι πᾶσι τούτοις πάνυ πολὺ διαφέρειν. τί οὖν, ἂν φαίη ὁ λόγος, ἔτι ἀπιστεῖς, ἐπειδή γε ὁρᾷς ἀποθανόντος τοῦ ἀνθρώπου τό γε ἀσθενέστερον ἔτι ὄν; τὸ δὲ πολυχρονιώτερον οὐ δοκεῖ σοι ἀναγκαῖον εἶναι ἔτι σώζεσθαι ἐν τούτῳ τῷ χρόνῳ· πρὸς δὴ τοῦτο τόδε ἐπίσκεψαι εἴ τι λέγω· εἰκόνος γάρ τινος, ὡς ἔοικε, κἀγὼ ὥς περ Σιμμίας δέομαι. ἐμοὶ γὰρ δοκεῖ ὁμοίως λέγεσθαι ταῦτα, ὥς περ ἄν τις περὶ ἀνθρώ-

deliberandi habeamus facultatem: deinde, his auditis, vel his concedendum, si consentanea vero videantur afferre: sin vero minus, rationem superiorem defendendam esse atque retinendam. Quamobrem dic age, o Cebes, quidnam potissimum te turbet, quo minus assentiaris. *Ce.* Mihi quidem videtur eodem revolvi eidemque quod in superioribus diximus, crimini obnoxia esse. Quod enim fuerit anima nostra, prius quam in humanam descenderet speciem, haud equidem retracto, quin bellissime dictum fuerit; ac nisi dictu esset invidiosum, sufficienter demonstratum asseverarem. Attamen nobis mortuis superesse, non sic assentior. Neque tamen Simmiae concedo obiicienti, non esse animam validiorem corpore atque diuturniorem. videtur profecto mihi his omnibus anima praestare quam plurimum. Hic ergo ratio superior (ad me conversa) sic inquiet: Quidnam ulterius ambigis? cum videas homine defuncto, quod in eo imbecillius fuerat superesse; cur non concedis oportere etiam, quod validius diuturniusque erat, hoc ipso in tempore superesse? Sed adverte iam, quanti momenti sit, quod ad id respondeo. similitudine mihi quoque opus est, quemadmodum Simmiae. Profecto mihi perinde haec dici videntur, ac si quis

που ὑφάντου πρεσβύτου ἀποθανόντος λέγοι τοῦτον τὸν λόγον, ὅτι οὐκ ἀπόλωλεν ὁ ἄνθρωπος ἀλλ' ἔστι που. ἴσως, τεκμήριον δὲ παρέχοιτο ἱμάτιον ὃ ἠμπείχετο αὐτὸς ὑφηνάμενος, ὅτι ἔστι σῶν καὶ οὐκ ἀπόλωλε, καὶ εἴ τις ἀπιστοῖ αὐτῷ, ἀνερωτῴη πότερον πολυχρονιώτερόν ἐστι τὸ γένος ἀνθρώπου ἢ ἱματίου ἐν χρείᾳ τε ὄντος καὶ φορουμένου, ἀποκριναμένου δέ τινος ὅτι πολὺ τὸ τοῦ ἀνθρώπου, οἴοιτο ἀποδεδεῖχθαι ὅτι παντὸς ἄρα μᾶλλον ὅ γε ἄνθρωπος σῶς ἐστίν, ἐπειδὴ τό γε ὀλιγοχρονιώτερον οὐκ ἀπόλωλε. τὸ δ' οἶμαι, ὦ Σιμμία, οὐχ οὕτως ἔχει· σκόπει γὰρ καὶ σὺ ἃ λέγω. πᾶς γὰρ ἄν ὑπολάβοι ὅτι εὖ ἦθες λέγει ὁ τοῦτο λέγων. ὁ γὰρ ὑφάντης οὗτος πολλὰ κατατρίψας τοιαῦτα ἱμάτια καὶ ὑφηνάμενος ἐκείνων μὲν ὕστερος ἀπόλωλε πολλῶν ὄντων, τοῦ δὲ τελευταίου, οἶμαι, πρότερος, καὶ οὐδέν τι μᾶλλον τούτου ἕνεκα ἄνθρωπός ἐστιν ἱματίου φαυλότερον οὐδ' ἀσθενέστερον. τὴν αὐτὴν δὲ ταύτην, οἶμαι, εἰκόνα δέξαιτ' ἂν ψυχὴ πρὸς σῶμα, καί τις λέγων αὐτὰ ταῦτα περὶ αὐτῶν μέτρι' ἄν μοι φαίνοιτο λέγειν, ὡς ἡ μὲν ψυχὴ πολυχρόνιόν ἐστι, τὸ δὲ σῶμα ἀσθενέστερον καὶ ὀλιγοχρονιώτερον. ἀλλὰ γὰρ ἂν φαίη ἑκάστην τῶν

de homine textore sene defuncto diceret, nondum interisse illum, sed forte alicubi superesse, coniecturamque afferret vestis, qua ipse, cum texuisset, usus fuerit; assereretque eum adhuc esse incolumem neque interiisse: ac si quis id non credat, interrogaret ab eo, utrum diuturnius sit hominis genus an vestis, qua quotidie quis utatur. quod si respondeat genus humanum diuturnius esse, tunc demonstratum id esse putaret, videlicet multo propterea magis sospitem esse hominem, quandoquidem, quod in eo erat fragilius, nondum perierit. Hoc autem, o Simmia, ita se habere non arbitror. sed considera tu quoque, quid dicam. profecto quivis intelligeret, inepte illud adduci. Nam hic textor, qui multas contriverit vestes multasque texuerit, multis quidem posterior obiit, ultima vero prior: neque propterea magis sequitur, hominem esse veste viliorem atque debiliorem. Eandem fieri similitudinem animae ad corpus posse arbitror: ac si quis de his duobus eadem illa adducat, congrue dicere videretur: videlicet animam quidem esse diuturniorem, corpus vero debilius minusque diuturnum: verum diceret, quemlibet

ψυχῶν πολλὰ σώματα κατατρίβειν, ἄλλως τε καὶ εἰ πολλὰ ἔτη βιώη· εἰ γὰρ ῥέοι τὸ σῶμα καὶ ἀπολλύοιτο ἔτι ζῶντος τοῦ ἀνθρώπου, ἀλλ' ἡ ψυχὴ ἀεὶ τὸ καταβριβόμενον ἀνυφαίνοι, ἀναγκαῖον μέντ' ἂν εἴη, ὁπότε ἀπολλύοιτο ἡ ψυχή, τὸ τελευταῖον ὑφασμα τυγχάνειν αὐτὴν ἔχουσαν καὶ τούτου μόνου προτέραν ἀπόλλυσθαι· ἀπολομένης δὲ τῆς ψυχῆς τότ' ἤδη τὴν φύσιν τῆς ἀσθενείας ἐπιδεικνύοι τὸ σῶμα καὶ ταχὺ σαπὲν διοίχοιτο. ὥστε τούτῳ τῷ λόγῳ οὔπω ἄξιον πιστεύσαντα θαῤῥεῖν, ὡς ἐπειδὰν ἀποθάνωμεν, ἔτι που ἡμῶν ἡ ψυχὴ ἔσται. εἰ γάρ τις καὶ πλέον ἔτι τῷ λέγοντι ἢ ἃ σὺ λέγεις ξυγχωρήσειε, δοὺς αὐτῷ μὴ μόνον ἐν τῷ πρὶν καὶ γενέσθαι ἡμᾶς χρόνῳ εἶναι ἡμῶν τὴν ψυχήν, ἀλλὰ μηδὲν κωλύειν, καὶ ἐπειδὰν ἀποθάνωμεν, ἐνίων ἔτι εἶναι καὶ ἔσεσθαι καὶ πολλάκις γενήσεσθαι καὶ ἀποθανεῖσθαι αὖθις· οὕτω γὰρ αὐτὸ φύσει ἰσχυρὸν εἶναι, ὥστε πολλάκις γιγνομένην ψυχὴν ἀντέχειν· δοὺς δὲ ταῦτα ἐκεῖνο μηκέτι συγχωροίη, μὴ οὐ πονεῖν αὐτὴν ἐν ταῖς πολλαῖς γενέσεσι καὶ τελευτῶσάν γε ἔν τινι τῶν θανάτων παντάπασιν ἀπόλλυσθαι· τοῦτον δὲ τὸν θάνατον καὶ ταύτην τὴν διάλυσιν τοῦ σώματος, ἢ τῇ ψυχῇ φέρει ὄλεθρον, μηδένα φαίη εἰδέναι· ἀδύνατον γὰρ

88

animorum plura consumere corpora, praesertim si multos vivant annos. Si enim fluat corpus homineque etiam vivente dissolvatur, anima vero, quod consumitur, retexat continue; necessarium tamen erit, quando perierit anima, tunc ultimam habere vestem, eaque sola priorem perire. Cum vero perierit anima, tunc demum imbecillitatem naturae suae corpus ostendere, cito putrescens atque evanescens: ut hac ratione nondum confidere valeamus, tunc etiam cum decesserimus, animam nostram superfore. Nam si quis dicenti etiam plura, quam quae tu dicis, concesserit, nec solum ante ortum nostrum animam exstitisse, verum etiam nihil prohibere, etiam post obitum quòrundam remanere; saepiusque accedere ac decedere fateatur: (adeo enim naturam animae validam esse, ut saepius corpori indita se corpusque servet:) his tamen concessis, nondum illud tibi daret, non defatigari in multis generationibus animam; sed tandem aliqua ex pluribus morte diceret omnino deleri. quin etiam adderet, neminem mortem illam dissolutionemque corporis, quae animae quoque interitum infert, posse discernere: esse

εἶναι ὁτῳοῦν αἰσθάνεσθαι ἡμιῶν· εἰ δὲ τοῦτο οὕτως ἔχει, οὐδενὶ προσήκει θάνατον θαῤῥοῦντι μὴ οὐκ ἀνοήτως θαῤῥεῖν, ὃς ἂν μὴ ἔχῃ ἀποδεῖξαι ὅτι ἔστι ψυχὴ παντάπασιν ἀθάνατόν τε καὶ ἀνώλεθρον· εἰ δὲ μή, ἀνάγκην εἶναι ἀεὶ τὸν μέλλοντα ἀποθανεῖσθαι δεδιέναι ὑπὲρ τῆς αὐτοῦ ψυχῆς, μὴ ἐν τῇ νῦν τοῦ σώματος διαζεύξει παντάπασιν ἀπόληται.

Πάντες οὖν ἀκούσαντες εἰπόντων αὐτῶν ἀηδῶς διετέθημεν, ὡς ὕστερον ἐλέγομεν πρὸς ἀλλήλους, ὅτι ὑπὸ τοῦ ἔμπροσθεν λόγου σφόδρα πεπεισμένους ἡμᾶς πάλιν ἐδόκουν ἀναταράξαι καὶ εἰς ἀπιστίαν καταβαλεῖν οὐ μόνον τοῖς προειρημένοις λόγοις, ἀλλὰ καὶ εἰς τὰ ὕστερον μέλλοντα ῥηθήσεσθαι, μὴ οὐδενὸς ἄξιοι εἶμεν κριταὶ ἢ καὶ τὰ πράγματα αὐτὰ ἄπιστα εἴη.

ΕΧ. Νὴ τοὺς θεούς, ὦ Φαίδων, συγγνώμην γε ἔχω ὑμῖν. καὶ γὰρ αὐτόν με νῦν ἀκούσαντά σου τοιοῦτόν τι λέγειν πρὸς ἐμαυτὸν ἐπέρχεται, Τίνι οὖν ἔτι πιστεύσομεν λόγῳ; ὡς γὰρ σφόδρα πιθανὸς ὤν, ὃν ὁ Σωκράτης ἔλεγε λόγον, νῦν εἰς ἀπιστίαν καταπέπτωκε. θαυμαστῶς γάρ μου ὁ λόγος οὗτος ἀντιλαμβάνεται καὶ νῦν καὶ ἀεί, τὸ ἁρμονίαν τινὰ ἡμῶν εἶναι τὴν ψυχήν,

enim impossibile, ut quisquam nostrum id sentiat. Quod quidem si ita se habeat, nemo non stulte in morte confidit, nisi demonstrare possit animam omnino immortalem atque indissolubilem esse. alioquin consentaneum est necessarium esse, ut, qui moriturus est, animae metuat suae, semperque sit sollicitus, ne in ea, quae proxime imminet, corporis disiunctione prorsus intereat. Omnes igitur, cum haec audivissemus, conturbati sumus, ut postea invicem aperuimus, quod cum superiori disputatione nobis fuisset magnopere persuasum, viderentur nos ab eo statu in praesentia deturbasse, atque eo iam deiecisse, ut nedum rationibus iam adductis, sed et dicendis insuper fidem ullam adhiberemus; verentes, ne vel nos nequaquam boni essemus iudices, vel res ipsae fide essent indignae. *Ech.* Veniam equidem per Deos do vobis, o Phaedon. nam mihi quidem, modo te audienti, tale quiddam veniebat in mentem: Cuinam ulterius rationi credemus? quippe cum ratio illa Socratis, usque adeo paulo ante probabilis, iam fidem amiserit. mirum est enim, quantum apud me contra possit ratio illa semperque potuerit, quae animam nostram harmoniam quandam esse pro-

καὶ ὡς περ ὑπέμνησέ με ῥηθεὶς ὅτι καὶ αὐτῷ μοι ταῦτα προὐδέδοκτο. καὶ πάνυ δέομαι πάλιν, ὡς περ ἐξ ἀρχῆς, ἄλλου τινὸς λόγου, ὅς με πείσει ὡς τοῦ ἀποθανόντος οὐ συναποθνήσκει ἡ ψυχή. λέγε οὖν πρὸς Διός, πῇ ὁ Σωκράτης μετῆλθε τὸν λόγον; καὶ πότερον καὶκεῖνος, ὥς περ ὑμᾶς φῄς, ἔνδηλός τι ἐγένετο ἀχθόμενος ἢ οὔ, ἀλλὰ πράως ἐβοήθει τῷ λόγῳ; καὶ ἱκανῶς ἐβοήθησεν ἢ ἐνδεῶς; πάντα ἡμῖν διελθὲ ὡς δύνασαι ἀκριβέστατα.

ΦΑΙΔ. Καὶ μήν, ὦ Ἐχέκρατες, πολλάκις θαυμάσας Σωκράτη οὐ πώποτε μᾶλλον ἠγάσθην ἢ τότε παραγενόμενος. τὸ μὲν οὖν ἔχειν ὅ τι λέγοι ἐκεῖνος ἴσως οὐδὲν ἄτοπον· ἀλλ' ἔγωγε μάλιστα ἐθαύμασα αὐτοῦ πρῶτον μὲν τοῦτο, ὡς ἡδέως καὶ εὐμενῶς καὶ ἀγαμένως τῶν νεανίσκων τὸν λόγον ἀπεδέξατο, ἔπειτα ἡμῶν ὡς ὀξέως ᾔσθετο ὃ πεπόνθειμεν ὑπὸ τῶν λόγων, ἔπειτα ὡς εὖ ἡμᾶς ἰάσατο καὶ ὡς περ πεφευγότας καὶ ἡττημένους ἀνεκαλέσατο καὶ προὔτρεψε πρὸς τὸ παρέπεσθαί τε καὶ ξυσκοπεῖν τὸν λόγον.

ΕΧ. Πῶς δή;

bat: et nunc quidem audita me subito in memoriam revocavit, quantum mihi quoque alias persuaserit. Quo efficitur, ut alia quadam ratione iterum, tanquam ab initio, prorsus indigeam, quae mihi persuadeat animam cum corpore non interire. Dic ergo, per Iovem precor, quo pacto disputationem peregerit Socrates, et utrum ipse quoque, quemadmodum de vobis ipse fateris, graviter id ferre visus fuerit; an contra benigne suam defenderit rationem: praeterea utrum satis, necne, eam tutatus fuerit. haec nobis, quam potes diligentissime, refer omnia. *Phae.* Equidem, o Echecrates, saepe admiratus Socratem, nunquam maiori cum voluptate, quam tunc praesens, sum admiratus, meque affuisse ibi mirifice gaudeo. Habuisse quidem illum, quod obiectionibus responderet, forte non est mirandum. sed haec in eo potissimum sum admiratus, primo quidem quam iucunde, benigne, amice adolescentium verba recepit: deinde quam sagaciter sensit nos illorum rationibus fuisse commotos: demum quam opportune nobis adhibuit medicinam, et quasi fugientes atque victos revocavit nos, convertitque ad prosequendum atque considerandum. *Ech.* Quonam pacto?

ΦΑΙΔ. Ἐγὼ ἐρῶ. ἔτυχον γὰρ ἐν δεξιᾷ αὐτοῦ καθήμενος παρὰ τὴν κλίνην ἐπὶ χαμαιζήλου τινός, ὁ δὲ ἐπὶ πολὺ ὑψηλοτέρου ἢ ἐγώ. καταψήσας οὖν μου τὴν κεφαλὴν καὶ ξυμπιέσας τὰς ἐπὶ τῷ αὐχένι τρίχας — εἰώθει γάρ, ὁπότε τύχοι, παίζειν μου εἰς τὰς τρίχας — Ἄῤῥιον δή, ἔφη, ἴσως, ὦ Φαίδων, τὰς καλὰς ταύτας κόμας ἀποκερεῖ. Ἔοικεν, ἦν δ' ἐγώ, ὦ Σώκρατες. Οὔκ, ἐάν γε ἐμοὶ πείθῃ. Ἀλλὰ τί; ἦν δ' ἐγώ. Τήμερον, ἔφη, κἀγὼ τὰς ἐμὰς καὶ σὺ ταύτας, ἐάν πέρ γε ἡμῖν ὁ λόγος τελευτήσῃ καὶ μὴ δυνώμεθα αὐτὸν ἀναβιώσασθαι. καὶ ἔγωγ' ἄν εἰ σὺ εἴην καί με διαφύγοι ὁ λόγος, ἔνερκον ἂν ποιησαίμην ὥς περ Ἀργεῖοι, μὴ πρότερον κομήσειν πρὶν ἂν νικήσω ἀναμαχόμενος τὸν Συμμίου τε καὶ Κέβητος λόγον. Ἀλλ', ἦν δ' ἐγώ, πρὸς δύο οὐδ' ὁ Ἡρακλῆς λέγεται οἷός τε εἶναι. Ἀλλὰ καὶ ἐμέ, ἔφη, τὸν Ἰόλεων παρακάλει, ἕως ἔτι φῶς ἐστίν. Παρακαλῶ τοίνυν, ἔφην, οὐχ ὡς Ἡρακλῆς, ἀλλ' ὡς Ἰόλεως τὸν Ἡρακλῆ. Οὐδὲν διοίσει, ἔφη. ἀλλὰ πρῶτον εὐλαβηθῶμέν τι πάθος μὴ πάθωμεν. Τὸ ποῖον; ἦν δ' ἐγώ. Μὴ γενώμεθα, ἦ δ' ὅς, μισολόγοι, ὥς περ οἱ μισάνθρωποι γιγνόμενοι, ὡς οὐκ ἔστιν, ἔφη, ὅ τι

Phae. Dicam equidem. Sedebam forte ad dexteram eius in subsellio quodam humili, iuxta lectulum. ipse vero Socrates sedebat longe superior. Attrectans igitur caput meum comprimensque crines super cervicem: (consueverat enim nonnunquam, ubi contigisset, in meos crines ludere) Cras forsitan, inquit, o Phaedon, istas pulchras incides comas. *Phae.* Sic arbitror, o Socrates. *So.* Non certe, si mihi assensus fueris. *Phae.* Quid ergo? *So.* Immo hodie et ego meas et tu tuas, si nobis ratio intereat, neque eam ipsi suscitare possimus. Atque si ego tu essem ac me fugeret ratio, more Argivorum iurarem non prius comam nutriturum, quam vicissim Simmiam Cebetemque expugnavissem. *Phae.* At vero contra duos ne Hercules quidem dicitur sufficisse. *So.* At tu me Iolaum, dum lux est, advoca. *Phae.* Advoco equidem, sed non tanquam Hercules Iolaum, immo tanquam Iolaus Herculem. *So.* Nihil refert. in primis vero cavendum, ne id nobis accidat. *Phae.* Quidnam? *So.* Ne rationum evadamus osores, quemadmodum nonnulli hominum osores sunt. nullum enim maius quam hoc malum nobis posset

ἄν τις μεῖζον τούτου κακὸν πάθοι ἢ λόγους μισήσας. γίγνεται δὲ ἐκ τοῦ αὐτοῦ τρόπου μισολογία τε καὶ μισανθρωπία. ἥ τε γὰρ μισανθρωπία ἐνδύεται ἐκ τοῦ σφόδρα τινὶ πιστεῦσαι ἄνευ τέχνης, καὶ ἡγήσασθαι παντάπασί γε ἀληθῆ εἶναι καὶ ὑγιῆ καὶ πιστὸν τὸν ἄνθρωπον, ἔπειτα ὀλίγον ὕστερον εὑρεῖν τοῦτον πονηρόν τε καὶ ἄπιστον, καὶ αὖθις ἕτερον. καὶ ὅταν τοῦτο πολλάκις πάθῃ τις, καὶ ὑπὸ τούτων μάλιστα οὓς ἂν ἡγήσαιτο οἰκειοτάτους τε καὶ ἑταιροτάτους, τελευτῶν δὴ θαμὰ προσκρούων μισεῖ τε πάντας καὶ ἡγεῖται οὐδενὸς οὐδὲν ὑγιὲς εἶναι τὸ παράπαν. ἢ οὐκ ἤσθησαι οὕτω τοῦτο γιγνόμενον; *Πάνυ γε*, ἦν δ' ἐγώ. *Οὐκοῦν*, ἦ δ' ὅς, αἰσχρόν; καὶ δῆλον ὅτι ἄνευ τέχνης τῆς περὶ τἀνθρώπεια ὁ τοιοῦτος χρῆσθαι ἐπιχειρεῖ τοῖς ἀνθρώποις; εἰ γάρ που μετὰ τέχνης ἐχρᾶτο, ὥς περ ἔχει, οὕτως ἂν ἡγήσατο, τοὺς μὲν χρηστοὺς καὶ πονηροὺς σφόδρα ὀλίγους εἶναι ἑκατέρους, τοὺς δὲ μεταξὺ πλείστους. *Πῶς λέγεις*; ἦν δ' ἐγώ. *Ὡς περ*, ἦ δ' ὅς, περὶ τῶν σφόδρα σμικρῶν καὶ μεγάλων· οἴει τι σπανιώτερον εἶναι ἢ σφόδρα μέγαν ἢ σφόδρα σμικρὸν ἐξευρεῖν ἄνθρωπον ἢ κύνα ἢ ἄλλο ὁτιοῦν; ἢ αὖ ταχὺν ἢ βραδύν, ἢ καλὸν ἢ αἰσχρόν, ἢ λευκὸν ἢ μέλανα; ἢ

accidere; videlicet si rationes odio habuerimus. Fit autem eodem pacto odium et adversus rationes et adversus homines. Odium quidem contra homines tunc maxime subit, quando alicui nimium credimus absque arte, putamusque ipsum omnino verum et sincerum fidumque virum esse, deinde vero mox pravum infidumque deprehendimus, rursusque alium eodem pacto. Itaque quando quis saepius offensus ita decipitur, praesertim ab iis, quos praecipue familiarissimos amicissimosque existimabat; odit tandem plurimum universos, putatque nihil omnino apud quenquam esse sincerum. an te latuit, id ita accidere consuevisse? *Phae.* Animadverti equidem. *So.* An non turpiter et absque humanarum rerum arte hic aggreditur hominibus uti? si enim ex arte uti studeret, cogitaret utique rem ipsam ita se, ut habet, habere, videlicet homines vehementer bonos aut malos perpaucos esse, medios vero plurimos. *Phae.* Quo id pacto dicis? *So.* Quemadmodum videlicet in rebus contingit valde aut parvis aut magnis. An tu arbitraris, quicquam esse rarius quam valde magnum aut valde parvum reperire hominem vel canem vel quodvis aliud? atque rursus celerrimum et tardissimum, pulcherrimum, turpissimum, albissimum, nigerrimum? an

οὐκ ἤσθησαι ὅτι πάντων τῶν τοιούτων τὰ μὲν ἄκρα τῶν ἐσχάτων σπάνια καὶ ὀλίγα, τὰ δὲ μεταξὺ ἄφθονα καὶ πολλά; Πάνυ γε, ἦν δ' ἐγώ. Οὐκοῦν οἶει, ἔφη, εἰ πονηρίας ἀγὼν προτεθείη, πάνυ ἂν ὀλίγους καὶ ἐνταῦθα τοὺς πρώτους φανῆναι; Εἰκός γε, ἦν δ' ἐγώ. Εἰκὸς γάρ, ἔφη· ἀλλὰ ταύτῃ μὲν οὐχ ὅμοιοι οἱ λόγοι τοῖς ἀνθρώποις εἰσίν, ἀλλὰ σοῦ νῦν δὴ προάγοντος ἐγὼ ἐφεσπόμην, ἀλλ' ἐκείνῃ ᾖ, ἐπειδάν τις πιστεύσῃ λόγῳ τινὶ ἀληθεῖ εἶναι ἄνευ τῆς περὶ τοὺς λόγους τέχνης, κἄπειτα ὀλίγον ὕστερον αὐτῷ δόξῃ ψευδὴς εἶναι, ἐνίοτε μὲν ὢν, ἐνίοτε δ' οὐκ ὤν, καὶ αὖθις ἕτερος καὶ ἕτερος· καὶ μάλιστα δὴ οἱ περὶ τοὺς ἀντιλογικοὺς λόγους διατρίψαντες οἶσθ' ὅτι τελευτῶντες οἴονται σοφώτατοι γεγονέναι καὶ κατανενοηκέναι μόνοι ὅτι οὔτε τῶν πραγμάτων οὐδενὸς οὐδὲν ὑγιὲς οὐδὲ βέβαιον οὔτε τῶν λόγων, ἀλλὰ πάντα τὰ ὄντα, ἀτεχνῶς ὥς περ ἐν Εὐρίπῳ, ἄνω καὶ κάτω στρέφεται καὶ χρόνον οὐδένα ἐν οὐδενὶ μένει. Πάνυ μὲν οὖν, ἔφην ἐγώ, ἀληθῆ λέγεις. Οὐκοῦν, ὦ Φαίδων, ἔφη, οἰκτρὸν ἂν εἴη τὸ πάθος, εἰ ὄντος δή τινος ἀληθοῦς καὶ βεβαίου λόγου καὶ δυνατοῦ καταναῆσαι, ἔπειτα διὰ τὸ παραγίγνεσθαι

ignoras in his omnibus extremorum summa rara quidem et pauca esse; media vero frequentia atque multa? *Phae.* Sic arbitror. *So.* Nonne igitur arbitraris, si improbitatis proponeretur certamen, admodum paucos in hoc genere summos inveniri? *Phae.* Consentaneum est. *So.* Consentaneum quidem. verum non hoc pacto similes rationes sunt atque homines: (sed te nunc ducentem prosecutus sum:) immo vero in hoc similitudo consistit, quando videlicet quis absque rationum arte crediderit rationem aliquam esse veram, sed paulo post appareat falsa: quae quidem aliquando talis est, aliquando minime, et rursus altera similiter atque altera. Praecipue vero illis id evenit, qui plurimum rationes contradictorias agitant. hos enim scis putare, tandem se sapientissimos evasisse, solosque animadvertisse neque in rebus neque in rationibus esse sanum aliquid aut firmum; sed omnia revera tanquam in Euripo sursum deorsumque iactari, nullumque tempus in aliquo permanere. *Phae.* Vere nimium loqueris. *So.* Nonne aegritudo haec, Phaedon, miserabilis esset, si cum ratio aliqua vera firmaque sit comprehendique valeat, postea tamen, auditis huiusmodi rationibus,

τοιούτοις τισὶ λόγοις τοῖς αὐτοῖς τοτὲ μὲν δοκοῦσιν ἀληθέσιν εἶναι, τοτὲ δὲ μή, μὴ ἑαυτόν τις αἰτιῶτο μηδὲ τὴν ἑαυτοῦ ἀτεχνίαν, ἀλλὰ τελευτῶν διὰ τὸ ἀλγεῖν ἄσμενος ἐπὶ τοὺς λόγους ἀφ' ἑαυτοῦ τὴν αἰτίαν ἀπώσαιτο, καὶ ἤδη τὸν λοιπὸν βίον μισῶν τε καὶ λοιδορῶν τοὺς λόγους διατελοῖ, τῶν δὲ ὄντων τῆς ἀληθείας τε καὶ ἐπιστήμης στερηθείη. Νὴ τὸν Δία, ἦν δ' ἐγώ, οἰκτρὸν δῆτα. Πρῶτον μὲν τοίνυν, ἔφη, τοῦτο εὐλαβηθῶμεν, καὶ μὴ παριῶμεν εἰς τὴν ψυχὴν ὡς τῶν λόγων κινδυνεύει οὐδὲν ὑγιὲς εἶναι, ἀλλὰ πολὺ μᾶλλον ὅτι ἡμεῖς οὔπω ὑγιῶς ἔχομεν, ἀλλ' ἀνδριστέον καὶ προθυμητέον ὑγιῶς ἔχειν, σοὶ μὲν οὖν καὶ τοῖς ἄλλοις καὶ τοῦ ἔπειτα βίου παντὸς ἕνεκα, ἐμοὶ δὲ αὐτοῦ ἕνε-
91 κα τοῦ θανάτου, ὡς κινδυνεύω ἔγωγε ἐν τῷ παρόντι περὶ αὐτοῦ τούτου οὐ φιλοσόφως ἔχειν, ἀλλ' ὥς περ οἱ πάνυ ἀπαίδευτοι φιλονείκως. καὶ γὰρ ἐκεῖνοι ὅταν περί του ἀμφισβητήσωσιν, ὅπη μὲν ἔχει περὶ ὧν ἂν ὁ λόγος ᾖ οὐ φροντίζουσιν, ὅπως δὲ ἃ αὐτοὶ ἔθεντο ταῦτα δόξει τοῖς παροῦσι, τοῦτο προθυμοῦνται. καὶ ἐγώ μοι δοκῶ ἐν τῷ παρόντι τοσοῦτον μόνον ἐκείνων διοίσειν· οὐ γὰρ ὅπως τοῖς παροῦσιν ἃ ἐγὼ λέγω δόξει ἀληθῆ

quae modo afferre vera, modo falsa videntur, aliquis hinc in ambiguitatem deductus, non seipsum, neque eius inertiam ob id accuset, sed tandem velut aeger libenter culpam omnem a seipso in ipsas transferat rationes, et in reliqua vita eas odio habeat atque vituperet, rerum iam ipsarum veritate scientiaque privatus. *Phae.* Per Iovem miserabilis aegritudo. *So.* In primis igitur diligenter id caveamus, ne persuadeamus nobis nihil in rationibus esse sanum; sed multo magis, nondum esse nos sanos. Itaque totis viribus, ut sani efficiamur, est annitendum: tibi quidem et aliis totius reliquae vitae gratia, mihi vero gratia mortis: qui in periculo sum, ne in hoc ipso tempore non ut philosophum me geram, sed ut contentiosum atque pertinacem; quod quidam homines a disciplina alienissimi facere solent. Illi enim, ubi aliqua de re ambigitur, non ut res ipsa, qua de agitur, se habeat curant; sed ut, quae posuerunt ipsi, praesentibus videantur vera, obnixe contendunt. Atque ego mihi videor in hoc duntaxat in praesentia ab illis differre, quod non, ut praesentibus probem ea, quae dico, annitar, (nisi qua-

εἶναι προθυμήσομαι, εἰ μὴ εἴη πάρεργον, ἀλλ' ὅπως αὐτῷ ἐμοὶ ὅτι μάλιστα δόξει οὕτως ἔχειν. λογίζομαι γάρ, ὦ φίλε ἑταῖρε· καὶ θέασαι ὡς πλεονεκτικῶς· εἰ μὲν τυγχάνει ἀληθῆ ὄντα ἃ λέγω, καλῶς δὴ ἔχει τὸ πεισθῆναι· εἰ δὲ μηδέν ἐστι τελευτήσαντι, ἀλλ' οὖν τοῦτόν γε τὸν χρόνον αὐτὸν τὸν πρὸ τοῦ θανάτου ἧττον τοῖς παροῦσιν ἀηδὴς ἔσομαι ὀδυρόμενος. ἡ δὲ ἄγνοιά μοι αὕτη οὐ ξυνδιατελεῖ, κακὸν γὰρ ἂν ἦν, ἀλλ' ὀλίγον ὕστερον ἀπολεῖται. παρεσκευασμένος μὲν δή, ἔφη, ὦ Σιμμία τε καὶ Κέβης, οὕτωσὶ ἔρχομαι ἐπὶ τὸν λόγον. ὑμεῖς μέντοι, ἂν ἐμοὶ πείθησθε, σμικρὸν φροντίσαντες Σωκράτους, τῆς δὲ ἀληθείας πολὺ μᾶλλον, ἐὰν μέν τι ὑμῖν δοκῶ ἀληθὲς λέγειν, ξυνομολογήσατε, εἰ δὲ μή, παντὶ λόγῳ ἀντιτείνετε, εὐλαβούμενοι ὅπως μὴ ἐγὼ ὑπὸ προθυμίας ἅμα ἐμαυτόν τε καὶ ὑμᾶς ἐξαπατήσας, ὥς περ μέλιττα τὸ κέντρον ἐγκαταλιπὼν οἰχήσομαι.

Ἀλλ' ἰτέον, ἔφη. πρῶτον μέν με ὑπομνήσατε ἃ ἐλέγετε, ἐὰν μὴ φαίνωμαι μεμνημένος. Σιμμίας μὲν γάρ, ὡς ἐγῷμαι, ἀπιστεῖ τε καὶ φοβεῖται μὴ ἡ ψυχή, ὅμως καὶ θειότερον καὶ κάλλιον ὂν τοῦ σώματος, προαπολλύηται ἐν ἁρμονίας εἴδει οὖσα· Κέβης δέ μοι ἔδοξε

tenus forte contigerit,) sed ut mihi ipsi vera quam maxime videantur. Sic enim cogito, dulcis amice; et vide quanto cum lucro sit ratio mea. Si forte vera sunt, quae dico, operae pretium est ita credere: sin autem nihil superest post mortem, attamen hoc ipsum tempus ante obitum praesentibus minus ero molestus minusque deplorabo. Haec autem ignorantia minime perseverabit mecum, (malum id quidem esset,) sed paulo post delebitur. Sic equidem, o Simmia, paratus, et Cebes, revertor ad disputandum. Vos tamen, si mihi assentiamini, non Socrati cedite, sed veritati; si enim verum vobis loqui videbor, concedite: sin minus, omnino contradicite, diligenter cavente, ne ego dum annitor, meipsum simul vosque decipiam, et velut apes, aculeo in vobis relicto, abeam. Sed iam accedendum est. Primum quidem redigite in memoriam mihi, quae dicebatis, si minus meminisse vobis videbor. Simmias quidem, ut arbitror, diffidit ac metuit, ne anima, quamvis divinior pulchriorque corpore, prius tamen pro harmoniae natura intereat. Cebes autem

τοῦτο μὲν ἐμοὶ ξυγχωρεῖν, πολυχρονιώτεράν γε εἶναι ψυχὴν σώματος, ἀλλὰ τόδε ἄθηλον παντί, μὴ πολλὰ δὴ σώματα καὶ πολλάκις κατατρίψασα ἡ ψυχὴ τὸ τελευταῖον σῶμα καταλιποῦσα τῶν αὐτὴ ἀπολλύηται; καὶ ᾗ αὐτὸ τοῦτο θάνατος, ψυχῆς ὄλεθρος, ἐπεὶ σῶμά γ' ἀεὶ ἀπολλύμενον οὐδὲν παύεται. ἆρα ἄλλ' ἢ ταῦτ' ἐστίν, ὦ Σιμμία τε καὶ Κέβης, ἃ δεῖ ἡμᾶς ἐπισκοπεῖσθαι; Ξυνωμολογείτην δὴ ταῦτ' εἶναι ἄμφω. Πότερον οὖν, ἔφη, πάντας τοὺς ἔμπροσθε λόγους οὐκ ἀποδέχεσθε, ἢ τοὺς μέν, τοὺς δ' οὔ; Τοὺς μέν, ἐφάτην, τοὺς δ' οὔ. Τί οὖν, ἦ δ' ὅς, περὶ ἐκείνου τοῦ λόγου λέγετε, ἐν ᾧ ἔφαμεν τὴν μάθησιν ἀνάμνησιν εἶναι, καὶ τούτου οὕτως ἔχοντος ἀναγκαίως ἔχειν ἄλλοθί που πρότερον ἡμῶν
92 εἶναι τὴν ψυχήν, πρὶν ἐν τῷ σώματι ἐνδεθῆναι; Ἐγὼ μέν, ἔφη ὁ Κέβης, καὶ τότε θαυμαστῶς ὡς ἐπείσθην ὑπ' αὐτοῦ καὶ νῦν ἐμμένω ὡς οὐδενὶ λόγῳ. Καὶ μήν, ἔφη ὁ Σιμμίας, καὶ αὐτὸς οὕτως ἔχω, καὶ πάνυ ἂν θαυμάζοιμι εἴ μοι περί γε τούτου ἄλλα ποτὲ ἔτι δόξειεν. Καὶ ὁ Σωκράτης Ἀλλ' ἀνάγκη σοι, ἔφη, ὦ ξένε Θηβαῖε, ἄλλα δόξαι, ἐάν περ μείνῃ ἥδε ἡ οἴησις, τὸ ἁρμονίαν μὲν εἶναι ξύνθετον πρᾶγμα, ψυχὴν δὲ ἁρ-

mihi visus est concedere diuturniorem esse animam corpore; sed his addidit scire posse neminem, ne cum multa saepius consumpserit corpora, tandem quandoque postremum relinquens corpus ipsa quoque pereat, atque mors eiusmodi tantum sit interitus animae; corpus vero dissolvi continue consueverit. An non haec sunt, o Simmia et Cebes, quae nos oportet considerare? *Sim. et Ce.* Confitemur profecto. *So.* Sed nunquid omnia, quae dicta in superioribus fuerant, negatis? an quaedam negatis, sed conceditis alia? *Sim. et Ce.* Quaedam procul dubio. *So.* Quid igitur de eo, quod disciplinam diximus reminiscentiam esse; atque si ita se res habeat, necessario consequi, alicubi fuisse animam, priusquam corpore clauderetur? *Ce.* Mihi quidem istud dum diceres, mirifice placuit: atque nunc, si qua unquam in alia, in hac maxime sententia permaneo. *Sim.* Similiter ego quoque affectus sum; vehementerque admirarer, si mihi unquam hac de re aliter videretur. *So.* At vero necesse est, hospes Thebane, aliter tibi videri, si in hac opinione permaneris, harmoniam videlicet esse compositum quiddam; ani-

μονίαν τινὰ ἐκ τῶν κατὰ τὸ σῶμα ἐντεταμένων ξυγκεῖσθαι. οὐ γάρ που ἀποδέξει γε σαυτοῦ λέγοντος ὡς πρότερον ἦν ἁρμονία ξυγκειμένη, πρὶν ἐκεῖνα εἶναι ἐξ ὧν ἔδει αὐτὴν ξυντεθῆναι. ἢ ἀποδέξει; Οὐδαμῶς, ἔφη, ὦ Σώκρατες. Αἰσθάνει οὖν, ἦ δ' ὅς, ὅτι ταὐτά σοι ξυμβαίνει λέγειν, ὅταν φῂς μὲν εἶναι τὴν ψυχὴν πρὶν καὶ εἰς ἀνθρώπου εἶδός τε καὶ σῶμα ἀφικέσθαι, εἶναι δ' αὐτὴν ξυγκειμένην ἐκ τῶν οὐδέπω ὄντων; οὐ γὰρ δὴ ἁρμονία γέ σοι τοιοῦτόν ἐστιν, ᾧ ἀπεικάζεις, ἀλλὰ τὸ πρότερον καὶ ἡ λύρα καὶ αἱ χορδαὶ καὶ οἱ φθόγγοι ἔτι ἀνάρμοστοι ὄντες γίγνονται, τελευταῖον δὲ πάντων ξυνίσταται ἡ ἁρμονία καὶ πρῶτον ἀπόλλυται. οὕτος αὖν σοι ὁ λόγος ἐκείνῳ πῶς ξυνᾴσεται; Οὐδαμῶς, ἔφη ὁ Σιμμίας. Καὶ μήν, ἦ δ' ὅς, πρέπει γε, εἴ πέρ τῳ ἄλλῳ λόγῳ, ξυνῳδῷ εἶναι καὶ τῷ περὶ ἁρμονίας. Πρέπει γάρ, ἔφη ὁ Σιμμίας. Οὕτος τοίνυν, ἔφη, σοὶ οὐ ξυνῳδός, ἀλλ' ὅρα· πότερον αἱρεῖ τῶν λόγων, τὴν μάθησιν ἀνάμνησιν εἶναι ἢ ψυχὴν ἁρμονίαν; Πολὺ μᾶλλον, ἔφη, ἐκεῖνον, ὦ Σώκρατες. ὅδε μὲν γάρ μοι γέγονεν ἄνευ ἀποδείξεως μετὰ εἰκότος τινὸς καὶ εὐπρεπείας, ὅθεν καὶ τοῖς πολλοῖς δοκεῖ ἀνθρώποις· ἐγὼ δὲ

mam vero harmoniam quandam ex his, quae per corpus intensa sunt, constitutam. Nunquam enim admittes consonantiam compositam prius esse quam illa, ex quibus componi consonantiam oportebat. nunquid admittes? *Sim.* Nullo, Socrates, modo. *So.* Animadvertis igitur cogi te id confiteri, quando dicis, animam quidem esse prius quam in humanam speciem corpusque deveniret, atque esse corporis consonantiam, videlicet ex his, quae nondum sunt, eam constitui. Neque enim talis tibi est consonantia, cui tu simile esse dicis. Immo vero prius est ipsa lyra et fides et soni adhuc inconcinni: tandem vero ex omnibus componitur consonantia omnium postrema, primaque disperditur. Hic itaque sermo quonam pacto tuo illi concinet? *Sim.* Nullo modo. *So.* At vero sicubi verba concinnitatem servare debent, praecipue decet esse concinna, ubi de concentu tractatur. *Sim.* Decet nimirum. *So.* Hic igitur sermo tibi dissonat. sed vide, utrum ex his duobus eligas, disciplinamne reminiscentiam esse, an potius animam esse concentum? *Sim.* Primum equidem potius eligo, id namque alterum absque demonstratione admisi ex verisimili quadam convenientia; quemadmodum videtur et multis. Ego autem ea verba, quae per id

ψυχῶν πολλὰ σώματα κατατρίβειν, ἄλλως τε καὶ εἰ πολλὰ ἔτη βιώη· εἰ γὰρ ῥέοι τὸ σῶμα καὶ ἀπολλύοιτο ἔτι ζῶντος τοῦ ἀνθρώπου, ἀλλ' ἡ ψυχὴ ἀεὶ τὸ κατατριβόμενον ἀνυφαίνοι, ἀναγκαῖον μέντ' ἂν εἴη, ὁπότε ἀπολλύοιτο ἡ ψυχή, τὸ τελευταῖον ὑφασμα τυγεῖν αὐτὴν ἔχουσαν καὶ τούτου μόνου προτέραν ἀπόλλυσθαι· ἀπολομένης δὲ τῆς ψυχῆς τότ' ἤδη τὴν φύσιν τῆς ἀσθενείας ἐπιδεικνύοι τὸ σῶμα καὶ ταχὺ σαπὲν διοίχοιτο. ὥστε τούτῳ τῷ λόγῳ οὔπω ἄξιον πιστεύσαντα θαῤῥεῖν, ὡς ἐπειδὰν ἀποθάνωμεν, ἔτι που ἡμῶν ἡ ψυχὴ ἔσται. 10

88 εἰ γάρ τις καὶ πλέον ἔτι τῷ λέγοντι ἢ ἃ σὺ λέγεις ξυγχωρήσειε, δοὺς αὐτῷ μὴ μόνον ἐν τῷ πρὶν καὶ γενέσθαι ἡμᾶς χρόνῳ εἶναι ἡμῶν τὴν ψυχήν, ἀλλὰ μηδὲν κωλύειν, καὶ ἐπειδὰν ἀποθάνωμεν, ἐνίων ἔτι εἶναι καὶ ἔσεσθαι καὶ πολλάκις γενήσεσθαι καὶ ἀποθανεῖσθαι αὖθις· οὕτω γὰρ αὐτὸ φύσει ἰσχυρὸν εἶναι, ὥστε πολλάκις γιγνομένην ψυχὴν ἀντέχειν· δοὺς δὲ ταῦτα ἐκεῖνο μηκέτι συγχωροίη, μὴ οὐ πονεῖν αὐτὴν ἐν ταῖς πολλαῖς γενέσεσι καὶ τελευτῶσάν γε ἔν τινι τῶν θανάτων παντάπασιν ἀπόλλυσθαι· τοῦτον δὲ τὸν θάνατον καὶ ταύτην τὴν διάλυσιν τοῦ σώματος, ἣ τῇ ψυχῇ φέρει ὄλεθρον, μηδένα φαίη εἰδέναι· ἀδύνατον γὰρ 20

animorum plura consumere corpora, praesertim si multos vivant annos. Si enim fluat corpus homineque etiam vivente dissolvatur, anima vero, quod consumitur, retexat continue; necessarium tamen erit, quando perierit anima, tunc ultimam habere vestem, eaque sola priorem perire. Cum vero perierit anima, tunc demum imbecillitatem naturae suae corpus ostendere, cito putrescens atque evanescens: ut hac ratione nondum confidere valeamus, tunc etiam cum decesserimus, animam nostram superfore. Nam si quis dicenti etiam plura, quam quae tu dicis, concesserit, nec solum ante ortum nostrum animam exstitisse, verum etiam nihil prohibere, etiam post obitum quodrundam remanere; saepiusque accedere ac decedere fateatur: (adeo enim naturam animae validam esse, ut saepius corpori indita se corpusque servet:) his tamen concessis, nondum illud tibi daret, non defatigari in multis generationibus animam; sed tandem aliqua ex pluribus morte diceret omnino deleri. quin etiam adderet, neminem mortem illam dissolutionemque corporis, quae animae quoque interitum infert, posse discernere: esse

εἶναι ὁτῳοῦν αἰσθάνεσθαι ἡμῶν· εἰ δὲ τοῦτο οὕτως ἔχει, οὐδενὶ προσήκει θάνατον θαρροῦντι μὴ οὐκ ἀνοήτως θαρρεῖν, ὃς ἂν μὴ ἔχῃ ἀποδεῖξαι ὅτι ἔστι ψυχὴ παντάπασιν ἀθάνατόν τε καὶ ἀνώλεθρον· εἰ δὲ μή, ἀνάγκην εἶναι ἀεὶ τὸν μέλλοντα ἀποθνεῖσθαι δεδιέναι ὑπὲρ τῆς αὐτοῦ ψυχῆς, μὴ ἐν τῇ νῦν τοῦ σώματος διαζεύξει παντάπασιν ἀπόληται.

Ἁπάντες οὖν ἀκούσαντες εἰπόντων αὐτῶν ἀηδῶς διετέθημεν, ὡς ὕστερον ἐλέγομεν πρὸς ἀλλήλους, ὅτι ὑπὸ τοῦ ἔμπροσθεν λόγου σφόδρα πεπεισμένους ἡμᾶς πάλιν ἐδόκουν ἀναταράξαι καὶ εἰς ἀπιστίαν καταβαλεῖν οὐ μόνον τοῖς προειρημένοις λόγοις, ἀλλὰ καὶ εἰς τὰ ὕστερον μέλλοντα ῥηθήσεσθαι, μὴ οὐδενὸς ἄξιοι εἶμεν κριταὶ ἢ καὶ τὰ πράγματα αὐτὰ ἄπιστα εἴη.

EX. Νὴ τοὺς θεούς, ὦ Φαίδων, συγγνώμην γε ἔχω ὑμῖν. καὶ γὰρ αὐτόν με νῦν ἀκούσαντά σου τοιοῦτόν τι λέγειν πρὸς ἐμαυτὸν ἐπέρχεται, Τίνι οὖν ἔτι πιστεύσομεν λόγῳ; ὡς γὰρ σφόδρα πιθανὸς ὤν, ὃν ὁ Σωκράτης ἔλεγε λόγον, νῦν εἰς ἀπιστίαν καταπέπτωκε. Θαυμαστῶς γάρ μου ὁ λόγος οὗτος ἀντιλαμβάνεται καὶ νῦν καὶ ἀεί, τὸ ἁρμονίαν τινὰ ἡμῶν εἶναι τὴν ψυχήν,

enim impossibile, ut quisquam nostrum id sentiat. Quod quidem si ita se habeat, nemo non stulte in morte confidit, nisi demonstrare possit animam omnino immortalem atque indissolubilem esse. alioquin consentaneum est necessarium esse, ut, qui moriturus est, animae metuat suae, semperque sit sollicitus, ne in ea, quae proxime imminet, corporis disiunctione prorsus intereat. Omnes igitur, cum haec audivissemus, conturbati sumus, ut postea invicem aperuimus, quod cum superiori disputatione nobis fuisset magnopere persuasum, viderentur nos ab eo statu in praesentia deturbasse, atque eo iam deiecisse, ut nedum rationibus iam adductis, sed et dicendis insuper fidem ullam adhiberemus; verentes, ne vel nos nequaquam boni essemus iudices, vel res ipsae fide essent indignae. *Ech.* Veniam equidem per Deos do vobis, o Phaedon. nam mihi quidem, modo te audienti, tale quiddam veniebat in mentem: Cuinam ulterius rationi credemus? quippe cum ratio illa Socratis, usque adeo paulo ante probabilis, iam fidem amiserit. mirum est enim, quantum apud me contra possit ratio illa semperque potuerit, quae animam nostram harmoniam quandam esse pro-

καὶ ὡς περ ὑπέμνησέ με ὀρθεὶς ὅτι καὶ αὐτῷ μοι τα
τα προὐδέδοκτο. καὶ πάνυ δέομαι πάλιν, ὥς περ ἐξ α
χῆς, ἄλλου τινὸς λόγου, ὅς με πείσει ὡς τοῦ ἀποθ
νόντος οὐ συναποθνήσκει ἡ ψυχή. λέγε οὖν πρὸς Δι
πῃ ὁ Σωκράτης μετῆλθε τὸν λόγον; καὶ πότερον κ
κεῖνος, ὥς περ ὑμᾶς φῄς, ἔνδηλός τι ἐγένετο ἀχθ
μενος ἢ οὔ, ἀλλὰ πράως ἐβοήθει τῷ λόγῳ; καὶ ἱκαν
ἐβοήθησεν ἢ ἐνδεῶς; πάντα ἡμῖν διελθὲ ὡς δύνασ
ἀκριβέστατα.

ΦΑΙΔ. Καὶ μήν, ὦ Ἐχέκρατες, πολλάκις θαυμ
σας Σωκράτη οὐ πώποτε μᾶλλον ἠγάσθην ἢ τότε π
89 ραγενόμενος. τὸ μὲν οὖν ἔχειν ὅ τι λέγοι ἐκεῖνος ἴσ
οὐδὲν ἄτοπον· ἀλλ' ἔγωγε μάλιστα ἐθαύμασα αὐτ
πρῶτον μὲν τοῦτο, ὡς ἡδέως καὶ εὐμενῶς καὶ ἀγαμ
νως τῶν νεανίσκων τὸν λόγον ἀπεδέξατο, ἔπειτα ἡμ
ὡς ὀξέως ἤσθετο ὅ πεπόνθειμεν ὑπὸ τῶν λόγων, ἔπε
τα ὡς εὖ ἡμᾶς ἰάσατο καὶ ὡς περ πεφευγότας καὶ ἡ
τημένους ἀνεκαλέσατο καὶ προὔτρεψε πρὸς τὸ παρέπ
σθαί τε καὶ ξυσκοπεῖν τὸν λόγον.

ΕΧ. Πῶς δή;

bat; et nunc quidem audita me subito in memoriam revocav
quantum mihi quoque alias persuaserit. Quo efficitur, ut a
quadam ratione iterum, tanquam ab initio, prorsus indigea
quae mihi persuadeat animam cum corpore non interire. I
ergo, per Iovem precor, quo pacto disputationem peregerit S
crates, et utrum ipse quoque, quemadmodum de vobis ipse f
teris, graviter id ferre visus fuerit; an contra benigne sus
defenderit rationem: praeterea utrum satis, necne, eam tuta
fuerit. haec nobis, quam potes diligentissime, refer omnia. *Ph.*
Equidem, o Echecrates, saepe admiratus Socratem, nunqua
maiori cum voluptate, quam tunc praesens, sum admirat
meque affuisse ibi mirifice gaudeo. Habuisse quidem illu
quod obiectionibus responderet, forte non est mirandum. s
haec in eo potissimum sum admiratus, prime quidem qu
iucunde, benigne, amice adolescentium verba recepit: dei
de quam sagaciter sensit nos illorum rationibus fuisse co
motos: demum quam opportune nobis adhibuit medicina
et quasi fugientes atque victos revocavit nos, convertitque
prosequendum atque considerandum. *Ech.* Quonam pact

ΦΑΙΔ. Ἐγὼ ἐρῶ. ἔτυχον γὰρ ἐν δεξιᾷ αὐτοῦ καθήμενος παρὰ τὴν κλίνην ἐπὶ χαμαιζήλου τινός, ὁ δὲ ἐπὶ πολὺ ὑψηλοτέρου ἢ ἐγώ. καταψήσας οὖν μου τὴν κεφαλὴν καὶ ξυμπιέσας τὰς ἐπὶ τῷ αὐχένι τρίχας — εἰώθει γάρ, ὁπότε τύχοι, παίζειν μου εἰς τὰς τρίχας — Ἄριον δή, ἔφη, ἴσως, ὦ Φαίδων, τὰς καλὰς ταύτας κόμας ἀποκερεῖ. Ἔοικεν, ἦν δ' ἐγώ, ὦ Σώκρατες. Οὔκ, ἔν γε ἐμοὶ πείθῃ. Ἀλλὰ τί; ἦν δ' ἐγώ. Τήμερον, ἔφη, κἀγὼ τὰς ἐμὰς καὶ σὺ ταύτας, ἐάν πέρ γε ἡμῖν ὁ λόγος τελευτήσῃ καὶ μὴ δυνώμεθα αὐτὸν ἀναβιώσασθαι. καὶ ἔγωγ' ἄν εἰ σὺ εἴην καὶ με διαφύγοι ὁ λόγος, ἤνεγκον ἂν ποιησαίμην ὡς περ Ἀργεῖοι, μὴ πρότερον κομήσειν πρὶν ἂν νικήσω ἀναμαχόμενος τὸν Σιμμίου τε καὶ Κέβητος λόγον. Ἀλλ', ἦν δ' ἐγώ, πρὸς Διὸς οὐδ' ὁ Ἡρακλῆς λέγεται οἷός τε εἶναι. Ἀλλὰ καὶ ἐμέ, ἔφη, τὸν Ἰόλεων παρακάλει, ἕως ἔτι φῶς ἐστίν. Παρακαλῶ τοίνυν, ἔφην, οὐχ ὡς Ἡρακλῆς, ἀλλ' ὡς Ἰόλεως τὸν Ἡρακλῆ. Οὐδὲν διοίσει, ἔφη. ἀλλὰ πρῶτον εὐλαβηθῶμέν τι πάθος μὴ πάθωμεν. Τὸ ποῖον; ἦν δ' ἐγώ. Μὴ γενώμεθα, ἦ δ' ὅς, μισολόγοι, ὥς περ οἱ μισάνθρωποι γιγνόμενοι, ὡς οὐκ ἔστιν, ἔφη, ὅ τι

Phae. Dicam equidem. Sedebam forte ad dexteram eius in subsellio quodam humili, iuxta lectulum. ipse vero Socrates sedebat longe superior. Attrectans igitur caput meum comprimensque crines super cervicem: (consueverat enim nonnunquam, ubi contigisset, in meos crines ludere) Cras forsitan, inquit, o Phaedon, istas pulchras incides comas. *Phae.* Sic arbitror, o Socrates. *So.* Non certe, si mihi assensus fueris. *Phae.* Quid ergo? *So.* Immo hodie et ego meas et tu tuas, si nobis ratio intereat, neque eam ipsi suscitare possimus. Atque si ego tu essem ac me fugeret ratio, more Argivorum iurarem non prius comam nutriturum, quam vicissim Simmiam Cebetemque expugnavissem. *Phae.* At vero contra duos ne Hercules quidem dicitur sufficisse. *So.* At tu me Iolaum, dum lux est, advoca. *Phae.* Advoco equidem, sed non tanquam Hercules Iolaum, immo tanquam Iolaus Herculem. *So.* Nihil refert. in primis vero cavendum, ne id nobis accidat. *Phae.* Quidnam? *So.* Ne rationum evadamus osores, quemadmodum nonnulli hominum osores sunt. nullum enim maius quam hoc malum nobis posset

ἄν τις μεῖζον τούτου κακὸν πάθοι ἢ λόγους μισήσας. γίγνεται δὲ ἐκ τοῦ αὐτοῦ τρόπου μισολογία τε καὶ μισανθρωπία. ἥ τε γὰρ μισανθρωπία ἐνδύεται ἐκ τοῦ σφόδρα τινὶ πιστεῦσαι ἄνευ τέχνης, καὶ ἡγήσασθαι παντάπασί γε ἀληθῆ εἶναι καὶ ὑγιῆ καὶ πιστὸν τὸν ἄνθρωπον, ἔπειτα ὀλίγον ὕστερον εὑρεῖν τοῦτον πονηρόν τε καὶ ἄπιστον, καὶ αὖθις ἕτερον. καὶ ὅταν τοῦτο πολλάκις πάθῃ τις, καὶ ὑπὸ τούτων μάλιστα οὓς ἂν ἡγήσαιτο οἰκειοτάτους τε καὶ ἑταιροτάτους, τελευτῶν δὴ θαμὰ προσκρούων μισεῖ τε πάντας καὶ ἡγεῖται οὐδενὸς οὐδὲν ὑγιὲς εἶναι τὸ παράπαν. ἢ οὐκ ἤσθησαι οὕτω τοῦτο γιγνόμενον; *Πάνυ γε*, ἦν δ' ἐγώ. *Οὐκοῦν*, ἦ δ' ὅς, *αἰσχρόν*; καὶ δῆλον ὅτι ἄνευ τέχνης τῆς περὶ τἀνθρώπεια ὁ τοιοῦτος χρῆσθαι ἐπιχειρεῖ τοῖς ἀνθρώποις; εἰ γάρ που μετὰ τέχνης ἐχρῆτο, ὥς περ ἔχει, οὕτως ἂν ἡγήσατο, τοὺς μὲν χρηστοὺς καὶ πονηροὺς σφόδρα ὀλίγους εἶναι ἑκατέρους, τοὺς δὲ μεταξὺ πλείστους. *Πῶς λέγεις*; ἦν δ' ἐγώ. *Ὡς περ*, ἦ δ' ὅς, περὶ τῶν σφόδρα σμικρῶν καὶ μεγάλων· οἴει τι σπανιώτερον εἶναι ἢ σφόδρα μέγαν ἢ σφόδρα σμικρὸν ἐξευρεῖν ἄνθρωπον ἢ κύνα ἢ ἄλλο ὁτιοῦν; ἢ αὖ ταχὺν ἢ βραδύν, ἢ καλὸν ἢ αἰσχρόν, ἢ λευκὸν ἢ μέλανα; ἢ

accidere; videlicet si rationes odio habuerimus. Fit autem eodem pacto odium et adversus rationes et adversus homines. Odium quidem contra homines tunc maxime subit, quando alicui nimium credimus absque arte, putamusque ipsum omnino verum et sincerum fidumque virum esse, deinde vero mox pravum infidumque deprehendimus, rursusque alium eodem pacto. Itaque quando quis saepius offensus ita decipitur, praesertim ab iis, quos praecipue familiarissimos amicissimosque existimabat; odit tandem plurimum universos, putatque nihil omnino apud quenquam esse sincerum. an te latuit, id ita accidere consuevisse? *Phae.* Animadverti equidem. *So.* An non turpiter et absque humanarum rerum arte hic aggreditur hominibus uti? si enim ex arte uti studeret, cogitaret utique rem ipsam ita se, ut habet, habere, videlicet homines vehementer bonos aut malos perpaucos esse, medios vero plurimos. *Phae.* Quo id pacto dicis? *So.* Quemadmodum videlicet in rebus contingit valde aut parvis aut magnis. An tu arbitraris, quicquam esse rarius quam valde magnum aut valde parvum reperire hominem vel canem vel quodvis aliud? atque rursus celerrimum et tardissimum, pulcherrimum, turpissimum, albissimum, nigerrimum? an

οὐκ ἤσθησαι ὅτι πάντων τῶν τοιούτων τὰ μὲν ἄκρα τῶν ἐσχάτων σπάνια καὶ ὀλίγα, τὰ δὲ μεταξὺ ἄφθονα καὶ πολλά; *Πάνυ γε*, ἦν δ' ἐγώ. Οὐκοῦν οἴει, ἔφη, εἰ πονηρίας ἀγὼν προτεθείη, πάνυ ἂν ὀλίγους καὶ ἐνταῦθα τοὺς πρώτους φανῆναι; *Εἰκός γε*, ἦν δ' ἐγώ. *Εἰκὸς γάρ*, ἔφη· ἀλλὰ ταύτῃ μὲν οὐχ ὅμοιοι οἱ λόγοι τοῖς ἀνθρώποις εἰσίν, ἀλλὰ σοῦ νῦν δὴ προάγοντος ἐγὼ ἐφεσπόμην, ἀλλ' ἐκείνῃ ᾖ, ἐπειδάν τις πιστεύσῃ λόγῳ τινὶ ἀληθεῖ εἶναι ἄνευ τῆς περὶ τοὺς λόγους τέχνης, κἄπειτα ὀλίγον ὕστερον αὐτῷ δόξῃ ψευδὴς εἶναι, ἐνίοτε μὲν ὢν, ἐνίοτε δ' οὐκ ὤν, καὶ αὖθις ἕτερος καὶ ἕτερος· καὶ μάλιστα δὴ οἱ περὶ τοὺς ἀντιλογικοὺς λόγους διατρίψαντες οἶσθ' ὅτι τελευτῶντες οἴονται σοφώτατοι γεγονέναι καὶ κατανενοηκέναι μόνοι ὅτι οὔτε τῶν πραγμάτων οὐδενὸς οὐδὲν ὑγιὲς οὐδὲ βέβαιον οὔτε τῶν λόγων, ἀλλὰ πάντα τὰ ὄντα, ἀτεχνῶς ὥς περ ἐν Εὐρίπῳ, ἄνω καὶ κάτω στρέφεται καὶ χρόνον οὐδένα ἐν οὐδενὶ μένει. *Πάνυ μὲν οὖν*, ἔφην ἐγώ, ἀληθῆ λέγεις. Οὐκοῦν, ὦ Φαίδων, ἔφη, οἰκτρὸν ἂν εἴη τὸ πάθος, εἰ ὄντος δή τινος ἀληθοῦς καὶ βεβαίου λόγου καὶ δυνατοῦ καταναῆσαι, ἔπειτα διὰ τὸ παραγίγνεσθαι

ignoras in his omnibus extremorum summa rara quidem et pauca esse; media vero frequentia atque multa? *Phae.* Sic arbitror. *So.* Nonne igitur arbitraris, si improbitatis proponeretur certamen, admodum paucos in hoc genere summos inveniri? *Phae.* Consentaneum est. *So.* Consentaneum quidem. verum non hoc pacto similes rationes sunt atque homines: (sed te nunc ducentem prosecutus sum:) immo vero in hoc similitudo consistit, quando videlicet quis absque rationum arte crediderit rationem aliquam esse veram, sed paulo post appareat falsa: quae quidem aliquando talis est, aliquando minime, et rursus altera similiter atque altera. Praecipue vero illis id evenit, qui plurimum rationes contradictorias agitant. hos enim scis putare, tandem se sapientissimos evasisse, solosque animadvertisse neque in rebus neque in rationibus esse sanum aliquid aut firmum; sed omnia revera tanquam in Euripo sursum deorsumque iactari, nullumque tempus in aliquo permanere. *Phae.* Vere nimium loqueris. *So.* Nonne aegritudo haec, Phaedon, miserabilis esset, si cum ratio aliqua vera firmaque sit comprehendique valeat, postea tamen, auditis huiusmodi rationibus,

τοιούτοις τισὶ λόγοις τοῖς αὐτοῖς τοτὲ μὲν δοκοῦσιν ἀληθέσιν εἶναι, τοτὲ δὲ μή, μὴ ἑαυτόν τις αἰτιῶτο μηδὲ τὴν ἑαυτοῦ ἀτεχνίαν, ἀλλὰ τελευτῶν διὰ τὸ ἀλγεῖν ἄσμενος ἐπὶ τοὺς λόγους ἀφ' ἑαυτοῦ τὴν αἰτίαν ἀπώσαιτο, καὶ ἤδη τὸν λοιπὸν βίον μισῶν τε καὶ λοιδορῶν τοὺς λόγους διατελοῖ, τῶν δὲ ὄντων τῆς ἀληθείας τε καὶ ἐπιστήμης στερηθείη. Νὴ τὸν Δία, ἦν δ' ἐγώ, οἰκτρὸν δῆτα. Πρῶτον μὲν τοίνυν, ἔφη, τοῦτο εὐλαβηθῶμεν, καὶ μὴ παριῶμεν εἰς τὴν ψυχὴν ὡς τῶν λόγων κινδυνεύει οὐδὲν ὑγιὲς εἶναι, ἀλλὰ πολὺ μᾶλ- 10
λον ὅτι ἡμεῖς οὔπω ὑγιῶς ἔχομεν, ἀλλ' ἀνδριστέον καὶ προθυμητέον ὑγιῶς ἔχειν, σοὶ μὲν οὖν καὶ τοῖς ἄλλοις καὶ τοῦ ἔπειτα βίου παντὸς ἕνεκα, ἐμοὶ δὲ αὐτοῦ ἕνε-
91 κα τοῦ θανάτου, ὡς κινδυνεύω ἔγωγε ἐν τῷ παρόντι περὶ αὐτοῦ τούτου οὐ φιλοσόφως ἔχειν, ἀλλ' ὥς περ οἱ πάνυ ἀπαίδευτοι φιλονείκως. καὶ γὰρ ἐκεῖνοι ὅταν περί του ἀμφισβητήσωσιν, ὅπη μὲν ἔχει περὶ ὧν ἂν ὁ λόγος ᾖ οὐ φροντίζουσιν, ὅπως δὲ ἃ αὐτοὶ ἔθεντο ταῦτα δόξει τοῖς παροῦσι, τοῦτο προθυμοῦνται. καὶ ἐγώ μοι δοκῶ ἐν τῷ παρόντι τοσοῦτον μόνον ἐκείνων διοίσειν· 20
οὐ γὰρ ὅπως τοῖς παροῦσιν ἃ ἐγὼ λέγω δόξει ἀληθῆ

quae modo afferre vera, modo falsa videntur, aliquis hinc in ambiguitatem deductus, non seipsum, neque eius inertiam ob id accuset, sed tandem velut aeger libenter culpam omnem a seipso in ipsas transferat rationes, et in reliqua vita eas odio habeat atque vituperet, rerum iam ipsarum veritate scientiaque privatus. *Phae.* Per lovem miserabilis aegritudo. *So.* In primis igitur diligenter id caveamus, ne persuadeamus nobis nihil in rationibus esse sanum; sed multo magis, nondum esse nos sanos. Itaque totis viribus, ut sani efficiamur, est annitendum: tibi quidem et aliis totius reliquae vitae gratia, mihi vero gratia mortis: qui in periculo sum, ne in hoc ipso tempore non ut philosophum me geram, sed ut contentiosum atque pertinacem; quod quidam homines a disciplina alienissimi facere solent. Illi enim, ubi aliqua de re ambigitur, non ut res ipsa, qua de agitur, se habeat curant; sed ut, quae posuerunt ipsi, praesentibus videantur vera, obnixe contendunt. Atque ego mihi videor in hoc duntaxat in praesentia ab illis differre, quod non, ut praesentibus probem ea, quae dico, annitar, (nisi qua-

εἶναι προθυμήσομαι, εἰ μὴ εἴη πάρεργον, ἀλλ' ὅπως αὐτῷ ἐμοὶ ὅτι μάλιστα δόξει οὕτως ἔχειν. λογίζομαι γάρ, ὦ φίλε ἑταῖρε· καὶ θέασαι ὡς πλεονεκτικῶς· εἰ μὲν τυγχάνει ἀληθῆ ὄντα ἃ λέγω, καλῶς δὴ ἔχει τὸ πεισθῆναι· εἰ δὲ μηδέν ἐστι τελευτήσαντι, ἀλλ' οὖν τοῦτόν γε τὸν χρόνον αὐτὸν τὸν πρὸ τοῦ θανάτου ἧττον τοῖς παροῦσιν ἀηδὴς ἔσομαι ὀδυρόμενος. ἡ δὲ ἄγνοιά μοι αὕτη οὐ ξυνδιατελεῖ, κακὸν γὰρ ἂν ἦν, ἀλλ' ὀλίγον ὕστερον ἀπολεῖται. παρεσκευασμένος μὲν δή, ἔφη, ὦ Σιμμία τε καὶ Κέβης, οὕτωσὶ ἔρχομαι ἐπὶ τὸν λόγον. ὑμεῖς μέντοι, ἂν ἐμοὶ πείθησθε, σμικρὸν φροντίσαντες Σωκράτους, τῆς δὲ ἀληθείας πολὺ μᾶλλον, ἐὰν μέν τι ὑμῖν δοκῶ ἀληθὲς λέγειν, ξυνομολογήσατε, εἰ δὲ μή, παντὶ λόγῳ ἀντιτείνετε, εὐλαβούμενοι ὅπως μὴ ἐγὼ ὑπὸ προθυμίας ἅμα ἐμαυτόν τε καὶ ὑμᾶς ἐξαπατήσας, ὥς περ μέλιττα τὸ κέντρον ἐγκαταλιπὼν οἰχήσομαι.

Ἀλλ' ἰτέον, ἔφη. πρῶτον μέν με ὑπομνήσατε ἃ ἐλέγετε, ἐὰν μὴ φαίνωμαι μεμνημένος. Σιμμίας μὲν γάρ, ὡς ἐγῷμαι, ἀπιστεῖ τε καὶ φοβεῖται μὴ ἡ ψυχή, ὅμως καὶ θειότερον καὶ κάλλιον ὂν τοῦ σώματος, προαπολλύηται ἐν ἁρμονίας εἴδει οὖσα· Κέβης δέ μοι ἔδοξε

tenus forte contigerit,) sed ut mihi ipsi vera quam maxime videantur. Sic enim cogito, dulcis amice; et vide quanto cum lucro sit ratio mea. Si forte vera sunt, quae dico, operae pretium est ita credere: sin autem nihil superest post mortem, attamen hoc ipsum tempus ante obitum praesentibus minus ero molestus minusque deplorabo. Haec autem ignorantia minime perseverabit mecum, (malum id quidem esset,) sed paulo post delebitur. Sic equidem, o Simmia, paratus, et Cebes, revertor ad disputandum. Vos tamen, si mihi assentiamini, non Socrati cedite, sed veritati; si enim verum vobis loqui videbor. concedite: sin minus, omnino contradicite, diligenter caventes, ne ego dum annitor, meipsum simul vosque decipiam, et velut apes, aculeo in vobis relicto, abeam. Sed iam accedendum est. Primum quidem redigite in memoriam mihi, quae dicebatis, si minus meminisse vobis videbor. Simmias quidem, ut arbitror, diffidit ac metuit, ne anima, quamvis divinior pulchriorque corpore, prius tamen pro harmoniae natura intereat. Cebes autem

τοῦτο μὲν ἐμοὶ ξυγχωρεῖν, πολυχρονιώτερόν γε εἶναι ψυχὴν σώματος, ἀλλὰ τόδε ἄθηλον παντί, μὴ πολλὰ δὴ σώματα καὶ πολλάκις κατατρίψασα ἡ ψυχὴ τὸ τελευταῖον σῶμα καταλιποῦσα τῶν αὐτὴ ἀπολλύηται; καὶ ἥ αὐτὸ τοῦτο θάνατος, ψυχῆς ὄλεθρος, ἐπεὶ σῶμά γ' ἀεὶ ἀπολλύμενον οὐδὲν παύεται. ἆρα ἄλλ' ἤ ταῦτ' ἐστίν, ὦ Σιμμία τε καὶ Κέβης, ἃ δεῖ ἡμᾶς ἐπισκοπεῖσθαι; Ξυνωμολογείτην δὴ ταῦτ' εἶναι ἄμφω. Πότερον οὖν, ἔφη, πάντας τοὺς ἔμπροσθε λόγους οὐκ ἀποδέχεσθε, ἢ τοὺς μέν, τοὺς δ' οὔ; Τοὺς μέν, ἐφάτην, τοὺς δ' οὔ. Τί οὖν, ἦ δ' ὅς, περὶ ἐκείνου τοῦ λόγου λέγετε, ἐν ᾧ ἔφαμεν τὴν μάθησιν ἀνάμνησιν εἶναι, καὶ τούτου οὕτως ἔχοντος ἀναγκαίως ἔχειν ἄλλοθί που πρότερον ἡμῶν 92 εἶναι τὴν ψυχήν, πρὶν ἐν τῷ σώματι ἐνδεθῆναι; Ἐγὼ μέν, ἔφη ὁ Κέβης, καὶ τότε θαυμαστῶς ὡς ἐπείσθην ὑπ' αὐτοῦ καὶ νῦν ἐμμένω ὡς οὐδενὶ λόγῳ. Καὶ μήν, ἔφη ὁ Σιμμίας, καὶ αὐτὸς οὕτως ἔχω, καὶ πάνυ ἂν θαυμάζοιμι εἴ μοι περί γε τούτου ἄλλα ποτὲ ἔτι δόξειεν. Καὶ ὁ Σωκράτης Ἀλλ' ἀνάγκη σοι, ἔφη, ὦ ξένε Θηβαῖε, ἄλλα δόξαι, ἐάν περ μείνῃ ἥδε ἡ οἴησις, τὸ ἁρμονίαν μὲν εἶναι ξύνθετον πρᾶγμα, ψυχὴν δὲ ἁρ-

mihi visus est concedere diuturniorem esse animam corpore; sed his addidit scire posse neminem, ne cum multa saepius consumpserit corpora, tandem quandoque postremum relinquens corpus ipsa quoque pereat, atque mors eiusmodi tantum sit interitus animae; corpus vero dissolvi continue consueverit. An non haec sunt, o Simmia et Cebes, quae nos oportet considerare? *Sim. et Ce.* Confitemur profecto. *So.* Sed nunquid omnia, quae dicta in superioribus fuerant, negatis? an quaedam negatis, sed conceditis alia? *Sim. et Ce.* Quaedam procul dubio. *So.* Quid igitur de eo, quod disciplinam diximus reminiscentiam esse; atque si ita se res habeat, necessario consequi, alicubi fuisse animam, priusquam corpore clauderetur? *Ce.* Mihi quidem istud dum diceres, mirifice placuit: atque nunc, si qua unquam in alia, in hac maxime sententia permaneo. *Sim.* Similiter ego quoque affectus sum; vehementerque admirarer, si mihi unquam hac de re aliter videretur. *So.* At vero necesse est, hospes Thebane, aliter tibi videri, si in hac opinione permanseris, harmoniam videlicet esse compositum quiddam; ani-

μονίαν τινὰ ἐκ τῶν κατὰ τὸ σῶμα ἐντεταμένων ξυγκεῖσθαι. οὐ γάρ που ἀποδέξει γε σαυτοῦ λέγοντος ὡς πρότερον ἦν ἁρμονία ξυγκειμένη, πρὶν ἐκεῖνα εἶναι ἐξ ὧν ἔδει αὐτὴν ξυντεθῆναι. ἢ ἀποδέξει; Οὐδαμῶς, ἔφη, ὦ Σώκρατες. Αἰσθάνει οὖν, ἦ δ' ὅς, ὅτι ταὐτά σοι ξυμβαίνει λέγειν, ὅταν φῇς μὲν εἶναι τὴν ψυχὴν πρὶν καὶ εἰς ἀνθρώπου εἶδός τε καὶ σῶμα ἀφικέσθαι, εἶναι δ' αὐτὴν ξυγκειμένην ἐκ τῶν οὐδέπω ὄντων; οὐ γὰρ δὴ ἁρμονία γέ σοι τοιοῦτόν ἐστιν, ᾧ ἀπεικάζεις, ἀλλὰ πρότερον καὶ ἡ λύρα καὶ αἱ χορδαὶ καὶ οἱ φθόγγοι ἔτι ἀνάρμοστοι ὄντες γίγνονται, τελευταῖον δὲ πάντων ξυνίσταται ἡ ἁρμονία καὶ πρῶτον ἀπόλλυται. οὗτος οὖν σοι ὁ λόγος ἐκείνῳ πῶς ξυνᾴσεται; Οὐδαμῶς, ἔφη ὁ Σιμμίας. Καὶ μήν, ἦ δ' ὅς, πρέπει γε, εἴ πέρ τῳ ἄλλῳ λόγῳ, ξυνῳδῷ εἶναι καὶ τῷ περὶ ἁρμονίας. Πρέπει γάρ, ἔφη ὁ Σιμμίας. Οὗτος τοίνυν, ἔφη, σοὶ οὐ ξυνῳδός, ἀλλ' ὅρα· πότερον αἱρεῖ τῶν λόγων, τὴν μάθησιν ἀνάμνησιν εἶναι ἢ ψυχὴν ἁρμονίαν; Πολὺ μᾶλλον, ἔφη, ἐκεῖνον, ὦ Σώκρατες. ὅδε μὲν γάρ μοι γέγονεν ἄνευ ἀποδείξεως μετὰ εἰκότος τινὸς καὶ εὐπρεπείας, ὅθεν καὶ τοῖς πολλοῖς δοκεῖ ἀνθρώποις· ἐγὼ δὲ

mam vero harmoniam quandam ex his, quae per corpus intensa sunt, constitutam. Nunquam enim admittes consonantiam compositam prius esse quam illa, ex quibus componi consonantiam oportebat. nunquid admittes? *Sim.* Nullo, Socrates, modo. *So.* Animadvertis igitur cogi te id confiteri, quando dicis, animam quidem esse prius quam in humanam speciem corpusque deveniret, atque esse corporis consonantiam, videlicet ex his, quae nondum sunt, eam constitui. Neque enim talis tibi est consonantia, cui tu simile esse dicis. Immo vero prius est ipsa lyra et fides et soni adhuc inconcinni: tandem vero ex omnibus componitur consonantia omnium postrema, primaque disperditur. Hic itaque sermo quonam pacto tuo illi concinet? *Sim.* Nullo modo. *So.* At vero sicubi verba concinnitatem servare debent, praecipue decet esse concinna, ubi de concentu tractatur. *Sim.* Decet nimirum. *So.* Hic igitur sermo tibi dissonat. sed vide, utrum ex his duobus eligas, disciplinamne reminiscentiam esse, an potius animam esse concentum? *Sim.* Primum equidem potius eligo, id namque alterum absque demonstratione admisi ex verisimili quadam convenientia; quemadmodum videtur et multis. Ego autem ea verba, quae per id

τοῖς διὰ τῶν εἰκότων τὰς ἀποδείξεις ποιουμένοις λόγοις ξύνοιδα οὖσιν ἀλαζόσι, καὶ ἂν τις αὐτοὺς μὴ φυλάττηται, εὖ μάλα ἐξαπατῶσι, καὶ ἐν γεωμετρίᾳ καὶ ἐν τοῖς ἄλλοις ἅπασιν. ὁ δὲ περὶ τῆς ἀναμνήσεως καὶ μαθήσεως λόγος δι' ὑποθέσεως ἀξίας ἀποδέξασθαι εἴρηται. ἐρρήθη γάρ που οὕτως ἡμῶν εἶναι ἡ ψυχὴ καὶ πρὶν εἰς σῶμα ἀφικέσθαι, ὡς περ αὐτῆς ἔστιν ἡ οὐσία ἔχουσα τὴν ἐπωνυμίαν τὴν τοῦ ὃ ἔστιν. ἐγὼ δὲ ταύτην, ὡς ἐμαυτὸν πείθω, ἱκανῶς τε καὶ ὀρθῶς ἀποδέδεγμαι. ἀνάγκη οὖν μοι, ὡς ἔοικε, διὰ ταῦτα μήτε ἐμαυτοῦ μήτε ἄλλου ἀποδέχεσθαι λέγοντος ὡς ψυχὴ ἐστιν ἁρμονία. Τί δαί, ἦ δ' ὅς, ὦ Σιμμία, τῇδε; δοκεῖ σοι ἁρμονίᾳ ἢ ἄλλῃ τινὶ συνθέσει προσήκειν ἄλλως πως ἔχειν ἢ ὡς ἂν ἐκεῖνα ἔχῃ ἐξ ὧν ἂν ξυγκίηται; Οὐδαμῶς. Οὐδὲ μὴν ποιεῖν τε, ὡς ἐγῷμαι, οὐδέ τι πάσχειν ἄλλο παρ' ἃ ἂν ἐκεῖνα ἢ ποιῇ ἢ πάσχῃ. Ξυνέφη. Οὐκ ἄρα ἡγεῖσθαί γε προσήκει ἁρμονίαν τούτων ἐξ ὧν ἂν ξυντεθῇ, ἀλλ' ἕπεσθαι. Ξυνεδόκει. Πολλοῦ ἄρα δεῖ ἐναντία γε ἁρμονίαν κινηθῆναι ἢ φθέγξασθαι ἤ τι ἄλλο ἐναντιωθῆναι τοῖς αὑτῆς μέρεσιν. Πολλοῦ μέν- 20
τοι, ἔφη. Τί δαί; οὐχ οὕτως ἁρμονία πέφυκεν εἶναι

quod convenit demonstrationes faciunt, semper inania iudicavi: ac nisi quis caveat, valde decipiunt, et in geometria et in ceteris omnibus. Ratio vero de reminiscentia atque disciplina fundamento innititur fide digno. Dictum est enim, animam nostram ita esse alicubi, prius etiam quam laberetur in corpus, ut illa ipsius essentia habens ipsius, quod est, cognomentum. Ego vero hanc, ut mihimet persuadeo, sufficienter recteque admisi. propteresque neque mihi neque aliis animam appellantibus harmoniam assentiri possum. *So.* Quid vero, Simmia? Videturne tibi vel consonantiae vel alteri cuiquam compositioni congruere, ut aliter se habeat quam illa ex quibus conflatur? *Sim.* Nullo modo. *So.* Neque etiam, ut aliud quicquam, ut arbitror, patiatur aut agat, quam illa vel agant vel patiantur. *Sim.* Assentior. *So.* Non igitur convenit, consonantiam ea ducere, ex quibus composita est, sed sequi. *Sim.* Opinor ita. *So.* Quare permultum abest, ut harmonia in contrarium moveatur aut sonet, aut quicquam aliud edat partibus suis adversum. *Sim.* Permultum procul dubio. *So.* Quid vero consonantia? nonne

ἑκάστη ἁρμονία, ὡς ἂν ἁρμοσθῇ; Οὐ μανθάνω, ἔφη. Ἡ οὐχί, ἦ δ' ὅς, ἐὰν μὲν μᾶλλον ἁρμοσθῇ καὶ ἐπὶ πλέον, εἴ περ ἐνδέχεται τοῦτο γίγνεσθαι, μᾶλλόν τε ἂν ἁρμονία εἴη καὶ πλείων, εἰ δ' ἧττόν τε καὶ ἐπ' ἔλαττον, ἧττόν τε καὶ ἐλάττων; Πάνυ γε. Ἡ οὖν ἔστι τοῦτο περὶ ψυχήν, ὥστε καὶ κατὰ τὸ σμικρότατον [μᾶλλον] ἑτέραν ἑτέρας * ψυχὴν ψυχῆς ἐπὶ πλέον καὶ μᾶλλον ἢ ἐπ' ἔλαττον καὶ ἧττον αὐτὸ τοῦτο εἶναι, ψυχήν; Οὐδ' ὁπωστιοῦν, ἔφη. Φέρε δή, ἔφη, πρὸς Διός· λέγεται ψυχὴ ἡ μὲν νοῦν τε ἔχειν καὶ ἀρετὴν καὶ εἶναι ἀγαθή, ἡ δὲ ἄνοιάν τε καὶ μοχθηρίαν καὶ εἶναι κακή; καὶ ταῦτα ἀληθῶς λέγεται; Ἀληθῶς μέντοι. Τῶν οὖν τιθεμένων ψυχὴν ἁρμονίαν εἶναι τί τις φήσει ταῦτα ὄντα εἶναι ἐν ταῖς ψυχαῖς, τήν τε ἀρετὴν καὶ τὴν κακίαν; πότερον ἁρμονίαν αὖ τιν' ἄλλην καὶ ἀναρμοστίαν; καὶ τὴν μὲν ἡρμόσθαι, τὴν ἀγαθήν, καὶ ἔχειν ἐν αὑτῇ ἁρμονίᾳ οὖσῃ ἄλλην ἁρμονίαν, τὴν δὲ ἀνάρμοστον αὐτήν τε εἶναι καὶ οὐκ ἔχειν ἐν αὑτῇ ἄλλην; Οὐκ ἔχω ἔγωγε, ἔφη ὁ Σιμμίας, εἰπεῖν· δῆλον δὲ ὅτι τοιαῦτ' ἄττ' ἂν λέγοι ὁ ἐκεῖνο ὑποθέμενος. Ἀλλὰ προωμολόγηται, ἔφη, μηδὲν μᾶλλον μηδ' ἧττον ἑτέραν ἑτέ-

eatenus pro natura sua consonantia est, quatenus temperatur? *Sim.* Haud satis intelligo. *So.* Nonne si magis plusque contemperetur, si modo id admittit, magis plusque consonantia est? sin vero minus atque perpaucum, minus in paucumque similiter? *Sim.* Omnino. *So.* Nunquid de anima id dici potest, ut vel in minima quadam re alia anima hoc ipsum, quod est anima, vel magis vel plus aut contra sit quam alia? *Sim.* Minime. *So.* Dic, age, per Iovem precor, num animam dicimus aliam quidem habere mentem virtutemque, atque esse bonam; aliam vero dementiam et pravitatem, malamque esse: haecne, inquam, vere dicuntur? *Sim.* Vere quidem. *So.* Eorum ergo, qui animam esse asserunt harmoniam, quis quidnam dicet esse animabus? haec scilicet, vitium et virtutem? an aliam quandam consonantiam atque dissonantiam? et bonam quidem esse consonantem; et cum ipsa consonantia sit, alteram in se consonantiam possidere: malam vero dissonantem et ipsam esse nec aliam in se habere? *Sim.* Quid respondeam, non habeo; constat tamen eum, qui animam esse consonantiam posuisset, talia quaedam responsurum. *So.* At vero iam conceisum est, nihilo

ρας ψυχὴν ψυχῆς εἶναι. τοῦτο δ' ἔστι τὸ ὁμολόγημα, μηδὲν μᾶλλον μηδ' ἐπὶ πλέον μηδὲ ἧττον μηδ' ἐπ' ἔλαττον ἑτέραν ἑτέρας ἁρμονίαν ἁρμονίας εἶναι. ἢ γάρ; *Πάνυ γε.* Τὴν δέ γε μηδὲν μᾶλλον μηδὲ ἧττον ἁρμονίαν οὖσαν μηδὲ μᾶλλον μηδὲ ἧττον ἡρμόσθαι. ἔστιν οὕτως; *Ἔστιν.* Ἡ δὲ μήτε μᾶλλον μήθ' ἧττον ἡρμοσμένη ἔστιν ὅ τι πλέον ἢ ἔλαττον ἁρμονίας μετέχει, ἢ τὸ ἴσον; Τὸ ἴσον. Οὐκοῦν ψυχὴ ἐπειδὴ οὐδὲν μᾶλλον οὐδὲ ἧττον ἄλλη ἄλλης αὐτὸ τοῦτο ψυχή ἐστιν, οὐδὲν δὴ μᾶλλον οὐδὲ ἧττον ἥρμοσται; Οὕτως. Τοῦτο δέ γε πεπονθυῖα οὐδὲν πλέον ἀναρμοστίας οὐδὲ ἁρμονίας μετέχοι ἄν; Οὐ γὰρ οὖν. Τοῦτο δ' αὖ πεπονθυῖα ἆρ' ἄν τι πλέον κακίας ἢ ἀρετῆς μετέχοι ἑτέρα ἑτέρας, εἴ περ ἡ μὲν κακία ἀναρμοστία, ἡ δὲ ἀρετὴ ἁρμονία εἴη; Οὐδὲν πλέον. Μᾶλλον δέ γέ που, ὦ Σιμμία, κατὰ τὸν ὀρθὸν λόγον κακίας οὐδεμία ψυχὴ μεθέξει, εἴ περ ἁρμονία ἐστίν. ἁρμονία γὰρ δή που παντελῶς αὐτὸ τοῦτο οὖσα, ἁρμονία, ἀναρμοστίας οὔ ποτ' ἂν μετάσχοι. Οὐ μέντοι. Οὐδέ γε δή που ψυχή, οὖσα παντελῶς ψυχή, κακίας. Πῶς γὰρ ἔκ γε τῶν προειρημένων;

magis aut minus aliam alia animam esse. eiusmodi vero concessio est, neque magis neque plus neque minus, neque sub paucioribus gradibus aliam alia consonantiam esse. nonne? *Sim.* Prorsus. *So.* Eam vero, quae neque magis neque minus consonantia est, nimirum neque magis neque minus esse contemperatam. Est ita? *Sim.* Est. *So.* Quae vero neque magis neque minus temperata est, potestne pluribus paucioribusve gradibus particeps consonantiae esse? an potius aeque? *Sim.* Aeque potius. *So.* Quapropter anima, si quidem neque magis neque minus alia quam alia secundum animae naturam anima est, consequenter neque magis neque minus est temperata. *Sim.* Est, ut dicis. *So.* Cum vero sic affecta sit, nihilo magis consonantiae est vel dissonantiae particeps. *Sim.* Nihilo magis. *So.* Praeterea cum ita comparata sit, num plus aliquid pravitatis vel virtutis alia quam alia possidet? si quidem pravitas dissonantia est, virtus vero consonantia. *Sim.* Certe plus nihil. *So.* Quinimmo secundum rectam, Simmia, rationem nulla usquam anima pravitate erit affecta, si fuerit consonantia: quando quidem consonantia vera secundum id, quod consonantia est, nunquam fit dissonantiae particeps. *Sim.* Nunquam certe. *So.* Neque igitur anima, quae omnino sit anima, pravitate inficietur. *Sim.* Quo enim

Ἐκ τούτου ἄρα τοῦ λόγου ἡμῖν πᾶσαι ψυχαὶ πάντων ζώων ὁμοίως ἀγαθαὶ ἔσονται, εἴ περ ὁμοίως ψυχαὶ πεφύκασιν αὐτὸ τοῦτο, ψυχαί, εἶναι; Ἔμοιγε δοκεῖ, ἔφη, ὦ Σώκρατες. Ἦ καὶ καλῶς δοκεῖ, ἦ δ' ὅς, οὕτω λέγεσθαι, καὶ πάσχειν ἂν ταῦτα ὁ λόγος, εἰ ὀρθὴ ἡ ὑπόθεσις ἦν, τὸ ψυχὴν ἁρμονίαν εἶναι; Οὐδ' ὁπωστιοῦν, ἔφη. Τί δαί; ἦ δ' ὅς· τῶν ἐν ἀνθρώπῳ πάντων ἔσθ' ὅ τι ἄλλο λέγεις ἄρχειν ἢ ψυχήν, ἄλλως τε καὶ φρόνιμον; Οὐκ ἔγωγε. Πότερον ξυγχωροῦσαν τοῖς κατὰ τὸ σῶμα πάθεσιν ἢ καὶ ἐναντιουμένην; λέγω δὲ τὸ τοιόνδε, οἷον καύματος ἐνόντος καὶ δίψους ἐπὶ τοὐναντίον ἕλκειν, τὸ μὴ πίνειν, καὶ πείνης ἐνούσης ἐπὶ τὸ μὴ ἐσθίειν· καὶ ἄλλα που μυρία ὁρῶμεν ἐναντιουμένην τὴν ψυχὴν τοῖς κατὰ τὸ σῶμα. ἦ οὔ; Πάνυ μὲν οὖν. Οὐκοῦν αὖ ὡμολογήσαμεν ἐν τοῖς πρόσθεν μή ποτ' ἂν αὐτήν, ἁρμονίαν γε οὖσαν, ἐναντία ᾄδειν οἷς ἐπιτείνοιτο καὶ χαλῷτο καὶ πάλλοιτο καὶ ἄλλο ὁτιοῦν πάθος πάσχοι ἐκεῖνα ἐξ ὧν τυγχάνοι οὖσα, ἀλλ' ἕπεσθαι ἐκείνοις καὶ οὔ ποτ' ἂν ἡγεμονεύειν; Ὡμολογήσαμεν, ἔφη· πῶς γὰρ οὔ; Τί οὖν; νῦν οὐ πᾶν τοὐναντίον ἡμῖν φαίνεται ἐργαζομένη, ἡγεμονεύουσά τε ἐκείνων πάντων

modo per ea quae dicta sunt, id fieri posset? *So.* Hac igitur ratione omnes animalium omnium animae bonae similiter erunt, si secundum animae ipsius naturam similiter animae sint. *Sim.* Mihi quidem, Socrates, ita videtur. *So.* Nunquid recte sic tibi dici videtur, atque haec sequi, si vera esset illa positio, animam consonantiam esse? *Sim.* Nullo modo. *So.* Quid vero? ex omnibus, quae in homine sunt, aliudne praeter animum asseris dominari, praecipue prudentem? *Sim.* Nihil aliud. *So.* Utrum corporis perturbationibus indulgentem, an potius repugnantem? Dico autem tale quiddam: veluti si sub aestu sitis angat, interea tamen adversatur animus, retrahitque in contrarium, ne bibat: similiterque si premat fames, ne edat: in aliisque quam plurimis animum videmus corporis affectibus repugnantem. nonne? *Sim.* Et quidem maxime. *So.* Nonne in superioribus confessi sumus animam, si consonantia fuerit, nunquam dissonaturam his, quibus intenditur vel remittitur vel evibratur, vel quodcunque aliud patiantur illa, ex quibus ipsa conflatur; sed secuturam illam, nunquam vero ducturam? *Sim.* Confessi sumus. *So.* Quid vero nunc? nonne contra omnino videtur agere, quatenus ea

ἐξ ὧν φήσει τις αὐτὴν εἶναι, καὶ ἐναντιουμένη ὀλίγου πάντα διὰ παντὸς τοῦ βίου καὶ δεσπόζουσα πάντας τρόπους, τὰ μὲν χαλεπώτερον κολάζουσα καὶ μετ' ἀλγηδόνων, τά τε κατὰ τὴν γυμναστικὴν καὶ τὴν ἰατρικήν, τὰ δὲ πραότερον, καὶ τὰ μὲν ἀπειλοῦσα, τὰ δὲ νουθετοῦσα ταῖς ἐπιθυμίαις καὶ ὀργαῖς καὶ φόβοις, ὡς ἄλλη οὖσα ἄλλῳ πράγματι διαλεγομένη; οἷόν που καὶ Ὅμηρος ἐν Ὀδυσσείᾳ πεποίηκεν, οὐ λέγει τὸν Ὀδυσσέα,

στῆθος δὲ πλήξας κραδίην ἠνίπαπε μύθῳ·
τέτλαθι δή, κραδίη· καὶ κύντερον ἄλλο ποτ' ἔτλης.

ἆρ' οἴει αὐτὸν ταῦτα ποιῆσαι διανοούμενον ὡς ἁρμονίας αὐτῆς οὔσης καὶ οἵας ἄγεσθαι ὑπὸ τῶν τοῦ σώματος παθῶν, ἀλλ' οὐχ οἵας ἄγειν τε ταῦτα καὶ δεσπόζειν, καὶ οὔσης αὐτῆς πολὺ θειοτέρου τινὸς πράγματος ἢ καθ' ἁρμονίαν; Νὴ Δία, ὦ Σώκρατες, ἔμοιγε δοκεῖ. Οὐκ ἄρα, ὦ ἄριστε, ἡμῖν οὐδαμῇ καλῶς ἔχει ψυχὴν ἁρμονίαν τινὰ φάναι εἶναι· οὔτε γὰρ ἄν, ὡς ἔοικεν, Ὁμήρῳ θείῳ ποιητῇ ὁμολογοῖμεν οὔτε αὐτοὶ ἡμῖν αὐτοῖς. Ἔχειν οὕτως ἔφη.

Εἶεν δή, ἦ δ' ὃς ὁ Σωκράτης, τὰ μὲν Ἁρμονίας ἡμῖν τῆς Θηβαϊκῆς ἵλεά πως, ὡς ἔοικε, μετρίως γέ-

ducit omnia, ex quibus dixerit aliquis ipsam constitui, atque ferme omnibus per omnem vitam repugnat multisque dominatur modis? interdum rigidius quodam cum supplicio puniens per gymnasticam atque medicinam, interdum vero mitius castigans comminando aut monendo adversus cupiditates et iras atque timores, tanquam altera quaedam res contra alteram loquens, quemadmodum Homerus tradit in Odyssea:

Tum pectus pulsans, cor sic affatur Ulixes,
Hoc quoque cor perfer, namque et graviora tulisti.

An putas Homerum haec dixisse, tanquam harmonia quaedam sit, ac talis, ut corporis passionibus subiiciatur, non autem ducat atque dominetur? an potius, quasi quiddam longe divinius quam harmonia sit animus? *Sim.* Divinius per Iovem mihi videtur significasse. *So.* Non ergo, vir optime, recte harmoniam esse animam diceremus. sic enim, ut apparet, neque Homero divino poetae neque nobis ipsis consentiremus. *Sim.* Sic est. *So.* Age, harmoniam Thebanam satis, ut videtur, iam placavi-

γονε· τί δὲ δὴ τὰ Κάδμου, ἔφη, ὦ Κέβης, πῶς ἱλασόμεθα καὶ τίνι λόγῳ; Σύ μοι δοκεῖς, ἔφη ὁ Κέβης, ἐξευρήσειν· τουτονὶ γοῦν τὸν λόγον τὸν πρὸς τὴν ἁρμονίαν θαυμαστῶς μοι εἶπες ὡς παρὰ δόξαν. Σιμμίου γὰρ λέγοντος ὅτε ἠπόρει, πάνυ ἐθαύμαζον εἴ τι ἔξει τις χρήσασθαι τῷ λόγῳ αὐτοῦ· πάνυ οὖν μοι ἀτόπως ἔδοξεν εὐθὺς τὴν πρώτην ἔφοδον οὐ δέξασθαι τοῦ σοῦ λόγου. ταὐτὰ δὴ οὐκ ἂν θαυμάσαιμι καὶ τὸν τοῦ Κάδμου λόγον εἰ πάθοι. Ὦ γαθέ, ἔφη ὁ Σωκράτης, μὴ μέγα λέγε, μή τις ἡμῖν βασκανία περιτρέψῃ τὸν λόγον τὸν μέλλοντα λέγεσθαι. ἀλλὰ δὴ ταῦτα μὲν τῷ θεῷ μελήσει, ἡμεῖς δὲ Ὁμηρικῶς ἐγγὺς ἰόντες πειρώμεθα εἰ ἄρα τι λέγεις. ἔστι δὲ δὴ τὸ κεφάλαιον ὧν ζητεῖς· ἀξιοῖς ἐπιδειχθῆναι ἡμῶν τὴν ψυχὴν ἀνώλεθρόν τε καὶ ἀθάνατον οὖσαν, εἰ φιλόσοφος ἀνὴρ μέλλων ἀποθανεῖσθαι, θαρρῶν τε καὶ ἡγούμενος ἀποθανὼν ἐκεῖ εὖ πράξειν διαφερόντως ἢ εἰ ἐν ἄλλῳ βίῳ βιοὺς ἐτελεύτα, μὴ ἀνόητόν τε καὶ ἠλίθιον θάρρος θαρρήσει. τὸ δὲ ἀποφαίνειν ὅτι ἰσχυρόν τί ἐστιν ἡ ψυχὴ καὶ θεοειδές, καὶ ἦν ἔτι πρότερον πρὶν ἡμᾶς ἀνθρώπους γενέσθαι, οὐδὲν κωλύειν φῂς πάντα ταῦτα μηνύειν

mus. rationem vero Cadmeam, o Cebes, quonam pacto et qua ratione placabimus? *Ce.* Tu mihi, Socrates, viam inventurus videris. nempe rationem hanc adversus harmoniam mirifice, praeter opinionem nostram, excogitasti. Cum enim audirem Simmiam dubitantem, valde admirabar, si quis rationibus eius resistere posset. Itaque summae mihi fuit admirationi, ipsum nec primum quidem potuisse orationis tuae impetum sustinere. Quapropter non admirarer, si Cadmeus quoque sermo idem pateretur. *So.* Parcius ista, hone vir; ne qua invidia nobis sequentia interturbet. Sed haec quidem Deo curae erunt: nos autem, ut ait Homerus, cominus congressi periculum faciamus, an forte quid dicas. Summa vero eorum, quae perquiris, est eiusmodi: demonstrandum esse iudicas, animam nostram indissolubilem immortalemque esse; ne vir philosophus in morte securus, magnaque cum fiducia sperans, in alia vita longe beatiorem ob philosophiae studium se futurum, insipiens sit stulteque confidat. Ostendere autem, validum quiddam esse animam atque divinis persimile, priusque etiam quam nos exstitisse, nihil impedimento esse ais, quo minus haec omnia non immor-

ἀθανασίαν μὲν μή, ὅτι δὲ πολυχρόνιόν τ' ἐστὶ ψυχὴ καὶ ἦν που πρότερον ἀμήχανον ὅσον χρόνον καὶ ἤδει τε καὶ ἔπραττε πόλλ' ἅττα· ἀλλὰ γὰρ οὐδέν τι μᾶλλον ἦν ἀθάνατον, ἀλλὰ καὶ αὐτὸ τὸ εἰς ἀνθρώπου σῶμα ἐλθεῖν ἀρχὴ ἦν αὐτῇ ὀλέθρου, ὥς περ νόσος, καὶ ταλαιπωρουμένη τε δὴ τοῦτον τὸν βίον ζῴη καὶ τελευτῶσά γε ἐν τῷ καλουμένῳ θανάτῳ ἀπολλύοιτο. διαφέρει δὲ δή, φῄς, οὐδὲν εἴτε ἅπαξ εἰς σῶμα ἔρχεται εἴτε πολλάκις, πρός γε τὸ ἕκαστον ἡμῶν φοβεῖσθαι· προσήκει γὰρ φοβεῖσθαι, εἰ μὴ ἀνόητος εἴη, τῷ μὴ εἰδότι μηδ' ἔχοντι λόγον διδόναι ὡς ἀθάνατόν ἐστι. τοιαῦτ' ἄττα ἐστίν, οἶμαι, ὦ Κέβης, ἃ λέγεις· καὶ ἐξεπίτηδες πολλάκις ἀναλαμβάνω, ἵνα μή τι διαφύγῃ ἡμᾶς, εἴ τέ τι βούλει, προσθῇς ἢ ἀφέλῃς. Καὶ ὁ Κέβης, Ἀλλ' οὐδὲν ἔγωγε ἐν τῷ παρόντι, ἔφη, οὔτ' ἀφελεῖν οὔτε προσθεῖναι δέομαι· ἔστι δὲ ταῦτα ἃ λέγω.

Ὁ οὖν Σωκράτης συχνὸν χρόνον ἐπισχὼν καὶ πρὸς ἑαυτόν τι σκεψάμενος, Οὐ φαῦλον πρᾶγμα, ἔφη, ὦ Κέβης, ζητεῖς· ὅλως γὰρ δεῖ περὶ γενέσεως καὶ φθορᾶς τὴν αἰτίαν διαπραγματεύσασθαι. ἐγὼ οὖν σοι δίει-
96 μι περὶ αὐτῶν, ἐὰν βούλῃ, τά γε ἐμὰ πάθη· ἔπειτα

talitatem quidem significent, sed duntaxat animam corpore diuturniorem esse, multaque ante nos secula fuisse, novisseque et egisse permulta; nihilo tamen magis ob hoc immortalem esse existimandam. immo hunc ipsum in humanum corpus ingressum, quasi morbum quendam, interitus eius initium esse: adeo, ut et in hac vita sit misera et in corporis morte depereat. Nihil autem differre censes, sive semel tantum sive saepius labatur in corpus, ut quivis nostrum pertimescat. Merito namque timendum esse, nisi stultus sit, ei, qui neque sciat neque assignare queat immortalitatis animae rationem. Talia quaedam sunt, quae dicis, o Cebes: egoque ea consulto saepius repeto, ne quid nos fugiat, sive addere his quicquam velis sive demere. *Ce.* Nihil equidem in praesentia habeo, quod aut minuam aut adiungam: atque haec sunt, quae dico. Tunc Socrates, cum aliquantum se recepisset, ad se conversus, Haud leve quiddam requiris, inquit, o Cebes, sed cuius gratia oporteat generationis corruptionisque causam pertractare. Ego igitur, si vis, ea tibi, quae mihi evenerunt, enarrabo. deinde si quid eorum, quae

ἄν τί σοι χρήσιμον φαίνηται ὧν ἂν λέγω, πρὸς τὴν πειθὼ περὶ ὧν λέγεις χρήσει. Ἀλλὰ μήν, ἔφη ὁ Κέβης, βούλομαί γε. Ἄκουε τοίνυν ὡς ἐροῦντος. ἐγὼ γάρ, ἔφη, ὦ Κέβης, νέος ὢν θαυμαστῶς ὡς ἐπεθύμησα ταύτης τῆς σοφίας ἣν δὴ καλοῦσι περὶ φύσεως ἱστορίαν. ὑπερήφανος γάρ μοι ἐδόκει εἶναι, εἰδέναι τὰς αἰτίας ἑκάστου, διὰ τί γίγνεται ἕκαστον καὶ διὰ τί ἀπόλλυται καὶ διὰ τί ἔστι· καὶ πολλάκις ἐμαυτὸν ἄνω κάτω μετέβαλλον σκοπῶν πρῶτον τὰ τοιάδε, ἆρ' ἐπειδὰν τὸ θερμὸν καὶ τὸ ψυχρὸν σηπεδόνα τινὰ λάβῃ, ὥς τινες ἔλεγον, τότε δὴ τὰ ζῶα ξυντρέφεται; καὶ πότερον τὸ αἷμά ἐστιν ᾧ φρονοῦμεν, ἢ ὁ ἀὴρ ἢ τὸ πῦρ, ἢ τούτων μὲν οὐδέν, ὁ δὲ ἐγκέφαλός ἐστιν ὁ τὰς αἰσθήσεις παρέχων τοῦ ἀκούειν καὶ ὁρᾶν καὶ ὀσφραίνεσθαι, ἐκ τούτων δὲ γίγνοιτο μνήμη καὶ δόξα, ἐκ δὲ μνήμης καὶ δόξης λαβούσης τὸ ἠρεμεῖν κατὰ ταὐτὰ γίγνεσθαι ἐπιστήμην. καὶ αὖ τούτων τὰς φθορὰς σκοπῶν, καὶ τὰ περὶ τὸν οὐρανόν τε καὶ τὴν γῆν πάθη, τελευτῶν οὕτως ἐμαυτῷ ἔδοξα πρὸς ταύτην τὴν σκέψιν ἀφυὴς εἶναι, ὡς οὐδὲν χρῆμα. τεκμήριον δέ σοι ἐρῶ ἱκανόν· ἐγὼ γὰρ ἃ καὶ πρότερον σαφῶς ἠπιστάμην, ὥς γε ἐμαυτῷ καὶ

dixero, ad quaestionis tuae veritatem aperiendam conducere putabis, utere. *Ce.* Volo equidem. *So.* Audi igitur iam narrantem. Equidem, o Cebes, cum essem iuvenis, mira quadam eius sapientiae cupiditate flagrabam, quam naturalem vocant historiam. Praeclarissimum enim esse censebam, causas intelligere, per quas singula fiant atque intereant, et qua sint ratione: saepiusque me sursum deorsumque iactavi, talia quaedam primo considerans, nunquid, postquam calidum et frigidum putrefactionem aliquam acceperunt, quemadmodum nonnulli dixerunt, tunc animalia coalescant. praeterea, utrum sanguis sit, quo sapimus, vel aër vel ignis: aut nihil horum sit, sed cerebrum, quod praebeat sensus audiendi, videndi, olfaciendi: ex his autem memoria et opinio fiat: ex memoria vero et opinione quietem accipiente, per haec scientia oriatur. proinde horum corruptiones considerans, atque eas, quae circa coelum terramque passiones contingunt, tandem adeo mihi ad haec considerandа visus sum hebes, ut nihil magis. Coniecturam vero ad id afferam tibi sufficientem. nempe ob eiusmodi considerationem usque adeo sum occaecatus, ut ea etiam, quae prius manifeste

τοῖς ἄλλοις ἐδόκουν, τότε ὑπὸ ταύτης τῆς σκέψεως οὕτω σφόδρα ἐτυφλώθην, ὥστε ἀπέμαθον καὶ ταῦτα ἃ πρὸ τοῦ ᾤμην εἰδέναι, περὶ ἄλλων τε πολλῶν καὶ διὰ τί ἄνθρωπος αὐξάνεται. τοῦτο γὰρ ᾤμην πρὸ τοῦ παντὶ δῆλον εἶναι, ὅτι διὰ τὸ ἐσθίειν καὶ πίνειν· ἐπειδὰν γὰρ ἐκ τῶν σιτίων ταῖς μὲν σαρξὶ σάρκες προσγένωνται, τοῖς δὲ ὀστοῖς ὀστᾶ, καὶ οὕτω κατὰ τὸν αὐτὸν λόγον καὶ τοῖς ἄλλοις τὰ αὐτῶν οἰκεῖα ἑκάστοις προσγίγνηται, τότε δὴ τὸν ὀλίγον ὄγκον ὄντα ὕστερον πολὺν γεγονέναι, καὶ οὕτω γίγνεσθαι τὸν σμικρὸν ἄνθρωπον μέγαν. οὕτω τότε ᾤμην· οὐ δοκῶ σοι μετρίως ἔμοιγε, ἔφη ὁ Κέβης. Σκέψαι δὴ καὶ τάδε ἔτι. ᾤμην γὰρ ἔγωγε ἱκανῶς μοι δοκεῖν, ὁπότε τις φαίνοιτο ἄνθρωπος παραυτὰς μέγας σμικρῷ μείζων εἶναι αὐτῇ τῇ κεφαλῇ, καὶ ἵππος ἵππου· καὶ ἔτι γε τούτων ἐναργέστερα, τὰ δέκα μοι ἐδόκει τῶν ὀκτὼ πλείονα εἶναι διὰ τὸ δύο αὐτοῖς προσεῖναι, καὶ τὸ δίπηχυ τοῦ πηχυαίου μεῖζον εἶναι διὰ τὸ ἡμίσει αὐτοῦ ὑπερέχειν. Νῦν δὲ δή, ἔφη ὁ Κέβης, τί σοι δοκεῖ περὶ αὐτῶν; Πόρρω που, ἔφη, νὴ Δί' ἐμὲ εἶναι τοῦ οἴεσθαι περὶ τούτων τοῦ τὴν αἰτίαν εἰδέναι, ὅς γε οὐκ ἀποδέχομαι ἐμαυτοῦ οὐδὲ ὡς ἐπειδὰν ἑνί τις προσθῇ ἕν, ἢ τὸ ἓν ᾧ προσετέθη

sciebam, ut mihi aliisque videbatur, dedisceremem, et alia videlicet multa, quae antea me scire putabam, et qua ratione homo crescat. id namque opinabar ante esse cuilibet manifestum, hominem videlicet per cibum potumque augeri. Quando enim per haec carnes carnibus ossaque ossibus adduntur, eodemque modo in aliis, quando sua cuique adhibentur, tunc sane molem primo parvam, deinde magnam evadere, atque ita parvum hominem effici magnum. Sic ego tunc opinabar. nonne satis belle tibi videor? *Ce.* Mihi quidem. *So.* Animadverte haec insuper. Arbitrabar enim, satis recte mihi videri, quotiens hominem vel equum, magnum parvo propinquum, alterum altero iudicarem capite ipso esse maiorem. atque multo etiam evidentius decem plura apparebant mihi quam octo propterea, quod denarius duo praeter octonarium contineret. praeterea bicubitum cubitali maius, quoniam dimidio superaret. *Ce.* Nunc vero quidnam de his iudicas? *So.* Procul equidem, per Iovem, abesse mihi videor, ut alicuius horum causam intelligere putem, qui nondum mihi ipsi persuadere possum, ut, quando quis uni addat

δύο γέγονεν, ἢ τὸ προστεθὲν καὶ ᾧ προσετέθη διὰ τὴν πρόσθεσιν τοῦ ἑτέρου τῷ ἑτέρῳ δύο ἐγένετο· θαυμάζω γὰρ εἰ ὅτε μὲν ἑκάτερον αὐτῶν χωρὶς ἀλλήλων ἦν, ἓν ἄρ' ἑκάτερον ἦν καὶ οὐκ ἦσταν τότε δύο, ἐπεὶ δ' ἐπλησίασαν ἀλλήλοις, αὕτη ἄρα αὐτοῖς αἰτία ἐγένετο δυοῖν γενέσθαι ἡ ξύνοδος τοῦ πλησίον ἀλλήλων τεθῆναι. οὐδέ γε [ὡς] ἐάν τις ἓν διασχίσῃ, δύναμαι ἔτι πείθεσθαι ὡς αὕτη αὖ αἰτία γέγονεν ἡ σχίσις τοῦ δύο γεγονέναι· ἐναντία γὰρ γίγνεται ἢ τότε αἰτία τοῦ δύο γίγνεσθαι· τότε μὲν γὰρ ὅτι ξυνήγετο πλησίον ἀλλήλων καὶ προσετίθετο ἕτερον ἑτέρῳ, νῦν δ' ὅτι ἀπάγεται καὶ χωρίζεται ἕτερον ἀφ' ἑτέρου. οὐδέ γε διότι ἓν γίγνεται, ὡς ἐπίσταμαι ἔτι πείθω ἐμαυτόν, οὐδ' ἄλλο οὐδὲν ἐνὶ λόγῳ, διότι γίγνεται ἢ ἀπόλλυται ἢ ἔστι, κατὰ τοῦτον τὸν τρόπον τῆς μεθόδου, ἀλλά τιν' ἄλλον τρόπον αὐτὸς εἰκῇ φύρω, τοῦτον δὲ οὐδαμῇ προσίεμαι. ἀλλ' ἀκούσας μέν ποτε ἐκ βιβλίου τινός, ὡς ἔφη, Ἀναξαγόρου ἀναγιγνώσκοντος, καὶ λέγοντος ὡς ἄρα νοῦς ἐστὶν ὁ διακοσμῶν τε καὶ πάντων αἴτιος, ταύτῃ δὴ τῇ αἰτίᾳ ἥσθην τε καὶ ἔδοξέ μοι τρόπον τινὰ εὖ ἔχειν τὸ τὸν

97

unum, tunc vel illud unum, cui unum adiunctum est, fiat duo: vel et adiunctum et illud, cui adiunctum est, propter alterius ad alterum adiunctionem evadat duo. admiror equidem, si, cum utrumque horum separatum erat, utrumque unum erat, neque erant tunc duo: postquam invicem cohaeserunt, haec ipsa causa fuerit, ut duo fierent, congressio videlicet, per quam propius iam posita sunt. neque etiam, si quis unum dividat, adhuc possum persuaderi, hanc ipsam divisionem causam esse, ut duo evadant. contraria enim tunc atque superius causa fit, qua duo fiant. tunc enim, quia coniungebantur propius invicem, alterumque admovebatur alteri: nunc vero, quoniam removetur alterum ab altero atque separatur. Neque, propter quid unum fiat, adhuc scire me arbitror; neque, ut summatim dicam, aliud quicquam, quare fiat aut pereat aut sit, per hanc ipsam viam me nosse profiteor: sed alium quendam ipse modum fr[illegible] misceo; hunc vero nullo modo admitto. Verum, cum an[illegible] aliquando ex libro, ut ille aiebat, Anaxagorae, legenten[illegible] dam hanc Anaxagorae ipsius sententiam, videlicet mentem [illegible] exornare omniumque causam esse: hoc utique causae g[illegible] magnopere sum delectatus, existimans quodammodo con[illegible]

νοῦν εἶναι πάντων αἴτιον, καὶ ἠγησάμην, εἰ τοῦθ' οὕτως ἔχει, τόν γε νοῦν κοσμοῦντα πάντα κοσμεῖν καὶ ἕκαστον τιθέναι ταύτῃ ὅπῃ ἂν βέλτιστα ἔχῃ· εἰ οὖν τις βούλοιτο τὴν αἰτίαν εὑρεῖν περὶ ἑκάστου, ὅπῃ γίγνεται ἢ ἀπόλλυται ἢ ἔστι, τοῦτο δεῖν περὶ αὐτοῦ εὑρεῖν, ὅπῃ βέλτιστον αὐτῷ ἐστὶν ἢ εἶναι ἢ ἄλλο ὁτιοῦν πάσχειν ἢ ποιεῖν· ἐκ δὲ δὴ τοῦ λόγου τούτου οὐδὲν ἄλλο σκοπεῖν προσήκειν ἀνθρώπῳ καὶ περὶ αὑτοῦ καὶ περὶ τῶν ἄλλων, ἀλλ' ἢ τὸ ἄριστον καὶ τὸ βέλτιστον. ἀναγκαῖον δὲ εἶναι τὸν αὐτὸν τοῦτον καὶ τὸ χεῖρον εἰδέναι· τὴν αὐτὴν γὰρ εἶναι ἐπιστήμην περὶ αὐτῶν. ταῦτα δὴ λογιζόμενος ἅσμενος εὑρηκέναι ᾤμην διδάσκαλον τῆς αἰτίας περὶ τῶν ὄντων κατὰ νοῦν ἐμαυτῷ, τὸν Ἀναξαγόραν, καί μοι φράσειν πρῶτον μὲν πότερον ἡ γῆ πλατεῖά ἐστιν ἢ στρογγύλη, ἐπειδὴ δὲ φράσειεν, ἐπεκδιηγήσεσθαι τὴν αἰτίαν καὶ τὴν ἀνάγκην, λέγοντα τὸ ἄμεινον καὶ ὅτι αὐτὴν ἄμεινον ἦν τοιαύτην εἶναι· καὶ εἰ ἐν μέσῳ φαίη εἶναι αὐτήν, ἐπεκδιηγήσεσθαι ὡς ἄμεινον ἦν αὐτὴν ἐν μέσῳ εἶναι· καὶ εἴ μοι ταῦτα ἀποφαίνοιτο, παρεσκευάσμην ὡς οὐκέτι ποθεσόμενος αἰτίας ἄλλο εἶδος. καὶ δὴ καὶ περὶ ἡλίου οὕτω

neum, mentem esse omnium causam: putabamque, si id ita esset, ut mens omnia exornaret, singula per hanc ita esse disposita, ut optime disponi potuerant. Propterea, si quis vellet causam invenire, qua singula fiant aut pereant aut sint, hoc ipsum esse inveniendum, qua videlicet ratione optimum sit unicuique, aut esse aut quodvis aliud pati vel agere. Atque hoc pacto nihil aliud considerandum homini vel de seipso vel de aliis, nisi quod potissimum sit et optimum. Necesse vero est eum, qui id norit, illud quoque, quod est deterius, cognovisse: quippe cum eadem horum scientia sit. Haec utique mecum ipse reputans, gaudebam, invenisse ratus Anaxagoram magistrum, qui me, id quod tantopere cupiebam, causas rerum doceret; primumque mihi diceret, utrum plana sit terra vel rotunda: et cum haec dixisset, subiungeret mihi causam atque necessitatem, afferens videlicet idipsum, quod melius est; meliusque fuisse eam esse talem. Proinde si terram diceret in mundo mediam esse, mox exponeret melius exstitisse, ut media esset. Quod si ille haec ostenderet, ita me comparabam, quasi nullam amplius causarum speciem positurus. Praeterea de sole et luna ceteris-

παρεσκευάσμην ὡς αὐτὸς πευσόμενος, καὶ σελήνης καὶ τῶν ἄλλων ἄστρων, τάχους τε πέρι πρὸς ἄλληλα καὶ τροπῶν καὶ τῶν ἄλλων παθημάτων, πῇ ποτὲ ταῦτ' ἄμεινόν ἐστιν ἕκαστον καὶ ποιεῖν καὶ πάσχειν ἃ πάσχει. οὐ γὰρ ἄν ποτε αὐτὸν ᾠμην, φάσκοντά γε ὑπὸ νοῦ αὐτὰ κεκοσμῆσθαι, ἄλλην τινὰ αὐτοῖς αἰτίαν ἐπενεγκεῖν ἢ ὅτι βέλτιστον αὐτὰ οὕτως ἔχειν ἐστὶν ὡς περ ἔχει· ἑκάστῳ οὖν αὐτὸν ἀποδιδόντα τὴν αἰτίαν καὶ κοινῇ πᾶσι τὸ ἑκάστῳ βέλτιστον ᾠμην καὶ τὸ κοινὸν πᾶσιν ἐπεπδηγήσεσθαι ἀγαθόν. καὶ οὐκ ἂν ἀπεδόμην πολλοῦ τὰς ἐλπίδας, ἀλλὰ πάνυ σπουδῇ λαβὼν τὰς βίβλους ὡς τάχιστα οἷός τ' ἦ ἀνεγίγνωσκον, ἵν' ὡς τάχιστα εἰδείην τὸ βέλτιστον καὶ τὸ χεῖρον. ἀπὸ δὴ θαυμαστῆς, ὦ ἑταῖρε, ἐλπίδος ᾠχόμην φερόμενος, ἐπειδὴ προϊὼν καὶ ἀναγιγνώσκων ὁρῶ ἄνδρα τῷ μὲν νῷ οὐδὲν χρώμενον οὐδέ τινας αἰτίας ἐπαιτιώμενον εἰς τὸ διακοσμεῖν τὰ πράγματα, ἀέρας δὲ καὶ αἰθέρας καὶ ὕδατα αἰτιώμενον καὶ ἄλλα πολλὰ καὶ ἄτοπα. καί μοι ἔδοξεν ὁμοιότατον πεπονθέναι ὡς περ ἄν εἴ τις λέγων ὅτι Σωκράτης πάντα ὅσα πράττει νῷ πράττει, κἄπειτα ἐπιχειρήσας λέγειν τὰς αἰτίας ἑκάστων ὧν πράττω, λέ-

que stellis, earumque inter se velocitate conversionibusque, et de huiusmodi omnibus me similiter quaesiturum auditurumque comparaveram, quod videlicet et qua ratione haec melius sit singula vel facere vel pati, quodcunque agant vel patiantur. Neque enim putabam, cum ab initio dixisset mente omnia exornari, ipsum aliam postea causam rebus assignaturum, praeterquam quod optimum sit eas ita se, ut habent, habere. Itaque arbitrabar eum in reddendis tum singulorum tum cunctorum communiter causis, singulis quidem assignare, quod unicuique optimum, cunctis vero commune bonum. Neque vero spes ipse meas parvi faciebam, sed summo quodam studio acceptos libros, quam velocissime poteram lectitavi, ut ocissime, quid optimum quidve eius contrarium esset, cognoscerem. Hac igitur mirabili spe ductus, cum legere pergo, video hominem mente quidem nullo modo utentem, nec causam ullam ad ipsum rerum ornatum referentem, sed aëreas naturas et aethereas aqueasque et talia multa incredibilia pro rerum causis assignantem. Qua quidem in re ille mihi perinde visus est agere, ac si quis diceret, Socratem, quaecunque facit, mente facere: deinde volens singulorum, quae facio, causas explicare, dicat primum

γοι πρῶτον μὲν ὅτι διὰ ταῦτα νῦν ἐνθάδε κάθημαι, ὅτι ξύγκειταί μου τὸ σῶμα ἐξ ὀστῶν καὶ νεύρων, καὶ τὰ μὲν ὀστᾶ ἐστὶ στερρὰ καὶ διαφυὰς ἔχει χωρὶς ἀπ' ἀλλήλων, τὰ δὲ νεῦρα οἷα ἐπιτείνεσθαι καὶ ἀνίεσθαι, περιαμπέχοντα τὰ ὀστᾶ μετὰ τῶν σαρκῶν καὶ δέρματος, ὃ ξυνέχει αὐτά· αἰωρουμένων οὖν τῶν ὀστῶν ἐν ταῖς αὑτῶν ξυμβολαῖς χαλῶντα καὶ ξυντείνοντα τὰ νεῦρα κάμπτεσθαί που ποιεῖ οἷόν τ' εἶναι ἐμὲ νῦν τὰ μέλη, καὶ διὰ ταύτην τὴν αἰτίαν ξυγκαμφθεὶς ἐνθάδε κάθημαι· καὶ αὖ περὶ τοῦ διαλέγεσθαι ὑμῖν ἑτέρας τινὰς τοιαύτας αἰτίας λέγοι, φωνάς τε καὶ ἀέρας καὶ ἀκοὰς καὶ ἄλλα μυρία τοιαῦτα αἰτιώμενος, ἀμελήσας τὰς ὡς ἀληθῶς αἰτίας λέγειν, ὅτι ἐπειδὴ Ἀθηναίοις ἔδοξε βέλτιον εἶναι ἐμοῦ καταψηφίσασθαι, διὰ ταῦτα δὴ καὶ ἐμοὶ βέλτιον αὖ δέδοκται ἐνθάδε καθῆσθαι, καὶ δικαιότερον παραμένοντα ὑπέχειν τὴν δίκην ἣν ἂν κε-
99 λεύσωσιν, ἐπεὶ νὴ τὸν κύνα, ὡς ἐγῷμαι, πάλαι ἂν ταῦτα τὰ νεῦρά τε καὶ τὰ ὀστᾶ ἢ περὶ Μέγαρα ἢ Βοιωτοὺς ἦν, ὑπὸ δόξης φερόμενα τοῦ βελτίστου, εἰ μὴ δικαιότερον ᾤμην καὶ κάλλιον εἶναι πρὸ τοῦ φεύγειν τε καὶ ἀποδιδράσκειν ὑπέχειν τῇ πόλει δίκην ἥντιν' ἂν

quidem nunc me hic propterea sedere, quoniam corpus meum ex ossibus nervisque componitur: et ossa quidem solida sunt et iuncturarum intervalla inter se habent: nervi autem sic instituti, ut et extendi et contrahi valeant, complectantur ossa cum carnibus atque cute, quae illa continet. Elatis igitur ossibus in suis coniunctionibus, nervi, qui et intendunt et remittunt commode, faciunt, ut flectendi cuiusque membri habeam facultatem, atque hanc ob causam hic inflexus sedeam. Ac rursus disputationis meae alias quasdam eiusmodi causas assignaret, voces et aërem et auditum aliaque generis eiusdem quam plurima, causas verissimas negligens: videlicet quoniam Atheniensibus melius visum fuerit me condemnare, ideoque mihi etiam melius sit visum hic sedere; iustiusque iudicarim exspectantem dare poenas, quas illi iubeant, profecto per Canem, iamdiu, ut arbitror, hi nervi atque haec ossa apud Megarenses aut Boeotios essent, ipsius, quod optimum est, opinione delata; nisi iustius honestiusque censuissem poenas civitati pendere, quascunque a me exigat, quam subterfugere atque exsulem vi-

τάττῃ. ἀλλ' αἴτια μὲν τὰ τοιαῦτα καλεῖν λίαν ἄτοπον· εἰ δέ τις λέγοι ὅτι ἄνευ τοῦ τὰ τοιαῦτα ἔχειν καὶ ὀστᾶ καὶ νεῦρα καὶ ὅσα ἄλλα ἔχω, οὐκ ἂν οἷός τ' ἦ ποιεῖν τὰ δόξαντά μοι, ἀληθῆ ἂν λέγοι· ὡς μέντοι διὰ ταῦτα ποιῶ ἃ ποιῶ, καὶ ταύτῃ νῷ πράττω, ἀλλ' οὐ τῇ τοῦ βελτίστου αἱρέσει, πολλὴ ἂν καὶ μακρὰ ῥᾳθυμία εἴη τοῦ λόγου. τὸ γὰρ μὴ διελέσθαι οἷόν τ' εἶναι ὅτι ἄλλο μέν τί ἐστι τὸ αἴτιον τῷ ὄντι, ἄλλο δ' ἐκεῖνο ἄνευ οὗ τὸ αἴτιον οὐκ ἄν ποτ' εἴη αἴτιον· ὃ δή μοι φαίνονται ψηλαφῶντες οἱ πολλοὶ ὡς περ ἐν σκότῳ, ἀλλοτρίῳ ὀνόματι προσχρώμενοι, ὡς αἴτιον αὐτὸ προσαγορεύειν. διὸ δὴ καὶ ὁ μέν τις δίνην περιτιθεὶς τῇ γῇ ὑπὸ τοῦ οὐρανοῦ μένειν δὴ ποιεῖ τὴν γῆν, ὁ δὲ ὡς περ καρδόπῳ πλατείᾳ βάθρον τὸν ἀέρα ὑπερείδει· τὴν δὲ τοῦ ὡς οἷόν τε βέλτιστα αὐτὰ τεθῆναι δύναμιν οὕτω νῦν κεῖσθαι, ταύτην οὔτε ζητοῦσιν οὔ τέ τινα οἴονται δαιμονίαν ἰσχὺν ἔχειν, ἀλλὰ ἡγοῦνται τούτου ἄν ποτε Ἄτλαντα ἰσχυρότερον καὶ ἀθανατώτερον καὶ μᾶλλον ἅπαντα ξυνέχοντα ἐξευρεῖν, καὶ ὡς ἀληθῶς τἀγαθὸν καὶ δέον ξυνδεῖν καὶ ξυνέχειν οὐδὲν οἴονται. ἐγὼ μὲν οὖν τῆς τοιαύτης αἰτίας ὅπῃ ποτὲ ἔχει μαθητὴς ὁτιοῦν

vere. Verum talia quaedam causas appellare a ratione est remotissimum. Si quis autem dixerit absque ossibus et nervis atque similibus non posse me, quae mihi facienda videantur, implere, vere utique dicet. Attamen asserere propter haec me facere, quaecunque facio, dum ipsa mente ago, non autem eius quod optimum sit optione, multa magnaque sermonis negligentia esset. Nam qui sic est affectus, nequit discernere, aliam quidem esse veram rei alicuius causam; aliud vero illud, sine quo ipsa causa esse non potest causa. quod quidem multi mihi videntur, quasi in tenebris attrectantes, alieno appellare nomine, dum causam nuncupant. Quapropter nonnulli vertiginem circumponentes terrae, sub coelo eam stabilem faciunt. alii vero tanquam latum pistoris alveum aëre velut base suffulciunt. Potentiam vero ipsam, qua nunc ita disposita sit, ut optime disponi poterat, neque perquirunt neque daemonicam quandam habere vim putant; sed Atlantem quendam robustiorem et immortaliorem, magisque omnia continentem invenisse se opinantur, ipsum autem bonum atque decens connectere atque continere revera nihil existimant. Ego igitur libentissime cuiusvis essem discipulus, ut quemadmodum se habeat haec

ἥδιστ' ἂν γενοίμην· ἐπειδὴ δὲ ταύτης ἐστερήθην καὶ οὔτ' αὐτὸς εὑρεῖν οὔτε παρ' ἄλλου μαθεῖν οἷός τε ἐγενόμην, τὸν δεύτερον πλοῦν ἐπὶ τὴν τῆς αἰτίας ζήτησιν ἢ πεπραγμάτευμαι, βούλει σοι, ἔφη, ἐπίδειξιν ποιήσωμαι, ὦ Κέβης; Ὑπερφυῶς μὲν οὖν, ἔφη, ὡς βούλομαι. Ἔδοξε τοίνυν μοι, ἦ δ' ὅς, μετὰ ταῦτα, ἐπειδὴ ἀπείρηκα τὰ ὄντα σκοπῶν, δεῖν εὐλαβηθῆναι μὴ πάθοιμι ὅ περ οἱ τὸν ἥλιον ἐκλείποντα θεωροῦντες καὶ σκοπούμενοι· διαφθείρονται γάρ που ἔνιοι τὰ ὄμματα, ἐὰν μὴ ἐν ὕδατι ἢ τινι τοιούτῳ σκοπῶνται τὴν εἰκόνα αὐτοῦ. τοιοῦτόν τι καὶ ἐγὼ διενοήθην, καὶ ἔδεισα μὴ παντάπασι τὴν ψυχὴν τυφλωθείην βλέπων πρὸς τὰ πράγματα τοῖς ὄμμασι καὶ ἑκάστῃ τῶν αἰσθήσεων ἐπιχειρῶν ἅπτεσθαι αὐτῶν. ἔδοξε δή μοι χρῆναι εἰς τοὺς λόγους καταφυγόντα ἐν ἐκείνοις σκοπεῖν τῶν ὄντων τὴν ἀλήθειαν. ἴσως μὲν οὖν, ᾧ εἰκάζω, τρόπον τινὰ οὐκ ἔοικεν· οὐ γὰρ πάνυ ξυγχωρῶ τὸν ἐν τοῖς λόγοις σκοπούμενον τὰ ὄντα ἐν εἰκόσι μᾶλλον σκοπεῖν ἢ τὸν ἐν τοῖς ἔργοις· ἀλλ' οὖν δὴ ταύτῃ γε ὥρμησα, καὶ ὑποθέμενος ἑκάστοτε λόγον ὃν ἂν κρίνω ἐρρωμενέστατον εἶναι, ἃ μὲν ἄν μοι δοκῇ τούτῳ ξυμφωνεῖν, τίθημι

ipsa causa, discerem. Postquam vero hac privatus sum; neque ipse invenire neque ab alio discere potui: secundam navigationem ad causam investigandam molitus sum. Visne, o Cebes, hanc tibi a me demonstrari? *Ce.* Mirifice cupio. *So.* Censui tandem, cum in rebus considerandis iam defessus essem, cavendum fore, ne mihi idem accideret, quod accidere illis solet, qui in solem deficientem figunt intuitum. orbantur enim nonnunquam visu, nisi in aqua vel in eiusmodi aliquo imaginem eius aspiciant. Tale quiddam ego reputavi, timuique ne animus mihi prorsus occaecaretur, si oculis res aspicerem sensuque quolibet attingere illas aggrederer. Quapropter operae pretium esse censui, ut ad rationes confugerem atque in illis rerum veritatem considerarem. Forte vero nostra haec similitudo non omni ex parte congruit. non enim prorsus assentior, eum, qui res in rationibus contemplatur, in imaginibus aspicere potius quam qui in operibus intuetur. Verumtamen hac via iter direxi meum, supponensque rationem semper, quam esse iudico validissimam, quaecunque huic consonare videantur, pono equidem tanquam

ὡς ἀληθῆ ὄντα, καὶ περὶ αἰτίας καὶ περὶ τῶν ἄλλων ἁπάντων, ἃ δ' ἂν μή, ὡς οὐκ ἀληθῆ. βούλομαι δέ σοι σαφέστερον εἰπεῖν ἃ λέγω· οἶμαι γάρ σε νῦν οὐ μανθάνειν. Οὐ μὰ τὸν Δί', ἔφη ὁ Κέβης, οὐ σφόδρα. Ἀλλ', ἦ δ' ὅς, ὧδε λέγω, οὐδὲν καινὸν ἀλλ' ἅ περ ἀεὶ καὶ ἄλλοτε καὶ ἐν τῷ παρεληλυθότι λόγῳ οὐδὲν πέπαυμαι λέγων. ἔρχομαι γὰρ δὴ ἐπιχειρῶν σοι ἐπιδείξασθαι τῆς αἰτίας τὸ εἶδος ὃ πεπραγμάτευμαι, καὶ εἶμι πάλιν ἐπ' ἐκεῖνα τὰ πολυθρύλητα καὶ ἄρχομαι ἀπ' ἐκείνων, ὑποθέμενος εἶναί τι καλὸν αὐτὸ καθ' αὑτὸ καὶ ἀγαθὸν καὶ μέγα καὶ τἆλλα πάντα· ἃ εἴ μοι δίδως τε καὶ ξυγχωρεῖς εἶναι ταῦτα, ἐλπίζω σοι ἐκ τούτων τήν τε αἰτίαν ἐπιδείξειν καὶ ἀνευρήσειν ὡς ἀθάνατον ἡ ψυχή. Ἀλλὰ μήν, ἔφη ὁ Κέβης, ὡς διδόντος σοι οὐκ ἂν φθάνοις περαίνων. Σκόπει δή, ἔφη, τὰ ἑξῆς ἐκείνοις, ἐάν σοι ξυνδοκῇ ὥς περ ἐμοί. φαίνεται γάρ μοι, εἴ τί ἐστιν ἄλλο καλὸν πλὴν αὐτὸ τὸ καλόν, οὐδὲ δι' ἓν ἄλλο καλὸν εἶναι ἢ διότι μετέχει ἐκείνου τοῦ καλοῦ· καὶ πάντα δὴ οὕτω λέγω. τῇ τοιᾷδε αἰτίᾳ ξυγχωρεῖς; Ξυγχωρῶ, ἔφη. Οὐ τοίνυν, ἦ δ' ὅς, ἔτι μανθάνω οὐδὲ δύναμαι τὰς ἄλλας αἰτίας τὰς σοφὰς

vera; idque ago et circa rerum causas et circa reliqua omnia: quae vero dissonant, vera esse nego. Volo equidem, quae dico, tibi apertius explanare. puto enim te nondum intelligere. *Ce.* Per Iovem, haud multum. *So.* Verum novum nihil adduco; sed quae et saepe alias et in superiori disputatione dicere nunquam destiti. Pergo iam igitur demonstrare tibi causae speciem, quam continue pertractavi; ac redeo ad illa iam saepius decantata, ab eisque exordior, supponens aliquid esse ipsum per se pulchrum et bonum et magnum, et cetera omnia. quae quidem si tu mihi dederis, eaque esse concesseris, spero tibi ex his ipsam causam demonstrare; itemque invenire, esse animam immortalem. *Ce.* Quasi vero iam tibi concesserim, nihil tibi opus est praeludio, quo minus iam concludas. *So.* Considera iam, quae sequuntur deinceps, utrum in his mihi consentias. Arbitror enim, si quid est aliud pulchrum praeter ipsum pulchrum, non ob aliud quippiam esse pulchrum, quam quia pulchri ipsius est particeps. atque omnia dico similiter. nunquid hanc causam recipis? *Ce.* Recipio equidem. *So.* Ergo nondum ultra percipio, neque possum ceteras istas praeclaras

ταῦτας γιγνώσκειν· ἀλλ' ἐάν τίς μοι λέγῃ διότι καλόν ἐστιν ὁτιοῦν, ἢ ὅτι χρῶμα εὐανθὲς ἔχον ἢ σχῆμα ἢ ἄλλο ὁτιοῦν τῶν τοιούτων, τὰ μὲν ἄλλα χαίρειν ἐῶ, ταράττομαι γὰρ ἐν τοῖς ἄλλοις πᾶσι, τοῦτο δὲ ἁπλῶς καὶ ἀτέχνως καὶ ἴσως εὐήθως ἔχω παρ' ἐμαυτῷ, ὅτι οὐκ ἄλλο τι ποιεῖ αὐτὸ καλὸν ἢ ἡ ἐκείνου τοῦ καλοῦ εἴτε παρουσία εἴτε κοινωνία, εἴτε ὅπῃ δὴ καὶ ὅπως προσγενομένη· οὐ γὰρ ἔτι τοῦτο διισχυρίζομαι, ἀλλ' ὅτι τῷ καλῷ πάντα τὰ καλὰ γίγνεται καλά. τοῦτο γάρ μοι δοκεῖ ἀσφαλέστατον εἶναι καὶ ἐμαυτῷ ἀποκρίνεσθαι καὶ ἄλλῳ, καὶ τούτου ἐχόμενος ἡγοῦμαι οὐκ ἂν πώποτε πεσεῖν, ἀλλ' ἀσφαλὲς εἶναι καὶ ἐμοὶ καὶ ὑτῳοῦν ἄλλῳ ἀποκρίνεσθαι ὅτι τῷ καλῷ τὰ καλὰ γίγνεται καλά. ἢ οὐ καὶ σοὶ δοκεῖ; Δοκεῖ. Καὶ μεγέθει ἄρα τὰ μεγάλα μεγάλα καὶ τὰ μείζω μείζω, καὶ σμικρότητι τὰ ἐλάττω ἐλάττω; Ναί. Οὐδὲ σὺ ἄρ' ἂν ἀποδέχοιο, εἴ τίς τινα φαίη ἕτερον ἑτέρου τῇ κεφαλῇ μείζω εἶναι, καὶ τὸν ἐλάττω τῷ αὐτῷ τούτῳ ἐλάττω, ἀλλὰ θεαμαρτύροιο ἂν ὅτι σὺ μὲν οὐδὲν ἄλλο λέγεις ἢ ὅτι τὸ μὲν μεῖζον πᾶν ἕτερον ἑτέρου οὐδενὶ ἄλλῳ μειζόν ἐστιν ἢ μεγέθει,

causas cognoscere. Si quis autem mihi dixerit, quare pulchrum sit quodlibet, videlicet quia vel colorem habeat floridum vel figuram vel aliud quodvis talium, cetera equidem valere sino: (in ceteris enim omnibus soleo perturbari:) id vero unum simpliciter atque procul dubio, et forte iam inepte, penes me teneo, nihil aliud esse, quod aliquid faciat pulchrum, quam ipsius pulchri sive praesentiam sive communionem, sive qualicunque ratione et quocunque modo id proveniat. Neque enim id adhuc affirmarem: sed pulchro pulchra omnia esse pulchra, id mihi videtur tutissimum, tam mihi quam aliis respondere: atque huic fundamento innixus, puto nunquam cadere; sed et me et quemvis alium tuto respondere posse, quaecunque pulchra sunt, ipso pulchro fieri pulchra. nonne et ipse consentis? *Ce.* Consentio equidem. *So.* Ergo et quae magna sunt, ipsa magnitudine esse magna: et quae maiora sunt, similiter esse maiora: et quae minora, parvitate esse minora. *Ce.* Ita est. *So.* Igitur neque tu quidem assentieris, si quis aliquem dixerit alio quodam capite esse maiorem; atque eum, qui minor est, eodem capite esse minorem: sed testificaberis, te quidem nihil aliud esse dicturum, quam omne maius alio non alia re ulla quam

καὶ διὰ τοῦτο μεῖζον, διὰ τὸ μέγεθος, τὸ δὲ ἔλαττον οὐδενὶ ἄλλῳ ἔλαττον ἢ σμικρότητι, καὶ διὰ τοῦτο ἔλαττον, διὰ τὴν σμικρότητά, φοβούμενος, οἶμαι, μή τις σοι ἐναντίος λόγος ἀπαντήσῃ, ἐὰν τῇ κεφαλῇ μείζονά τινα φῇς εἶναι καὶ ἐλάττω, πρῶτον μὲν τῷ αὐτῷ τὸ μεῖζον μεῖζον εἶναι καὶ τὸ ἔλαττον ἔλαττον, ἔπειτα τῇ κεφαλῇ σμικρᾷ οὔσῃ τὸν μείζω μείζω εἶναι, καὶ τοῦτο δὴ τέρας εἶναι, τὸ σμικρῷ τινὶ μέγαν τινὰ εἶναι. ἢ οὐκ ἂν φοβοῖο ταῦτα; Καὶ ὁ Κέβης γελάσας, Ἐγωγε, ἔφη. Οὐκοῦν, ἦ δ' ὅς, τὰ δέκα τῶν ὀκτὼ δυεῖν πλείω εἶναι, καὶ διὰ ταύτην τὴν αἰτίαν ὑπερβάλλειν, φοβοῖο ἂν λέγειν, ἀλλὰ μὴ πλήθει καὶ διὰ τὸ πλῆθος; καὶ τὸ δίπηχυ τοῦ πηχυαίου ἡμίσει μεῖζον εἶναι, ἀλλ' οὐ μεγέθει; ὃ αὐτός γάρ που φόβος. Πάνυ γε, ἔφη. Τί δαί; ἑνὶ ἑνὸς προστεθέντος τὴν πρόσθεσιν αἰτίαν εἶναι τοῦ δύο γενέσθαι ἢ διασχισθέντος τὴν σχίσιν οὐκ εὐλαβοῖο ἂν λέγειν, καὶ μέγα ἂν βοῴης ὅτι οὐκ οἶσθα ἄλλως πως ἕκαστον γιγνόμενον ἢ μετασχὸν τῆς ἰδίας οὐσίας ἑκάστου, οὗ ἂν μετάσχῃ, καὶ ἐν τούτοις οὐκ ἔχεις ἄλλην τινὰ αἰτίαν τοῦ δύο γενέσθαι

magnitudine esse maius; atque ob hoc maius, ob ipsam scilicet magnitudinem: minus autem, nullo similiter alio quam parvitate, et propter hoc esse minus, propter ipsam videlicet parvitatem: metuens, ut puto, ne, si quem dixeris capite maiorem esse vel minorem, quispiam tibi sic obiiciat: primum quidem eadem re et maius fore maius et minus fore minus: deinde, quod capite, quae res parva est, maiorem affirmes esse maiorem: hoc autem dicet monstro esse persimile, ut parvo aliquo magnum quiddam esse dicas: nonne haec metueres? Tunc Cebes subridens, Equidem, inquit. *So.* Nonne similiter quoque metueres dicere, decem plura quam octo esse duobus, atque ob hanc causam superare, potius quam multitudine atque propter multitudinem? ac similiter bicubitum cubitali maius esse dimidio, potius quam magnitudine? id enim similiter est metuendum. *Ce.* Omnino. *So.* Quid vero, si uni addatur unum, additamentum ipsum esse causam, ut duo fiant, vel si dividatur, divisionem ipsam duorum esse causam, dicere non formidares? altiusque exclamares, nescire te, quonam alio pacto quicquam fiat, nisi participatione quadam essentiae unicuique propriae, cuius sit particeps? atque in his nullam aliam habere te cau-

ἀλλ' ἢ τὴν τῆς δυάδος μετάσχεσιν, καὶ δεῖν τούτου μετασχεῖν τὰ μέλλοντα δύο ἔσεσθαι, καὶ μονάδος ὃ ἂν μέλλῃ ἓν ἔσεσθαι, τὰς δὲ σχίσεις ταύτας καὶ προσθέσεις καὶ τὰς ἄλλας τὰς τοιαύτας κομψείας ἐᾷς ἂν χαίρειν, παρεὶς ἀποκρίνασθαι τοῖς σεαυτοῦ σοφωτέροις· σὺ δὲ δεδιὼς ἂν τὸ λεγόμενον τὴν σαυτοῦ σκιὰν καὶ τὴν ἀπειρίαν, ἐχόμενος ἐκείνου τοῦ ἀσφαλοῦς τῆς ὑποθέσεως, οὕτως ἀποκρίναιο ἄν; εἰ δέ τις αὐτῆς τῆς ὑποθέσεως ἔχοιτο, χαίρειν ἐᾷς ἂν καὶ οὐκ ἀποκρίναιο ἕως ἂν τὰ ἀπ' ἐκείνης ὁρμηθέντα σκέψαιο, εἴ σοι ἀλ- 1(
λήλοις ξυμφωνεῖ ἢ διαφωνεῖ; ἐπειδὴ δὲ ἐκείνης αὐτῆς δέοι σε διδόναι λόγον, ὡσαύτως ἂν διδοίης, ἄλλην αὖ ὑπόθεσιν ὑποθέμενος, ἥ τις τῶν ἄνωθεν βελτίστη φαίνοιτο, ἕως ἐπί τι ἱκανὸν ἔλθοις, ἅμα δὲ οὐκ ἂν φύροιο ὥς περ οἱ ἀντιλογικοὶ περί τε τῆς ἀρχῆς διαλεγόμενος καὶ τῶν ἐξ ἐκείνης ὡρμημένων, εἴ περ βούλοιό τι τῶν ὄντων εὑρεῖν; ἐκείνοις μὲν γὰρ ἴσως οὐδὲ εἷς περὶ τούτου λόγος οὐδὲ φροντίς· ἱκανοὶ γὰρ ὑπὸ σοφίας ὁμοῦ πάντα κυκῶντες ὅμως δύνασθαι αὐτοὶ αὑτοῖς ἀρέ-
102 σκειν· σὺ δ' εἴ περ εἴ τῶν φιλοσόφων, οἶμαι, ἂν ὡς ἐγὼ

sam, cur duo fiant, praeter duitatis ipsius participationem: sed oportere huius participia fore, quaecunque futura sunt duo: et similiter unitatis, quodcunque futurum sit unum? Has vero divisiones adiunctionesque et ceteras eiusmodi argutias valere sineres; relinqueresque sapientioribus te, per eas pro arbitrio responsuris: tu vero tuam, quemadmodum dici solet, metuens umbram et imperitiam, atque innixus tutissimae illi positioni, sic utique responderes? at vero, si quis eandem positionem complexus instaret, valere sineres; neque prius responderes quam, quae inde manant, considerasses, utrum consonent invicem aut dissonent? Ubi vero illius ipsius rationem oporteret afferre, eodem modo afferres, atque aliam rursus positionem adduceres, quae superiorum optima videretur, quoad ad aliquid sufficiens pervenires? Nunquam vero simul confunderes contentiosorum more, ubi et de principio et de his, quae a principio deducuntur, disputas; si modo velles eorum aliquid, quae vere sunt, invenire? nam illis fortasse nullus hac de re sermo est, nulla cura. Possunt enim prae sapientia et simul omnia commiscere et tamen sibimet placere. Tu vero, si ex philosophorum numero es, quae dico, ut arbitror, fa—

λέγω ποιοῖς. Ἀληθέστατα, ἔφη, λέγεις, ὅ τε Σιμμίας ἅμα καὶ ὁ Κέβης.

ΕΧ. Νὴ Δία, ὦ Φαίδων, εἰκότως γε· θαυμαστῶς γάρ μοι δοκεῖ ὡς ἐναργῶς τῷ καὶ σμικρὸν νοῦν ἔχοντι εἰπεῖν ἐκεῖνος ταῦτα.

ΦΑΙΔ. Πάνυ μὲν οὖν, ὦ Ἐχέκρατες, καὶ πᾶσι τοῖς παροῦσιν ἔδοξεν.

ΕΧ. Καὶ γὰρ ἡμῖν τοῖς ἀποῦσι, νῦν δὲ ἀκούουσιν. ἀλλὰ τίνα δὴ ἦν τὰ μετὰ ταῦτα λεχθέντα;

ΦΑΙΔ. Ὡς μὲν ἐγὼ οἶμαι, ἐπεὶ αὐτῷ ταῦτα ξυνεχωρήθη, καὶ ὡμολογεῖτο εἶναί τι ἕκαστον τῶν εἰδῶν καὶ τούτων τἆλλα μεταλαμβάνοντα αὐτῶν τούτων τὴν ἐπωνυμίαν ἴσχειν, τὸ δὴ μετὰ ταῦτα ἠρώτα, Εἰ δή, ἦ δ' ὅς, ταῦτα οὕτω λέγεις, ἆρ' οὐχ, ὅταν Σιμμίαν Σωκράτους φῇς μείζω εἶναι, Φαίδωνος δὲ ἐλάττω, λέγεις τότ' εἶναι ἐν τῷ Σιμμίᾳ ἀμφότερα, καὶ μέγεθος καὶ σμικρότητα; Ἔγωγε. Ἀλλὰ γάρ, ἦ δ' ὅς, ὁμολογεῖς τὸ τὸν Σιμμίαν ὑπερέχειν Σωκράτους οὐχ ὡς τοῖς ῥήμασι λέγεται, οὕτω καὶ τὸ ἀληθὲς ἔχειν; οὐ γάρ που πεφυκέναι Σιμμίαν ὑπερέχειν τούτῳ τῷ Σιμμίαν εἶναι, ἀλλὰ τῷ μεγέθει ὃ τυγχάνει ἔχων· οὐδ' αὖ Σωκράτους ὑπερέχειν ὅτι Σωκράτης ὁ Σωκράτης ἐστίν,

cien. *Sim. et Ce.* Verissima loqueris. *Ech.* Per Iovem, o Phaedon, merito admodum consenserunt. mirifice enim ille mihi videtur rem ipsam vel hebetissimo cuique explanasse. *Phae.* Sic prorsus, o Echecrates, praesentibus omnibus similiter visum fuit. *Ech.* Quid mirum? cum nobis quoque, qui non interfuimus, nunc similiter audientibus videatur. Verum quaenam post haec dicta fuerunt? *Phae.* Ut equidem arbitror, postquam haec illi Socrati concesserunt, concesseruntque, speciem quamlibet aliquid esse, et quae harum participia sunt, ipsarum denominationem habere; deinceps hunc in modum interrogavit. Si haec ita se habent, nonne, quando Simmiam dicis Socrate quidem maiorem esse, Phaedone vero minorem, tunc affirmas in Simmia utrumque esse, et magnitudinem simul et parvitatem? *Ce.* Equidem. *So.* Attamen Simmiam confiteris excedere Socratem, non ita revera, ut verba sonant. non enim ita natura institutum esse existimas Simmiam, ut ea ratione superet, qua est Simmias; sed magnitudine, quam habet: neque rursus Socratem, eo quod Socrates est, excedi; sed quia parvitatem

ἀλλ' ὅτι σμικρότητα ἔχει ὁ Σωκράτης πρὸς τὸ ἐκείνου μέγεθος. Ἀληθῆ. Οὐδέ γε αὖ ὑπὸ Φαίδωνος ὑπερέχεσθαι τῷ ὅτι Φαίδων ὁ Φαίδων ἐστίν, ἀλλ' ὅτι μέγεθος ἔχει ὁ Φαίδων πρὸς τὴν Σιμμίου σμικρότητα; Ἔστι ταῦτα. Οὕτως ἄρα ὁ Σιμμίας ἐπωνυμίαν ἔχει σμικρός τε καὶ μέγας εἶναι, ἐν μέσῳ ὢν ἀμφοτέρων, τοῦ μὲν τῷ μεγέθει ὑπερέχειν τὴν σμικρότητα ὑπερέχων, τῷ δὲ τὸ μέγεθος τῆς σμικρότητος παρέχων ὑπερέχον. Καὶ ἅμα μειδιάσας, Ἔοικα, ἔφη, καὶ ξυγγραφικῶς ἐρεῖν, ἀλλ' οὖν ἔχει γέ που ὡς λέγω. Ξυνέφη. Λέγω δὲ 10
ταῦτ' ἕνεκα, βουλόμενος δόξαι σοὶ ὅ περ ἐμοί. ἐμοὶ γὰρ φαίνεται οὐ μόνον αὐτὸ τὸ μέγεθος οὐδέποτ' ἐθέλειν ἅμα μέγα καὶ σμικρὸν εἶναι, ἀλλὰ καὶ τὸ ἐν ἡμῖν μέγεθος οὐδέποτε προσδέχεσθαι τὸ σμικρὸν οὐδ' ἐθέλειν ὑπερέχεσθαι, ἀλλὰ δυεῖν τὸ ἕτερον, ἢ φεύγειν καὶ ὑπεκχωρεῖν ὅταν αὐτῷ προσίῃ τὸ ἐναντίον, τὸ σμικρόν, ἢ προσελθόντος ἐκείνου ἀπολωλέναι· ὑπομένον δὲ καὶ δεξάμενον τὴν σμικρότητα οὐκ ἐθέλειν εἶναι ἕτερον ἢ ὅ περ ἦν, ὥς περ ἐγὼ δεξάμενος καὶ ὑπομείνας τὴν σμικρότητα, καὶ ἔτι ὢν ὅς περ εἰμί, οὗτος ὁ αὐτὸς 20
σμικρός εἰμι· ἐκεῖνο δὲ οὐ τετόλμηκε μέγα ὂν σμικρὸν

prae magnitudine illius habeat. *Ce.* Vera loqueris. *So.* Similiter nec a Phaedone superari, eo quod Phaedon sit Phaedon; sed quia Phaedon prae Simmiae parvitate magnitudinem habet. *Ce.* Ita est. *So.* Sic itaque Simmias denominationem parvi habet et magni: siquidem in amborum medio positus, alterius quidem parvitatem magnitudine superat, alterius vero magnitudini parvitate cedit. Et simul subridens inquit: Videor equidem affectatius descripsisse: verumtamen est, ut dico. *Ce.* Sic apparet. *So.* Dico autem propterea, quia cupio videri tibi, quod et mihi videtur. Opinor enim, non solum magnitudinem ipsam nunquam velle magnam simul parvamque esse; verum etiam neque hanc, quae in nobis est, magnitudinem unquam recipere parvitatem, neque superari velle: sed e duobus alterum accidere: vel fugere seque subtrahere, quando adventat contraria parvitas; vel cum advenerit, interire: nolle autem exspectare, atque in parvitate recipienda aliud esse quam erat, quemadmodum ego, cum susceperim sustinuerimque parvitatem, quamdiu is ipse sum, qui sum, sic ipsemet sum parvus. Illud autem, magnum quod ipsum est, nunquam sustinuit esse

εἶναι. ὡς δ' αὕτως καὶ τὸ σμικρὸν τὸ ἐν ἡμῖν οὐκ ἐθέλει ποτὲ μέγα γίγνεσθαι οὐδὲ εἶναι, οὐδὲ ἄλλο οὐδὲν τῶν ἐναντίων ἔτι ὃν ὃ περ ἦν ἅμα τοὐναντίον γίγνεσθαί τε καὶ εἶναι, ἀλλ' ἤτοι ἀπέρχεται ἢ ἀπόλ- 103
λυται ἐν τούτῳ τῷ παθήματι. Παντάπασιν, ἔφη ὁ Κέβης, οὕτω φαίνεταί μοι. Καί τις εἶπε τῶν παρόντων ἀκούσας — ὅς τις δ' ἦν, οὐ σαφῶς μέμνημαι — Πρὸς θεῶν, οὐκ ἐν τοῖς πρόσθεν ἡμῖν λόγοις αὐτὸ τὸ ἐναντίον τῶν νυνὶ λεγομένων ὡμολογεῖτο, ἐκ τοῦ ἐλάττονος τὸ μεῖζον γίγνεσθαι καὶ ἐκ τοῦ μείζονος τὸ ἔλαττον, καὶ ἀτεχνῶς αὕτη εἶναι ἡ γένεσις τοῖς ἐναντίοις ἐκ τῶν ἐναντίων; νῦν δέ μοι δοκεῖ λέγεσθαι ὅτι τοῦτο οὐκ ἂν ποτε γένοιτο. Καὶ ὁ Σωκράτης παραβαλὼν τὴν κεφαλὴν καὶ ἀκούσας, Ἀνδρικῶς, ἔφη, ἀπεμνημόνευκας, οὐ μέντοι ἐννοεῖς τὸ διαφέρον τοῦ τε νῦν λεγομένου καὶ τοῦ τότε. τότε μὲν γὰρ ἐλέγετο ἐκ τοῦ ἐναντίου πράγματος τὸ ἐναντίον πρᾶγμα γίγνεσθαι, νῦν δὲ ὅτι αὐτὸ τὸ ἐναντίον ἑαυτῷ ἐναντίον οὐκ ἂν ποτε γένοιτο, οὔτε τὸ ἐν ἡμῖν οὔτε τὸ ἐν τῇ φύσει. τότε μὲν γάρ, ὦ φίλε, περὶ τῶν ἐχόντων τὰ ἐναντία ἐλέγομεν, ἐπονομάζοντες αὐτὰ τῇ ἐκείνων ἐπωνυμίᾳ, νῦν δὲ περὶ ἐκείνων αὐτῶν ὧν ἐνόντων ἔχει τὴν ἐπω-

parvum. similiter parvum, quod est in nobis, nunquam vult magnum aut fieri aut esse: neque aliud quicquam contrariorum, quamdiu est id, quod erat, patitur simul contrarium fieri aut esse; sed aut abit aut perit, cum adventat contrarium. *Ce.* Ita prorsus existimo. *Phae.* Tunc quidam eorum, qui aderant, haec audiens, (quis autem ille fuerit, non satis memini,) Dii boni, inquit, nonne in superioribus contrarium eorum, quae dicuntur, nobis est concessum, videlicet ex minori maius fieri atque ex maiori minus; esseque procul dubio generationem contrariorum ex contrariis? nunc autem videmini, fieri id non posse, dicere. Cum vero Socrates, admovens caput, auscultasset, Viriliter, inquit, id recordatus es: non tamen intelligis differentiam inter id, quod modo dictum est, atque illud superius. Tunc enim dicebatur, ex contraria re rem contrariam fieri: nunc vero contrarium ipsum sibimet contrarium fieri nunquam; neque quod in nobis, neque quod in natura contrarium est. tunc quidem, o amice, de his, quae habent contraria, dicebamus, haeç illorum cognomine appellantes. at nunc de illis ipsis loquimur, quae his

νυμίαν τὰ ὀνομαζόμενα· αὐτὰ δ' ἐκεῖνα οὐκ ἄν ποτέ φαμεν ἐθελῆσαι γένεσιν ἀλλήλων δέξασθαι. Καὶ ἅμα βλέψας εἰς τὸν Κέβητα εἶπεν, Ἆρα μή που, ἔφη, ὦ Κέβης, καὶ σέ τι τούτων ἐτάραξεν ὧν ὅδε εἶπεν; Οὐδ' αὖ, ἔφη ὁ Κέβης, οὕτως ἔχω· καί τοι οὔ τι λέγω ὡς οὐ πολλά με ταράττει. Ξυνωμολογήκαμεν ἄρα, ἦ δ' ὅς, ἁπλῶς τοῦτο, μηδέποτε ἐναντίον ἑαυτῷ τὸ ἐναντίον ἔσεσθαι. Παντάπασιν, ἔφη. Ἔτι δή μοι καὶ τόδε σκέψαι, ἔφη, εἰ ἄρα ξυνομολογήσεις. Θερμόν τι καλεῖς καὶ ψυχρόν; Ἔγωγε. Ἆρ' ὅ περ χιόνα καὶ πῦρ; Μὰ Δί' οὐκ ἔγωγε. Ἀλλ' ἕτερόν τι πυρὸς τὸ θερμὸν καὶ ἕτερόν τι χιόνος τὸ ψυχρόν; Ναί. Ἀλλὰ τόδε γ' οἶμαι δοκεῖ σοι, οὐδέποτε χιόνα γ' οὖσαν, δεξαμένην τὸ θερμόν, ὥς περ ἐν τοῖς ἔμπροσθεν ἐλέγομεν, ἔτι ἔσεσθαι ὅ περ ἦν, χιόνα καὶ θερμόν, ἀλλὰ προσιόντος τοῦ θερμοῦ ἢ ὑπεκχωρήσειν αὐτῷ ἢ ἀπολεῖσθαι. Πάνυ γε. Καὶ τὸ πῦρ γε αὖ προσιόντος τοῦ ψυχροῦ αὐτῷ ἢ ὑπεξιέναι ἢ ἀπολεῖσθαι, οὐ μέντοι ποτὲ τολμήσειν δεξάμενον τὴν ψυχρότητα ἔτι εἶναι ὅ περ ἦν, πῦρ καὶ ψυχρόν. Ἀληθῆ, ἔφη, λέγεις. Ἔστιν ἄρ', ἦ δ' ὅς, περὶ ἔνια τῶν τοιούτων, ὥστε μὴ μόνον αὐτὸ τὸ εἶδος ἀξιοῦσθαι τοῦ αὐ-

insunt, quorumve praesentia cognomen habent ea, quae nominantur. Illa vero ipsa dicimus nunquam velle mutuam inter se generationem suscipere. Et simul Cebetem intuitus, inquit: Num te quoque, Cebes, aliquid eorum, quae nunc obiecta sunt, perturbavit? *Ce.* Haud equidem ita sum affectus: ac tibi affirmo non multum me turbari. *So.* Id ergo simpliciter confessi sumus, contrarium nunquam sibimet fore contrarium. *Ce.* Omnino. *So.* Adverte praeterea, nunquid et in hoc mecum sentias, vocasne aliquid calorem atque frigus? *Ce.* Voco equidem. *So.* Num tanquam nivem atque ignem? *Ce.* Non, per Iovem. *So.* An aliud quiddam calorem esse quam ignem, et aliud frigus quam nivem? *Ce.* Ita. *So.* Sed hoc quoque tibi videri puto, nivem, quamdiu nix est, nunquam suscepturam esse calorem, quemadmodum in superioribus dicebamus: ac, esse nivem, ut erat prius, simulque calidam: sed adventante calore aut subterfugere aut interire. *Ce.* Penitus. *So.* Similiter et ignem subintrante frigore aut subterfluere aut extingui; nec unquam posse et suscipere frigus et simul esse ignem, sicut prius erat, et frigidum. *Ce.* Vera narras. *So.* Sunt igitur quaedam eiusmodi, ut non solum speciem ipsam nomine suo dignentur per omne

τοῦ ὀνόματος εἰς τὸν ἀεὶ χρόνον, ἀλλὰ καὶ ἄλλο τι, ὃ ἔστι μὲν οὐκ ἐκεῖνο, ἔχει δὲ τὴν ἐκείνου μορφὴν ἀεὶ ὅταν περ ᾖ. ἔτι δ' ἐν τοῖσδε ἴσως ἔσται σαφέστερον ὃ λέγω· τὸ γὰρ περιττὸν ἀεί που δεῖ τούτου τοῦ ὀνόματος τυγχάνειν, ὅ περ νῦν λέγομεν· ἢ οὔ; Πάνυ γε. Ἆρα μόνον τῶν ὄντων, τοῦτο γὰρ ἐρωτῶ, ἢ καὶ ἄλλο τι; ὃ ἔστι μὲν οὐχ ὅ περ τὸ περιττόν, ὅμως δὲ δεῖ 104
αὐτὸ μετὰ τοῦ ἑαυτοῦ ὀνόματος καὶ τοῦτο καλεῖν ἀεί, διὰ τὸ οὕτω πεφυκέναι ὥστε τοῦ περιττοῦ μηδέποτε
10 ἀπολείπεσθαι; λέγω δὲ αὐτὸ εἶναι οἷον καὶ ἡ τριὰς πέπονθε καὶ ἄλλα πολλά. σκόπει δὲ περὶ τῆς τριάδος· ἆρά σοι δοκεῖ τῷ τε αὐτῆς ὀνόματι ἀεὶ προσαγορευτέα εἶναι καὶ τῷ τοῦ περιττοῦ, ὄντος οὐχ οὗ περ τῆς τριάδος; ἀλλ' ὅμως οὕτω πως πέφυκε καὶ ἡ τριὰς καὶ ἡ πεμπτὰς καὶ ὁ ἥμισυς τοῦ ἀριθμοῦ ἅπας; ὥστε οὐκ ὢν ὅ περ τὸ περιττὸν ἀεὶ ἕκαστος αὐτῶν ἐστὶ περιττός. καὶ αὖ τὰ δύο καὶ τὰ τέτταρα καὶ ἅπας ὁ ἕτερος αὖ στίχος τοῦ ἀριθμοῦ οὐκ ὢν ὅ περ τὸ ἄρτιον, ὅμως ἕκαστος αὐτῶν ἄρτιός ἐστιν ἀεί. ξυγχωρεῖς ἢ οὔ;
20 Πῶς γὰρ οὔκ; ἔφη. Ὅ τοίνυν, ἔφη, βούλομαι δηλῶσαι, ἄθρει. ἔστι δὲ τόδε, ὅτι φαίνεταί οὐ μόνον ἐκεῖ-

tempus, sed et aliud quiddam: quod quidem non est primum illud, habet vero, quamdiu est, illius formam. In hoc rursus tibi, quod volo, forte manifestius erit. Impar enim semper oportet nomen id, quod nunc dicimus, possidere. nonne? *Ce.* Oportet sane. *So.* Num id solum ex omnibus? hoc enim quaero: an et aliud quiddam, quod quidem est non idipsum impar, attamen hoc oportet una cum suo nomine hoc insuper nomine alio semper appellari; propterea quod ita natura sit institutum, ut nunquam ab impari deseratur? Dico autem, hoc affectum esse ceu ternarium aliaque permulta. Considera vero de ternario. an non tibi videtur, hunc et sui ipsius nomine semper nuncupandum esse et simul nomine imparis? quod quidem impar non idem est, quod est ternarius. Veruntamen ita natura comparatus est et ternarius et quinarius et omnis medietas numeri, ut quamvis non idem sit, quod impar, semper tamen eorum quivis est impar. Praeterea duo et quatuor omnisque alter numeri ordo, quamvis idem quod par non sit, simul tamen quilibet illorum par semper existit. concedis, necne? *Ce.* Quidni? *So.* Contemplare ergo, quid velim. est autem ejusmodi. Viden-

να τὰ ἐναντία ἄλληλα οὐ δεχόμενα, ἀλλὰ καὶ ὅσα οὐκ ὄντα ἀλλήλοις ἐναντία ἔχει ἀεὶ τἀναντία, οὐδὲ ταῦτα ἔοικε δεχομένοις ἐκείνην τὴν ἰδέαν ἢ ἂν τῇ ἐν αὐτοῖς οὔσῃ ἐναντία ᾖ, ἀλλ' ἐπιούσης αὐτῆς ἤτοι ἀπολλύμενα ἢ ὑπεκχωροῦντα. ἢ οὐ φήσομεν τὰ τρία καὶ ἀπολεῖσθαι πρότερον καὶ ἄλλο ὁτιοῦν πείσεσθαι, πρὶν ὑπομεῖναι ἔτι τρία ὄντα ἄρτια γενέσθαι; Πάνυ μὲν οὖν, ἔφη ὁ Κέβης. Οὐδὲ μήν, ἦ δ' ὅς, ἐναντίον γ' ἐστὶ δυὰς τριάδι. Οὐ γὰρ οὖν. Οὐκ ἄρα μόνον τὰ εἴδη τὰ ἐναντία οὐχ ὑπομένει ἐπιόντα ἄλληλα, ἀλλὰ καὶ ἄλλ' ἄττα τὰ ἐναντία οὐχ ὑπομένει ἐπιόντα. Ἀληθέστατα, ἔφη, λέγεις. Βούλει οὖν, ἦ δ' ὅς, ἐὰν οἷοί τε ὦμεν, ὁρισώμεθα ὁποῖα ταῦτ' ἐστίν; Πάνυ γε. Ἆρ' οὖν, ἔφη, ὦ Κέβης, τάδε εἴη ἄν, ἃ ὅ τι ἂν κατάσχῃ, μὴ μόνον ἀναγκάζει τὴν αὑτοῦ ἰδέαν αὐτὸ ἴσχειν, ἀλλὰ καὶ ἐναντίου ἀεὶ αὐτῷ τινός; Πῶς λέγεις; Ὡς περ ἄρτι ἐλέγομεν. οἶσθα γὰρ δή που ὅτι ἃ ἂν ᾖ τῶν τριῶν ἰδέα κατάσχῃ, ἀνάγκη αὐτοῖς οὐ μόνον τρισὶν εἶναι ἀλλὰ καὶ περιττοῖς; Πάνυ γε. Ἐπὶ τὸ τοιοῦτον δή, φαμέν, ἡ ἐναντία ἰδέα ἐκείνῃ τῇ μορφῇ ἥ ἂν τοῦτο ἀπεργάζηται, οὐδέποτ' ἂν ἔλθοι. Οὐ γάρ. Εἰργάζετο δέ γε ἡ

tur quidem non solum ipsa inter se contraria sese invicem non recipere; verum etiam, quaecunque talia sunt, ut licet contraria inter se non sint, semper tamen contraria possideant, nunquam recipere speciem illam, quae ipsi speciei, quam in se habent, contraria sit: sed hac adveniente aut perire protinus aut abire. an non dicemus tria et deficere et aliud quodvis pati, prius quam sustinere, ut, quatenus tria sunt, paria fiant? *Ce.* Ita prorsus. *So.* Non tamen contraria est duitas trinitati. *Ce.* Non certe. *So.* Non solum ergo species ipsae contrariae nunquam invicem se recipiunt: sed etiam alia quaedam contrariorum ingressum mutuum non suscipiunt. *Ce.* Verissima narras. *So.* Visne igitur haec, si possumus, qualia sint, definiamus? *Ce.* Volo equidem. *So.* An non, Cebes, haec erunt, quae, quodcunque occupant, tale reddunt, ut non solum sui ipsius ideam retinere cogatur, sed etiam contrario illi sit opus? *Ce.* Quonam pacto dicis? *So.* Quemadmodum paulo ante dicebamus. scis enim, quae trium continentur idea, oportere non solum tria, sed etiam imparia esse. *Ce.* Certe. *So.* Ad hoc tale utique dicebamus ideam contrariam formae illi, quae id perficit, nunquam accedere. *Ce.* Nunquam. *So.* Perfecit autem imparis idea.

περιττῇ; Ναί. Ἐναντία δὲ ταύτῃ ἡ τοῦ ἀρτίου; Ναί. Ἐπὶ τὰ τρία ἄρα ἡ τοῦ ἀρτίου ἰδέα οὐδέποτε ἥξει; Οὐ δῆτα. Ἄμοιρα δὴ τοῦ ἀρτίου τὰ τρία; Ἄμοιρα. Ἀνάρτιος ἄρα ἡ τριάς; Ναί. Ὃ τοίνυν ἔλεγον ὁρίσασθαι, ποῖα οὐκ ἐναντία τινὶ ὄντα ὅμως οὐ δέχεται αὐτὸ [τὸ ἐναντίον], οἷον νῦν ἡ τριὰς τῷ ἀρτίῳ οὐκ οὖσα ἐναντία οὐδέν τι μᾶλλον αὐτὸ δέχεται, τὸ γὰρ ἐναντίον αὐτῷ ἀεὶ ἐπιφέρει, καὶ ἡ δυὰς τῷ περιττῷ καὶ τὸ πῦρ τῷ ψυχρῷ καὶ ἄλλα πάμπολλα, ἀλλ' ὅρα δὴ εἰ οὕτως 105
ὁρίζει, μὴ μόνον τὸ ἐναντίον τὸ ἐναντίον μὴ δέχεσθαι, ἀλλὰ καὶ ἐκεῖνο ὃ ἂν ἐπιφέρῃ τι ἐναντίον ἐκείνῳ ἐφ' ὅ τι ἂν αὐτὸ ᾖ, αὐτὸ τὸ ἐπιφέρον τὴν τοῦ ἐπιφερομένου ἐναντιότητα μηδέποτε δέξασθαι. πάλιν δὲ ἀναμιμνήσκου· οὐ γὰρ χεῖρον πολλάκις ἀκούειν. τὰ πέντε τὴν τοῦ ἀρτίου οὐ δέξεται, οὐδὲ τὰ δέκα τὴν τοῦ περιττοῦ, τὸ διπλάσιον. τοῦτο μὲν οὖν καὶ αὐτὸ ἄλλῳ ἐναντίον, ὅμως δὲ τὴν τοῦ περιττοῦ οὐ δέξεται· οὐδὲ δὴ τὸ ἡμιόλιον οὐδὲ τἆλλα τὰ τοιαῦτα, τὸ ἥμισυ, τὴν τοῦ ὅλου, καὶ τριτημόριον αὖ καὶ πάντα τὰ τοιαῦτα,

Ce. Haec ipsa. *So.* Contraria vero huic paris idea. *Ce.* Ita est. *So.* Ergo ternario numero idea paris se nunquam insinuabit. *Ce.* Nunquam. *So.* Quapropter ternarius numerus paris est expers. *Ce.* Expers. *So.* Trinitas ergo est necessario impar. *Ce.* Est. *So.* Quod ergo definiendum assumpseram, qualia videlicet sint, quae, etsi alicui non sunt contraria, ipsum tamen contrarium non admittunt, perinde se habet, ut trinitas: quae cum pari non sit contraria, nihilo tamen magis ipsum accipit, propterea quod semper eius contrarium affert. similiterque binarius ad impar, et ignis se habet ad frigidum, aliaque quam plurima. At vide iam, num ita definiendum putes, ut non modo contrarium non admittat contrarium, verum etiam illud, quod aliquid afferat contrarium illi, ad quod ipsum accedat, ipsum videlicet quod affert, nunquam contrariam eius, quae affertur, recipiat formam. Rursus autem recordare: neque enim inutile saepius admonere. Neque quinque paris speciem admittent; neque decem imparis, quod est duplum. hoc quidem ipsum alii contrarium, speciem tamen imparis accipiet nunquam. neque etiam numerus sesquialter, neque alia huiusmodi, quae dimidium habent, formam totius suscipiunt; similiterque numerus, qui partem habet tertiam, atque eiusdem generis alia: si modo

εἴ περ ἔπει τε καὶ ξυνδοκεῖ σοι οὕτως. Πάνυ σφόδρα καὶ ξυνδοκεῖ, ἔφη, καὶ ἕπομαι. Πάλιν δή μοι, ἔφη, ἐξ ἀρχῆς λέγε. καὶ μή μοι ᾧ ἂν ἐρωτῶ ἀποκρίνου, ἀλλ' ἄλλῳ, μιμούμενος ἐμέ. λέγω δὲ παρ' ἣν τὸ πρῶτον ἐλεγον ἀπόκρισιν, τὴν ἀσφαλῆ ἐκείνην, ἐκ τῶν νῦν λεγομένων ἄλλην ὁρῶν ἀσφάλειαν. εἰ γὰρ ἔροιό με ᾧ ἂν τί ἐν τῷ σώματι ἐγγένηται, θερμὸν ἔσται, οὐ τὴν ἀσφαλῆ σοι ἐρῶ ἀπόκρισιν ἐκείνην τὴν ἀμαθῆ, ὅτι ᾧ ἂν θερμότης, ἀλλὰ κομψοτέραν ἐκ τῶν νῦν, ὅτι ᾧ ἂν πῦρ· οὐδὲ ἂν ἔρῃ, ᾧ ἂν σώματι τί ἐγγένηται, νοσήσει, οὐκ ἐρῶ ὅτι ᾧ ἂν νόσος, ἀλλ' ᾧ ἂν πυρετός· οὐδ' ᾧ ἂν ἀριθμῷ τί ἐγγένηται, περιττὸς ἔσται, οὐκ ἐρῶ ᾧ ἂν περιττότης ἀλλ' ᾧ ἂν μονάς, καὶ τἆλλα οὕτως. ἀλλ' ὅρα εἰ ἤδη ἱκανῶς οἶσθ' ὅ τι βούλομαι. Ἀλλὰ πάνυ ἱκανῶς, ἔφη. Ἀποκρίνου δή, ἦ δ' ὅς, ᾧ ἂν τί ἐγγένηται σώματι, ζῶν ἔσται; Ὡι ἂν ψυχή, ἔφη. Οὐκοῦν ἀεὶ τοῦτο οὕτως ἔχει; Πῶς γὰρ οὐχί; ἦ δ' ὅς. Ἡ ψυχὴ ἆρα ὅ τι ἂν αὐτὴ κατάσχῃ, ἀεὶ ἥκει ἐπ' ἐκεῖνο φέρουσα ζωήν; Ἥκει μέντοι, ἔφη. Πότερον δ' ἔστι τι ζωῇ ἐναντίον ἢ οὐδέν; Ἔστιν, ἔφη. Τί; Θάνατος. Οὐκοῦν ἡ ψυχὴ τὸ ἐναντίον ᾧ αὐτὴ ἐπιφέρει ἀεί, οὐ

assequeris ita atque consentis. *Ce.* Omnino equidem consentio atque assequor. *So.* Rursus tanquam a principio mihi dicas. nec tamen per id, quod nunc interrogo, sed per aliud quiddam mihi respondeas, me imitatus. dico autem praeter tutam responsionem illam a principio positam, iuxta tutam quoque responsionem aliam per ea, quae modo dicta sunt, adinventam. Nempe si me interroges, O Socrates, quidnam in corpore si sit, calescet corpus: non tutam responsionem illam rudemque tibi dabo, videlicet si caliditas; sed exquisitiorem ex praesentibus verbis, ut si insit ignis. Similiter si me interroges, quid si in corpore sit, aegrotabit: non respondebo, si aegrotatio; sed si febris. Rursus si perconteris, quid si insit numero, fuerit impar: non dicam, si imparitas, immo si unitas; atque in ceteris eodem pacto. Sed vide, an dum, quid velim, plane cognoveris. *Ce.* Planissime. *So.* Responde igitur: quidnam si in corpore sit, erit vivum? *Ce.* Si anima. *So.* Nonne id semper ita se habet? *Ce.* Semper. *So.* Anima igitur quicquid occupat, semper ad illud vitam affert? *Ce.* Affert procul dubio. *So.* An est aliquid vitae contrarium, necne? *Ce.* Est utique. *So.* Quid istud? *Ce.* Mors. *So.* Anima vero contrarium eius, quod ipsa semper

μὴ ποτε δέξηται, ὡς ἐκ τῶν πρόσθεν ὡμολόγηται; Καὶ μάλα, ἔφη, σφόδρα, ὁ Κέβης. Τί οὖν; τὸ μὴ δεχόμενον τὴν τοῦ ἀρτίου ἰδέαν τί νῦν δὴ ὠνομάζομεν; Ἀνάρτιον, ἔφη. Τὸ δὲ δίκαιον μὴ δεχόμενον καὶ ὃ ἂν μουσικὸν μὴ δέχηται; Ἄμουσον, ἔφη, τὸ δὲ ἄδικον. Εἶεν· ὃ δ' ἂν θάνατον μὴ δέχηται, τί καλοῦμεν; Ἀθάνατον, ἔφη. Οὐκοῦν ἡ ψυχὴ οὐ δέχεται θάνατον; Οὔ. Ἀθάνατον ἄρα ἡ ψυχή; Ἀθάνατον. Εἶεν, ἔφη· τοῦτο μὲν δὴ ἀποδεδεῖχθαι φῶμεν; ἢ πῶς δοκεῖ; Καὶ μάλα γε ἱκανῶς, ὦ Σώκρατες. Τί οὖν, ἢ δ' ὅς, ὦ Κέβης; εἰ τῷ ἀναρτίῳ ἀναγκαῖον ἦν ἀνωλέθρῳ εἶναι, ἄλλο τι τὰ τρία ἀνώλεθρα ἂν ἦν; Πῶς γὰρ οὔ; 106 Οὐκοῦν εἰ καὶ τὸ ἄθερμον ἀναγκαῖον ἦν ἀνώλεθρον εἶναι, ὁπότε τις ἐπὶ χιόνα θερμὸν ἐπαγάγοι, ὑπεξῄει ἂν ἡ χιὼν οὖσα σῶς καὶ ἄτηκτος; οὐ γὰρ ἂν ἀπώλετό γε, οὐδ' αὖ ὑπομένουσα ἐδέξατ' ἂν τὴν θερμότητα. Ἀληθῆ, ἔφη, λέγεις. Ὡς δ' αὕτως, οἶμαι, κἂν εἰ τὸ ἄψυκτον ἀνώλεθρον ἦν, ὁπότε ἐπὶ τὸ πῦρ ψυχρόν τι ἐπίοι, οὔ ποτ' ἂν ἀπεσβέννυτο οὐδ' ἀπώλλυτο, ἀλλὰ σῶν ἂν ἀπελθὸν ᾤχετο. Ἀνάγκη, ἔφη. Οὐκοῦν καὶ ὧδε, ἔφη, ἀνάγκη περὶ τοῦ ἀθανάτου εἰπεῖν; εἰ μὲν τὸ

adducit, subibit nunquam, quemadmodum ex superioribus est concessum. *Ce.* Sic est omnino. *So.* Quid vero? quod paris ideam non accipit, quonam modo paulo ante nominabamus? *Ce.* Impar. *So.* Quod vero non accipit iustitiam, quodve non capit musicam? *Ce.* Iniustum dicimus et immusicum. *So.* Age iam, quod non subit mortem, quomodo appellabimus? *Ce.* Immortale. *So.* Et anima quidem mortem non suscipit. *Ce.* Nequaquam. *So.* Est igitur anima immortalis. *Ce.* Immortalis quidem. *So.* Age utique, hocne iam demonstratum dicemus? an aliter tibi videtur? *Ce.* Et sufficientissime quidem, o Socrates. *So.* Quid ergo, Cebes? si necesse foret, quod omnino est impar, et imperdibile fore, nonne tria imperdibilia forent? *Ce.* Quidni? *So.* Praeterea, si, quod incalescibile sit, necesse foret imperdibile esse, quando quis ad nivem calidum admoveret, nix quidem incolumis illiquefactaque subterfugeret? neque enim vel periret vel permanens calorem admitteret. *Ce.* Vera narras. *So.* Simili, ut arbitror, ratione, si, quod infrigescibile, etiam imperdibile esset, quando in ignem adventat frigus, non exstingueretur et evanescerct ignis, sed abiret incolumis. *Ce.* Ita necesse foret. *So.* Eodem pacto de immortali quoque necesse est

ἀθάνατον καὶ ἀνώλεθρόν ἐστιν, ἀδύκατον ψυχῇ, ὅταν θάνατος ἐπ' αὐτὴν ἴῃ, ἀπόλλυσθαι· θάνατον μὲν γὰρ δὴ ἐκ τῶν προειρημένων οὐ δέξεται οὐδ' ἔσται τεθνηκυῖα, ὥς περ τὰ τρία οὐκ ἔσται, ἔφαμεν, ἄρτιον, οὐδέ γ' αὖ τὸ περιττόν, οὐδὲ δὴ τὸ πῦρ ψυχρόν, οὐδέ γε ἡ ἐν τῷ πυρὶ θερμότης. ἀλλὰ τί κωλύει, φαίη ἄν τις, ἄρτιον μὲν τὸ περιττὸν μὴ γίγνεσθαι ἐπιόντος τοῦ ἀρτίου, ὡς περ ὡμολόγηται, ἀπολλυμένου δὲ αὐτοῦ ἀντ' ἐκείνου ἄρτιον γεγονέναι; τῷ ταῦτα λέγοντι οὐκ ἂν ἔχοιμεν διαμάχεσθαι ὅτι οὐκ ἀπόλλυται· τὸ γὰρ ἀνάρτιον οὐκ ἀνώλεθρόν ἐστιν, ἐπεὶ εἰ τοῦτο ὡμολόγητο ἡμῖν, ῥᾳδίως ἂν διεμαχόμεθα ὅτι ἐπελθόντος τοῦ ἀρτίου τὸ περιττὸν καὶ τὰ τρία οἴχεται ἀπιόντα· καὶ περὶ πυρὸς καὶ θερμοῦ καὶ τῶν ἄλλων οὕτως ἂν διεμαχόμεθα. ἦ οὔ; Πάνυ μὲν οὖν. Οὐκοῦν καὶ νῦν περὶ τοῦ ἀθανάτου, εἰ μὲν ἡμῖν ὁμολογεῖται καὶ ἀνώλεθρον εἶναι, ψυχὴ ἂν εἴη πρὸς τῷ ἀθάνατος εἶναι καὶ ἀνώλεθρος· εἰ δὲ μή, ἄλλου ἂν δέοι λόγου. Ἀλλ' οὐδὲν δεῖ, ἔφη, τούτου γε ἕνεκα· σχολῇ γὰρ ἄν τι ἄλλο φθορὰν μὴ δέχοιτο, εἰ τό γε ἀθάνατον καὶ ἀΐδιον φθορὰν

dicamus. Si enim, quod est immortale, est etiam imperdibile, impossibile est animam imminente morte perire. Nam mortem quidem, quemadmodum ex superioribus constat, non recipiet neque interierit: quemadmodum ternarius nunquam, ut diximus, par erit: neque rursus impar erit par: neque ignis frigidus, neque caliditas, quae inest igni, frigiditas unquam erit. Ceterum dicet quispiam, quidnam prohibet, quo minus ipsum impar par quidem non fiat adveniente pari, quemadmodum inter nos convenit, attamen eo dissoluto par pro ipso succedat? Ita dicenti repugnare non valeremus, quin sit destructum. quippe cum non idem sit impar atque indissolubile. Alioquin si nobis id constitisset, facile obtineremus, invadente pari impar ternariumque salvum discedere. similiterque de igne et calido ceterisque assereremus. nonne ita? *Ce.* Prorsus. *So.* Iam vero de immortali, si nobis id constat, quod est immortale, esse etiam imperdibile; consequens est, animam praeter id, quod est immortalis, imperdibilem quoque esse. sin vero minus id concedatur, ratione alia opus erit. *Ce.* Sed nihil opus est, quantum ad id spectat, alia ratione. Siquidem quidnam aliud indissolubile posset esse, si immortale ipsum et sempiternum dis-

δέξεται. Ὁ δέ γε θεός, οἶμαι, ἔφη ὁ Σωκράτης, καὶ αὐτὸ τὸ τῆς ζωῆς εἶδος καὶ εἴ τι ἄλλο ἀθάνατόν ἐστι, παρὰ πάντων ἂν ὁμολογηθείη μηδέποτε ἀπόλλυσθαι. Παρὰ πάντων μέντοι νὴ Δί', ἔφη, ἀνθρώπων τε καὶ ἔτι μᾶλλον, ὡς ἐγῷμαι, παρὰ θεῶν. Ὁπότε δὴ τὸ ἀθάνατον καὶ ἀδιάφθορόν ἐστιν, ἄλλο τι ψυχή, εἰ ἀθάνατος τυγχάνει οὖσα, καὶ ἀνώλεθρος ἂν εἴη; Πολλῇ ἀνάγκῃ. Ἐπιόντος ἄρα θανάτου ἐπὶ τὸν ἄνθρωπον τὸ μὲν θνητόν, ὡς ἔοικεν, αὐτοῦ ἀποθνήσκει, τὸ δ' ἀθάνατον σῶν καὶ ἀδιάφθορον οἴχεται ἀπιόν, ὑπεκχωρῆσαν τῷ θανάτῳ. Φαίνεται. Παντὸς μᾶλλον ἄρα, ἔφη, ὦ Κέβης, ψυχὴ ἀθάνατον καὶ ἀνώλεθρον, καὶ τῷ ὄντι 107
ἔσονται ἡμῶν αἱ ψυχαὶ ἐν Ἅιδου. Οὔκουν ἔγωγε, ὦ Σώκρατες, ἔφη, ἔχω παρὰ ταῦτα ἄλλο τι λέγειν οὐδέ πῃ ἀπιστεῖν τοῖς λόγοις. ἀλλ' εἰ δή τι Σιμμίας ὅδε ἤ τις ἄλλος ἔχει λέγειν, εὖ ἔχει μὴ κατασιγῆσαι, ὡς οὐκ οἶδα εἰς ὅν τιν' ἄν τις ἄλλον καιρὸν ἀναβάλλοιτο ἢ τὸν νῦν παρόντα, περὶ τῶν τοιούτων βουλόμενος ἤ τι εἰπεῖν ἢ ἀκοῦσαι. Ἀλλὰ μήν, ἦ δ' ὃς ὁ Σιμμίας, οὐδ' αὐτὸς ἔχω ἔτι ὅπῃ ἀπιστῶ ἔκ γε τῶν λεγομένων· ὑπὸ μέντοι τοῦ μεγέθους περὶ ὧν οἱ λόγοι εἰσί, καὶ τὴν ἀνθρωπίνην ἀσθένειαν ἀτιμάζων, ἀναγκάζομαι ἀπι-

solveretur? *So.* Deum vero et ipsam vitae speciem, et si quid aliud est immortale, indissolubile quoque esse omnes confiterentur. *Ce.* Universi, per Iovem, homines, et multo magis ipsi, ut arbitror, dii. *So.* Cum igitur, quod immortale est, etiam incorruptibile sit, quidnam prohibet animam, si fuerit immortalis, incorruptibilem quoque fore? *Ce.* Necessario sequitur. *So.* Imminente igitur homini morte, quod mortale quidem in eo est, interit: quod vero immortale, incorruptum sospesque morti se subtrahit. *Ce.* Manifestum est. *So.* Itaque maxime omnium, o Cebes, anima immortalis incorruptibilisque est; eruntque apud manes animae nostrae. *Ce.* Nihil equidem, o Socrates, adversus haec habeo, quo minus rationibus tuis assentiar. Verum si quid aut hic Simmias aut alius quisquam habet, quod dicat, operae pretium fuerit non siluisse. nescio enim, in quod aliud quis differat tempus, si quid de rebus eiusmodi vel dicere vel audire desideret. *Sim.* Atqui nec ego habeo quicquam, quo minus superioribus assentiar rationibus. Verumtamen rei ipsius, qua de agitur, magnitudinem et humanam imbecillitatem con-

στίαν ἔτι ἔχειν παρ' ἐμαυτῷ περὶ τῶν εἰρημένων. Οὐ μόνον γ', ἔφη, ὦ Σιμμία, ὁ Σωκράτης, ἀλλὰ ταῦτά τε εὖ λέγεις, καὶ τὰς ὑποθέσεις τὰς πρώτας, καὶ εἰ πισταὶ ὑμῖν εἰσίν, ὅμως ἐπισκεπτέαι σαφέστερον· καὶ ἐὰν αὐτὰς ἱκανῶς διέλητε, ὡς ἐγῷμαι, ἀκολουθήσετε τῷ λόγῳ, καθ' ὅσον δυνατὸν μάλιστα ἀνθρώπῳ ἑπακολουθῆσαι· κἂν τοῦτο αὐτὸ σαφὲς γένηται, οὐδὲν ζητήσετε περαιτέρω. Ἀληθῆ, ἔφη, λέγεις. Ἀλλὰ τόδε γ', ἔφη, ὦ ἄνδρες, δίκαιον διανοηθῆναι, ὅτι εἴ περ ἡ ψυχὴ ἀθάνατός ἐστιν, ἐπιμελείας δὴ δεῖται οὐχ ὑπὲρ τοῦ χρόνου τούτου μόνον ἐν ᾧ καλοῦμεν τὸ ζῆν, ἀλλ' ὑπὲρ τοῦ παντός, καὶ ὁ κίνδυνος νῦν δὴ καὶ δόξειεν ἂν δεινὸς εἶναι, εἴ τις αὐτῆς ἀμελήσει. εἰ μὲν γὰρ ἦν ὁ θάνατος τοῦ παντὸς ἀπαλλαγή, ἔρμαιον ἂν ἦν τοῖς κακοῖς ἀποθανοῦσι τοῦ τε σώματος ἅμα ἀπηλλάχθαι καὶ τῆς αὐτῶν κακίας μετὰ τῆς ψυχῆς· νῦν δὲ ἐπειδὴ ἀθάνατος φαίνεται οὖσα, οὐδεμία ἂν εἴη αὐτῇ ἄλλη ἀποφυγὴ κακῶν οὐδὲ σωτηρία πλὴν τοῦ ὡς βελτίστην τε καὶ φρονιμωτάτην γενέσθαι. οὐδὲν γὰρ ἄλλο ἔχουσα εἰς Ἅιδου ἡ ψυχὴ ἔρχεται πλὴν τῆς παιδείας τε καὶ τροφῆς, ἃ δὴ καὶ λέγεται μέγιστα ὠφελεῖν ἢ βλάπτειν τὸν τελευτήσαντα εὐθὺς ἐν ἀρχῇ τῆς ἐκεῖσε πορείας. λέγε-

siderans, cogor intra me dictis nondum acquiescere. *So.* Quin-immo et haec bene dicis, o Simmia, et positiones primae, quamvis fide vobis dignae videantur, diligentius tamen considerandae: atque si illas sufficienter, ut arbitror, susceperitis, hanc sequemini rationem, quantum fieri ab homine potest. quod si hoc ipsum fuerit manifestum, nihil ulterius perquiretis. *Sim.* Vera loqueris. *So.* Hoc autem, o viri, iustum est, cogitare, si anima sit immortalis, eam non solum temporis huius, in quo vivere dicimur, verum etiam universi gratia curatione plurimum indigere. nam grave periculum fore putandum est, si quis neglexerit animam. Si enim mors totius dissolutio esset, nimirum improbi lucrarentur, cum et a corpore et ab eorum pravitate cum anima liberarentur. Nunc autem, cum anima immortalis appareat, nulla superest malorum declinatio, nulla salus, nisi ut optima et prudentissima fiat. Nihil enim aliud, cum migrat ad manes anima, secum transfert praeter eruditionem atque educationem. quae quidem statim in principio transmigrationis illius plurimum vel prodesse vel obesse dicuntur. Ferunt enim,

ται δὲ οὕτως, ὡς ἄρα τελευτήσαντα ἕκαστον ὁ ἑκάστου δαίμων, ὃς περ ζῶντα εἰλήχει, οὗτος ἄγειν ἐπιχειρεῖ εἰς δή τινα τόπον, οἱ δεῖ τοὺς ξυλλεγέντας διαδικασαμένους εἰς Ἅιδου πορεύεσθαι μετὰ ἡγεμόνος ἐκείνου ᾧ δὴ προστέτακται τοὺς ἐνθένδε ἐκεῖσε πορεῦσαι. τυχόντας δ' ἐκεῖ ὧν δεῖ τυχεῖν καὶ μείναντας ὃν χρὴ χρόνον ἄλλος δεῦρο πάλιν ἡγεμὼν κομίζει ἐν πολλαῖς χρόνου καὶ μακραῖς περιόδοις. ἔστι δὲ ἁπλῆν 108
ὁδὸν φησιν εἰς Ἅιδου φέρειν, ἡ δ' οὔτε ἁπλῆ οὔτε μία φαίνεταί μοι εἶναι. οὐδὲ γὰρ ἂν ἡγεμόνων ἔδει· οὐ γάρ πού τις ἂν διαμάρτοι οὐδαμόσε μιᾶς ὁδοῦ οὔσης. νῦν δὲ ἔοικε σχίσεις τε καὶ περιόδους πολλὰς ἔχειν· ἀπὸ τῶν ὁσίων τε καὶ νομίμων τῶν ἐνθάδε τεκμαιρόμενος λέγω. ἡ μὲν οὖν κοσμία τε καὶ φρόνιμος ψυχὴ ἕπεταί τε καὶ οὐκ ἀγνοεῖ τὰ παρόντα· ἡ δὲ ἐπιθυμητικῶς τοῦ σώματος ἔχουσα, ὅ περ ἐν τῷ ἔμπροσθεν εἶπον, περὶ ἐκεῖνο πολὺν χρόνον ἐπτοημένη καὶ περὶ τὸν ὁρατὸν τόπον, πολλὰ ἀντιτείνασα καὶ πολλὰ πάθοῦσα, βίᾳ καὶ μόγις ὑπὸ τοῦ προστεταγμένου δαίμονος οἴχεται ἀγομένη, ἀφικομένην δὲ ὅθι περ αἱ ἄλλαι,

quemlibet hinc illuc emigrantem ab eo daemone, quod viventem sortitus fuerat, in locum quendam duci, ubi oporteat omnes una collectos iudicari, ac deinde ad inferos proficisci eo duce, cui mandatum erat, ut hinc decedentes ad illa loca traducat. sortitos vero illic, quae oportebat sortiri, tempusque debitum commoratos, ab alio quodam duce rursus huc reduci post multos temporis longosque circuitus. Est autem iter non tale, quale ait Telephus apud Aeschylum, ille siquidem simplicem inquit viam ad inferos ferre. Ego vero neque simplicem neque unam esse puto. Alioquin nullis ducibus opus esset: quippe cum unica via aberrare possit nemo. Quinimmo multos tramites multosque anfractus habere. quod quidem ex sacrificiis et ritibus coniectare licet. Animus ergo moderatus et prudens ducem sponte sequitur, neque ignorat praesentia. sed qui cupiditate corporis est infectus, quemadmodum supra dixi, per multum tempus ad ipsum ardenter afficitur; et circa locum visibilem multis reluctatus modis multaque perpessus vix tandem ab eo abducitur daemone, cui eius cura erat iniuncta. Cum vero ad ea

τὴν μὲν ἀκάθαρτον καί τι πεπειημυῖαν τοιοῦτον, ἢ φόνων ἀδίκων ἠμμένην ἢ ἄλλ' ἄττα τοιαῦτα εἰργασμένην, ἃ τούτων ἀδελφά τε καὶ ἀδελφῶν ψυχῶν ἔργα τυγχάνει ὄντα, ταύτην μὲν ἅπας φεύγει τε καὶ ὑπεκτρέπεται καὶ οὔτε ξυνέμπορος οὔτε ἡγεμὼν ἐθέλει γίγνεσθαι, αὐτὴ δὲ πλανᾶται ἐν πάσῃ ἐχομένη ἀπορίᾳ, ἕως ἂν δή τινες χρόνοι γένωνται, ὧν ἐξελθόντων ὑπ' ἀνάγκης φέρεται εἰς τὴν αὐτῇ πρέπουσαν οἴκησιν· ἡ δὲ καθαρῶς τε καὶ μετρίως τὸν βίον διεξελθοῦσα, καὶ ξυνεμπόρων καὶ ἡγεμόνων θεῶν τυχοῦσα, ᾤκησε τὸν αὐτῇ 10
ἑκάστη τόπον προσήκοντα. εἰσὶ δὲ πολλοὶ καὶ θαυμαστοὶ τῆς γῆς τόποι, καὶ αὐτὴ οὔτε οἷα οὔτε ὅση δοξάζεται ὑπὸ τῶν περὶ γῆς εἰωθότων λέγειν, ὡς ἐγὼ ὑπό τινος πέπεισμαι. Καὶ ὁ Σιμμίας, Πῶς ταῦτα, ἔφη, λέγεις, ὦ Σώκρατες; περὶ γάρ τοι τῆς γῆς καὶ αὐτὸς πολλὰ δὴ ἀκήκοα, οὐ μέντοι ταῦτα ἃ σὲ πείθει. ἡδέως ἂν οὖν ἀκούσαιμι. Ἀλλὰ μέντοι, ὦ Σιμμία, οὐχ ἡ Γλαύκου γέ μοι τέχνη δοκεῖ εἶναι διηγήσασθαι ἃ γ' ἐστίν· ὡς μέντοι ἀληθῆ, χαλεπώτερόν μοι φαίνεται ἢ κατὰ τὴν Γλαύκου τέχνην, καὶ ἅμα μὲν ἐγὼ ἴσως οὐδ' ἂν 20
αἰός τε εἴην, ἅμα δέ, εἰ καὶ ἠπιστάμην, ὁ βίος μοι

loca, ubi alii quoque animi sunt, pervenerit, quisquis admodum immundus est et huiusmodi obnoxius crimini, qui vel iniustis se contaminaverit caedibus, vel alia his similia similiumque animorum opera perpetraverit; hunc quidem animum omnes fugiunt atque declinant, nec reperitur ullus, qui vel socius vel dux eius fieri velit. itaque omni auxilio destitutus eo usque pererrat, quoad certa temporum curricula impleantur: quibus tandem implêtis in habitationem sibi convenientem ab ipsa necessitate transfertur. Qui vero puram moderatamque transegerit vitam, deos socios ducesque nactus ibi habitat, ubi unicuique convenit. Multa vero sunt mirabiliaque terrarum loca: ipsaque terra neque talis neque tanta est, qualem aut quantam hi, qui de terra loquuntur, existimant; quemadmodum mihi a quodam traditum est. *Sim.* Quanam ratione haec ais, o Socrates? equidem de terrarum orbe multa audivi: non tamen haec, quae tanquam vera accepisse te ais. libenter igitur ex te audirem. *So.* Atqui, o Simmia, nequaquam mihi videtur ars Glauci, quae ea sint, narrare: sed, quod vera sint, probare, artis Glauci facultatem mihi videtur excedere. Praeterea ego forsan non sufficerem, quin etiam si id scirem, haec tamen vita mea, o

δοκεῖ ὁ ἐμός, ὦ Σιμμία, τῷ μήκει τοῦ λόγου οὐκ ἐξαρκεῖν. τὴν μέντοι ἰδέαν τῆς γῆς, οἵαν πέπεισμαι εἶναι, καὶ τοὺς τόπους αὐτῆς οὐδέν με κωλύει λέγειν. Ἀλλ', ἔφη ὁ Σιμμίας, καὶ ταῦτα ἀρκεῖ. Πέπεισμαι τοίνυν, ἦ δ' ὅς, ἐγὼ ὡς πρῶτον μέν, εἰ ἔστιν ἐν μέσῳ τῷ οὐρανῷ περιφερὴς οὖσα, μηδὲν αὐτῇ δεῖν μήτε ἀέρος πρὸς τὸ μὴ πεσεῖν μήτε ἄλλης ἀνάγκης μηδεμιᾶς τοιαύτης, ἀλλὰ ἱκανὴν εἶναι αὐτὴν 109
ἴσχειν τὴν ὁμοιότητα τοῦ οὐρανοῦ αὐτοῦ ἑαυτῷ πάντῃ καὶ τῆς γῆς αὐτῆς τὴν ἰσορροπίαν· ἰσόρροπον γὰρ πρᾶγμα ὁμοίου τινὸς ἐν μέσῳ τεθὲν οὐχ ἕξει μᾶλλον οὐδ' ἧττον οὐδαμόσε κλιθῆναι, ὁμοίως δ' ἔχον ἀκλινὲς μενεῖ. πρῶτον μὲν τοίνυν, ἦ δ' ὅς, τοῦτο πεπεισμαι. Καὶ ὀρθῶς γ', ἔφη ὁ Σιμμίας. Ἔτι τοίνυν, ἔφη, πάμμεγά τι εἶναι αὐτό, καὶ ἡμᾶς οἰκεῖν τοὺς μέχρι Ἡρακλείων στηλῶν ἀπὸ Φάσιδος ἐν σμικρῷ τινὶ μορίῳ, ὡς περ περὶ τέλμα μύρμηκας ἢ βατράχους, περὶ τὴν θάλατταν οἰκοῦντας, καὶ ἄλλους ἄλλοθι πολλοὺς ἐν πολλοῖσι τοιούτοις τόποις οἰκεῖν. εἶναι γὰρ πανταχῇ περὶ
20 τὴν γῆν πολλὰ κοῖλα καὶ παντοδαπὰ καὶ τὰς ἰδέας καὶ τὰ μεγέθη, εἰς ἃ ξυνερρύηκέναι τό τε ὕδωρ καὶ τὴν ὁμίχλην καὶ τὸν ἀέρα· αὐτὴν δὲ τὴν γῆν καθαρὰν ἐν

Simmia, longiori huic narrationi nequaquam sufficeret. Formam tamen orbis terrae eiusque loca cuiusmodi esse rear, nihil prohibet dicere. *Sim.* Satis id erit. *So.* Persuasum quidem mihi est, primo, si est terra in coeli medio rotunda, nihil ei opus esse vel aëre vel alia ulla necessitate ciusmodi, ad hoc, ut nunquam decidat: sed ad eam sustinendam satis id esse, quod et coelum undique sibi ipsi simillimum est omnino et terra undique aequilibris. Res enim aequilibris in similis alicuius medio posita, nec magis nec minus potest in partem aliquam inclinari: cumque similiter se habeat, ab inclinatione permanet aliena. Primo igitur mihi esse ita est persuasum. *Sim.* Et recte quidem. *So.* Praeterea ingentem esse terrarum orbem: nosque a Phaside ad Columnas Herculeas habitare in parva quadam eius particula, ceu formicas atque ranas circa paludes atque mare: esse vero et alios in similibus multisque locis multos habitatores. esse enim passim per terram multas variasque concavitates secundum formas et moles, in quas aqua, nebulae aërque confluant. Puram vero ipsam terram in puro iacere coelo,

καθαρῷ κεῖσθαι τῷ οὐρανῷ, ἐν ᾧ πέρ ἐστι τὰ ἄστρα, ὃν δὴ αἰθέρα ὀνομάζειν τοὺς πολλοὺς τῶν περὶ τὰ τοιαῦτα εἰωθότων λέγειν· οὗ δὴ ὑποστάθμην ταῦτα εἶναι καὶ ξυρρεῖν ἀεὶ εἰς τὰ κοῖλα τῆς γῆς. ἡμᾶς οὖν οἰκοῦντας ἐν τοῖς κοίλοις αὐτῆς λεληθέναι καὶ οἴεσθαι ἄνω ἐπὶ τῆς γῆς οἰκεῖν, ὡς περ ἂν εἴ τις ἐν μέσῳ τῷ πυθμένι τοῦ πελάγους οἰκῶν οἴοιτό τε ἐπὶ τῆς θαλάττης οἰκεῖν καὶ διὰ τοῦ ὕδατος ὁρῶν τὸν ἥλιόν καὶ τὰ ἄλλα ἄστρα τὴν θάλατταν ἡγοῖτο οὐρανὸν εἶναι· διὰ δὲ βραδυτῆτά τε καὶ ἀσθένειαν μηδεπώποτε ἐπὶ τὰ ἄκρα τῆς θαλάττης ἀφιγμένος μηδὲ ἑωρακὼς εἴη, ἐκθὺς καὶ ἀνακύψας ἐκ τῆς θαλάττης εἰς τὸν ἐνθάδε τόπον, ὅσῳ καθαρώτερός καὶ καλλίων τυγχάνει ὢν τοῦ παρὰ σφίσιν, μηδὲ ἄλλου ἀκηκοὼς εἴη τοῦ ἑωρακότος· ταὐτὸν δὴ τοῦτο καὶ ἡμᾶς πεπονθέναι· οἰκοῦντας γὰρ ἔν τινι κοίλῳ τῆς γῆς οἴεσθαι ἐπάνω αὐτῆς οἰκεῖν, καὶ τὸν ἀέρα οὐρανὸν καλεῖν, ὡς διὰ τούτου οὐρανοῦ ὄντος τὰ ἄστρα γωροῦντα. τὸ δὲ εἶναι ταὐτόν, ὑπ' ἀσθενείας καὶ βραδυτῆτος οὐχ οἵους τε εἶναι ἡμᾶς διεξελθεῖν ἐπ' ἔσχατον τὸν ἀέρα, ἐπεὶ εἴ τις αὐτοῦ ἐπ' ἄκρα ἔλθοι ἢ πτη- 2
νὸς γενόμενος ἀνάπτοιτο, κατίδειν * ἂν ἀνακύψαντα,

in quo sunt astra, quem plerique eorum, qui haec tractant, aetherem nominant. Ei quidem subiecta quasi residendo haec esse, semperque in hiatus terrae confluere. Nos itaque in his concavitatibus habitantes adeo falli, ut in terrae superficie alta nos habitare credamus: perinde ac si quis in medio profundo pelagi habitans putet se altiora maris incolere; atque solem ceteraque astra per mare prospiciens, mare ipsum esse coelum existimet: quippe cum propter tarditatem imbecillitatemque nunquam ad summum maris evaserit, neque caput undis extulerit, planeque aspexerit, quanto hic locus profundo illo purior pulchriorque sit: quin etiam nec ab alio, qui hunc intuitus sit, acceperit. Hoc igitur idem et nobis accidere, qui in quadam orbis terreni concavitate habitantes altam incolere superficiem arbitremur, atque aërem nominemus coelum, utpote qui per ipsum, quasi coelum, astrorum motus intueamur. Idque nobis accidere propterea, quod propter imbecillitatem tarditatemque ad supremum usque aërem transcendere nequeamus. Quod si quis ad summum evaderet, vel alis fretus eo volaret, hinc prod-

ὥς περ ἐνθάδε οἱ ἐκ τῆς θαλάττης ἰχθύες ἀνακύπτοντες ὁρῶσι τὰ ἐνθάδε, οὕτως ἄν τινα καὶ τὰ ἐκεῖ κατιδεῖν, καὶ εἰ ἡ φύσις ἱκανὴ εἴη ἀνέχεσθαι θεωροῦσα, γνῶναι ἂν ὅτι ἐκεῖνός ἐστιν ὁ ἀληθῶς οὐρανὸς καὶ τὸ ἀληθῶς φῶς καὶ ἡ ὡς ἀληθῶς γῆ. ἥδε μὲν γὰρ ἡ γῆ καὶ οἱ λίθοι καὶ ἅπας ὁ τόπος ὁ ἐνθάδε διεφθαρμένα ἐστὶ καὶ καταβεβρωμένα, ὥς περ τὰ ἐν τῇ θαλάττῃ ὑπὸ τῆς ἅλμης· καὶ οὔτε φύεται ἄξιον λόγου οὐδὲν ἐν τῇ θαλάττῃ, οὔτε τέλειον ὡς ἔπος εἰπεῖν οὐδέν ἐστι, σήραγγες δὲ καὶ ἄμμος καὶ πηλὸς ἀμήχανος καὶ βόρβοροί εἰσιν, ὅπου ἂν καὶ ἡ γῆ ᾖ, καὶ πρὸς τὰ παρ' ἡμῖν κάλλη κρίνεσθαι οὐδ' ὁπωστιοῦν ἄξια. ἐκεῖνα δὲ αὖ τῶν παρ' ἡμῖν πολὺ ἂν ἔτι πλέον φανείη διαφέρειν. εἰ γὰρ δεῖ καὶ μῦθον λέγειν καλόν, ἄξιον ἀκοῦσαι, ὦ Σιμμία, οἷα τυγχάνει τὰ ἐπὶ τῆς γῆς ὑπὸ τῷ οὐρανῷ ὄντα. Ἀλλὰ μήν, ἔφη ὁ Σιμμίας, ὦ Σώκρατες, ἡμεῖς γε τούτου τοῦ μύθου ἡδέως ἂν ἀκούσαιμεν. Λέγεται τοίνυν, ἔφη, ὦ ἑταῖρε, πρῶτον μὲν εἶναι τοιαύτη ἡ γῆ αὐτὴ ἰδεῖν, εἴ τις ἄνωθεν θεῷτο αὐτήν, ὥς περ αἱ δωδεκάσκυτοι σφαῖραι, ποικίλη, χρώμασι διειλημμένη ὧν καὶ τὰ ἐνθάδε εἶναι χρώματα ὥς περ δείγματα, οἷς δὴ οἱ

eantem inde iam prospecturum; quemadmodum pisces emergentes e mari nostra haec aspiciunt. Ac si natura ad inspiciendum sufficeret, cognituram protinus, coelum illud esse verum veramque lucem, veram quoque terram. siquidem quae a nobis incolitur terra, hique lapides totusque hic locus adesa sunt atque corrupta; ut ea, quae in mari sunt, a salsedine. neque nascitur in mari quicquam existimatione dignum; atque ut ista dixerim, nihil est in eo perfectum; sed cavernae, arena, limus incredibilis atque sordes, ubicunque sit et terra. quae quidem ad has nostras pulchritudines nullo modo sunt conferenda. Illius vero loci pulchritudo hanc nostram multo magis apparebit excedere. Proinde si fabulam quoque narrare oportet perpulchram, operae pretium, Simmia, est, audire, quales sint hae terrarum plagae, quae subiacent coelo. *Sim.* Immo vero libentissime hanc fabulam audiemus. *So.* Ferunt igitur, o amice, primum quidem talem videri terrae illius faciem, si quis superne despiciat, quales sunt hae pilae, quae ex coriis duodecim contextae sunt, variis scilicet distinctam coloribus: quorum hi nostri colores, quibus pictores utuntur, similitudinem quan-

γραφεῖς καταχρῶνται. ἐκεῖ δὲ πᾶσαν τὴν γῆν ἐκ τοιούτων εἶναι, καὶ πολὺ ἔτι ἐκ λαμπροτέρων καὶ καθαρωτέρων ἢ τούτων· τὴν μὲν γὰρ ἁλουργῆ εἶναι καὶ θαυμαστὴν τὸ κάλλος, τὴν δὲ χρυσοειδῆ, τὴν δὲ ὅση λευκὴ γύψου ἢ χιόνος λευκοτέραν, καὶ ἐκ τῶν ἄλλων χρωμάτων ξυγκειμένην ὡσαύτως, καὶ ἔτι πλειόνων καὶ καλλιόνων ἢ ὅσα ἡμεῖς ἑωράκαμεν. καὶ γὰρ αὐτὰ ταῦτα τὰ κοῖλα αὐτῆς, ὕδατός τε καὶ ἀέρος ἔμπλεα ὄντα, χρώματός τι εἶδος παρέχεσθαι στίλβοντα ἐν τῇ τῶν ἄλλων χρωμάτων ποικιλίᾳ, ὥστε ἕν τι αὐτῆς εἶδος ξυνεχὲς ποικίλον φαντάζεσθαι. ἐν δὲ ταύτῃ οὔσῃ τοιαύτῃ ἀνὰ λόγον τὰ φυόμενα φύεσθαι, δένδρα τε καὶ ἄνθη καὶ τοὺς καρπούς· καὶ αὖ τὰ ὄρη ὡσαύτως καὶ τοὺς λίθους ἔχειν ἀνὰ τὸν αὐτὸν λόγον τήν τε λειότητα καὶ τὴν διαφάνειαν καὶ τὰ χρώματα καλλίω· ὧν καὶ τὰ ἐνθάδε λιθίδια εἶναι ταῦτα τὰ ἀγαπώμενα μόρια, σάρδιά τε καὶ ἰάσπιδας καὶ σμαράγδους καὶ πάντα τὰ τοιαῦτα· ἐκεῖ δὲ οὐδὲν ὅ τι οὐ τοιοῦτον εἶναι καὶ ἔτι τούτων κάλλιον. τὸ δ' αἴτιον τούτου εἶναι, ὅτι ἐκεῖνοι οἱ λίθοι καθαροί εἰσι καὶ οὐ κατεδηδεσμένοι οὐδὲ διεφθαρμένοι, ὥς περ οἱ ἐνθάδε, ὑπὸ σηπεδόνος καὶ ἀλ-

dam retinent. Illic vero universam terram ex talibus multoque etiam nitidioribus ac purioribus esse: partim quidem purpuream, mira pulchritudine praeditam; partim vero coloris aurei; partim gypso et nive candidiorem: praeterea ex coloribus aliis similiter exornatam, ac etiam pluribus pulchrioribusque, quam in nostram notitiam pervenerint. Enimvero has ipsas ipsius concavitates, aqua aëreque repletas, speciem quandam coloris splendidam in primis afferre inter ceterorum colorum varietatem, ut una quaedam species eius varia semper appareat. In huiusmodi vero terra convenienti ratione similes nasci arbores et flores et fructus. praeterea montes et lapides ibidem simili ratione habere perfectionem atque perspicuitatem coloresque admodum pulchriores: quorum quidem particulae quaedam sint lapilli, qui apud nos habentur in pretio, Sardia, Iaspides, Smaragdi ceterique eiusmodi. illic vero nihil esse, quod non tale sit aut etiam pulchrius. Cuius quidem rei causa sit, quoniam lapides illi puri sint neque, quemadmodum nostri, a putredine sulsugineque attriti atque corrupti; quibus in hunc locum

μης, ὑπὸ τῶν δεύρο ξυνερρυηκότων, ἃ καὶ λίθοις καὶ γῇ καὶ τοῖς ἄλλοις ζώοις τε καὶ φυτοῖς αἴσχη τε καὶ νόσους παρέχει. τὴν δὲ γῆν αὐτὴν κεκοσμῆσθαι τούτοις τε ἅπασι καὶ ἔτι χρυσῷ τε καὶ ἀργύρῳ καὶ τοῖς ἄλλοις αὖ τοῖς τοιούτοις. ἐκφανῆ γὰρ αὐτὰ πεφυκέναι, 111
ὄντα πολλὰ πλήθει καὶ μεγάλα καὶ πανταχοῦ τῆς γῆς, ὥστε αὐτὴν ἰδεῖν εἶναι θέαμα εὐδαιμόνων θεατῶν. ζῶα δ' ἐπ' αὐτῆς εἶναι ἄλλα τε πολλὰ καὶ ἀνθρώπους, τοὺς μὲν ἐν μεσογαίᾳ οἰκοῦντας, τοὺς δὲ περὶ τὸν ἀέρα ὥς περ ἡμεῖς περὶ τὴν θάλατταν, τοὺς δὲ ἐν νήσοις ἃς περιῤῥεῖν τὸν ἀέρα πρὸς τῇ ἠπείρῳ οὔσας· καὶ ἑνὶ λόγῳ, ὅ περ ἡμῖν τὸ ὕδωρ καὶ ἡ θάλαττά ἐστι πρὸς τὴν ἡμετέραν χρείαν, τοῦτο ἐκεῖ τὸν ἀέρα, ὃ δὲ ἡμῖν * ὁ ἀήρ, ἐκείνοις τὸν αἰθέρα. τὰς δὲ ὥρας αὐτοῖς κρᾶσιν ἔχειν τοιαύτην, ὥστε ἐκείνους ἀνόσους εἶναι καὶ χρόνον τε ζῆν πολὺ πλείω τῶν ἐνθάδε καὶ ὄψει καὶ ἀκοῇ καὶ φρονήσει καὶ πᾶσι τοῖς τοιούτοις ἡμῶν ἀφεστάναι τῇ αὐτῇ ἀποστάσει ᾗ περ ἀήρ τε ὕδατος ἀφέστηκε καὶ αἰθὴρ ἀέρος πρὸς καθαρότητα. καὶ δὴ καὶ θεῶν ἕδη τε καὶ ἱερὰ αὐτοῖς εἶναι, ἐν οἷς τῷ ὄντι οἰκητὰς θεοὺς εἶναι, καὶ φήμας τε καὶ μαντείας καὶ αἰσθήσεις τῶν θεῶν καὶ τοιαύτας ξυνουσίας γίγνεσθαι αὐτοῖς πρὸς

confluentibus lapides et tellus animaliaque et plantae inficiuntur atque aegrotare coguntur. Terram vero ipsam his omnibus exornari, atque auro etiam et argento ceterisque similibus. praefulgentia quidem haec ibi nasci et multa et magna, perque omnem terram; ut eam videre spectatorum felicium sit spectaculum. Proinde ibi esse animalia multa et homines, partim regionem mediterraneam incolentes, partim circa aërem, quemadmodum nos circa maris litora, partim etiam insulas, quae haud procul a continenti positae aëre circumdantur. Sed, ut summatim dicam, quod nobis aqua est et mare ad usum nostrum, idem illic esse aërem: quod vero nobis aër, id illis aetherem esse. Tempora vero apud illos tantam habere temperiem, ut illi et sine morbo continue et longe diutius, quam nostri, vivant. item visu, auditu, prudentia ceterisque talibus nobis tantum praestare, quantum et aër aquae et aether aëri puritate praestat. Praeterea illic esse deorum templa et lucos, in quibus revera dii familiariter habitent, et responsa et divinationes deorumque sensus familiaritatesque eiusmodi hominibus ad deos

αὐτούς· καὶ τόν γε ἥλιον καὶ σελήνην καὶ ἄστρα ὁρᾶσθαι ὑπ' αὐτῶν οἷα τυγχάνει ὄντα, καὶ τὴν ἄλλην εὐδαιμονίαν τούτων ἀκόλουθον εἶναι. καὶ ὅλην μὲν δὴ τὴν γῆν οὕτω πεφυκέναι καὶ τὰ περὶ τὴν γῆν· τόπους δ' ἐν αὐτῇ εἶναι κατὰ τὰ ἔγκοιλα αὐτῆς κύκλῳ περὶ ὅλην πολλούς, τοὺς μὲν βαθυτέρους καὶ ἀναπεπταμένους μᾶλλον ἢ ἐν ᾧ ἡμεῖς οἰκοῦμεν, τοὺς δὲ βαθυτέρους ὄντας τὸ χάσμα αὐτῶν ἔλαττον ἔχειν τοῦ παρ' ἡμῖν τόπου, ἔστι δ' οὓς καὶ βραχυτέρους τῷ βάθει τοῦ ἐνθάδε εἶναι καὶ πλατυτέρους. τούτους δὲ πάντας ὑπὸ γῆν εἰς ἀλλήλους συντετρῆσθαί τε πολλαχῇ, καὶ κατὰ στενώτερα καὶ εὐρύτερα, καὶ διεξόδους ἔχειν, ᾗ πολὺ μὲν ὕδωρ ῥεῖν ἐξ ἀλλήλων εἰς ἀλλήλους ὥς περ εἰς κρατῆρας, καὶ ἀενάων ποταμῶν ἀμήχανα μεγέθη ὑπὸ τὴν γῆν, καὶ θερμῶν ὑδάτων καὶ ψυχρῶν, πολὺ δὲ πῦρ καὶ πυρὸς μεγάλους ποταμούς, πολλοὺς δὲ ὑγροῦ πηλοῦ, καὶ καθαρωτέρου καὶ βορβορωδεστέρου, ὥς περ ἐν Σικελίᾳ οἱ πρὸ τοῦ ῥύακος πηλοῦ ῥέοντες ποταμοὶ καὶ αὐτὸς ὁ ῥύαξ· ὧν δὴ καὶ ἑκάστους τοὺς τόπους πληροῦσθαι, ὧν ἂν ἑκάστοις τύχῃ ἑκάστοτε ἡ περιῤῥοὴ γεγομένη. ταῦτα δὲ πάντα κινεῖν ἄνω καὶ κάτω ὥς περ

esse. Solem quoque et lunam stellasque alias, quales revera sunt, apud eos videri: ceteris in rebus beatitudinem eos his rebus congruam possidere. Itaque universam terram sic natura institutam, et quae circa eam sunt similiter tradunt. Esse praeterea in ipsa per eius concavitates loca in circulum multa, partim quidem profundiora atque ampliora, quam sit regio a nobis culta; partim vero profundiora quidem, sed hiatum angustiorem habentia nostra hac regione. esse et alicubi minus profunda, sed ampliora quam nostra. Haec autem omnia sub terra sibi invicem obviare, atque irrumpere multis undique modis, tum per angustiora, tum per ampliora; discursusque habere et exitus, quibus magna aquarum copia ex aliis in alia, velut in crateres, confluat. item perpetuorum fluminum sub terra incredibiles magnitudines aquarum, tum calidarum, tum etiam frigidarum: plurimumque ignem et ignis ingentes amnes: multos quoque lutulenti humoris, partim quidem purioris, partim vero sordidioris; ceu torrens luti, qui in Sicilia est, et iuxta ipsum amnes lutei inde fluentes. Quibus singula compleri loca, quacunque eos contingit perfluere. Haec autem omnia sursum deor-

αἰώραν τινὰ ἐνοῦσαν ἐν τῇ γῇ. ἔστι δὲ ἄρα αὕτη ἡ αἰώρα διὰ φύσιν τοιάνδε τινά. ἕν τι τῶν χασμάτων τῆς γῆς ἄλλως τε μέγιστον τυγχάνει ὂν καὶ διαμπερὲς τετρημένον δι' ὅλης τῆς γῆς, τοῦτο ὅ περ Ὅμηρος 112
εἶπε, λέγων αὐτὸ

τῆλε μάλ', ᾗχι βάθιστον ὑπὸ χθονός ἐστι βέρεθρον·

ὃ καὶ ἄλλοθι καὶ ἐκεῖνος καὶ ἄλλοι πολλοὶ τῶν ποιητῶν Τάρταρον κεκλήκασιν. εἰς γὰρ τοῦτο τὸ χάσμα συῤῥέουσί τε πάντες οἱ ποταμοὶ καὶ ἐκ τούτου πάλιν ἐκρέουσι· γίγνονται δὲ ἕκαστοι τοιοῦτοι δι' οἵας ἂν καὶ τῆς γῆς ῥέωσιν. ἡ δ' αἰτία ἐστὶ τοῦ ἐκρεῖν τε ἐντεῦθεν καὶ εἰσρεῖν πάντα τὰ ῥεύματα, ὅτι πυθμένα οὐκ ἔχει οὐδὲ βάσιν τὸ ὑγρὸν τοῦτο. αἰωρεῖται δὴ καὶ κυμαίνει ἄνω καὶ κάτω, καὶ ὁ ἀὴρ καὶ τὸ πνεῦμα τὸ περὶ αὐτὸ ταὐτὸν ποιεῖ· ξυνέπεται γὰρ αὐτῷ καὶ ὅταν εἰς τὸ ἐπ' ἐκεῖνα τῆς γῆς ὁρμήσῃ καὶ ὅταν εἰς τὸ ἐπὶ τάδε, καὶ ὥς περ τῶν ἀναπνεόντων ἀεὶ ἐκπνεῖ τε καὶ ἀναπνεῖ ῥέον τὸ πνεῦμα, οὕτω καὶ ἐκεῖ ξυναιωρούμενον τῷ ὑγρῷ τὸ πνεῦμα δεινούς τινας ἀνέμους καὶ ἀμηχάνους παρέχεται καὶ εἰσιὸν καὶ ἐξιόν. ὅταν τε οὖν

sumque ferri, veluti suspendiculo quodam sub terram posito, atque ita librato, ut utrinque vicissim inclinet atque attollat. Est autem id suspendiculum ob naturam quandam eiusmodi: unus aliquis ex terrae hiatibus est profecto quam maximus, perque universam terram traiectus et patens. de quo Homerus, *Longe nimis barathrum stat sub tellure profundum.* quod et ipse alibi, et multi poetarum Tartarum appellarunt. In hoc utique receptaculum omnia confluunt flumina, atque inde rursus effluunt. Talia vero sunt singula, per quales labuntur terras. Quod autem hinc effluant omnia rursusque refluant, haec est causa, quod hic humor nec fundamentum habet nec fundamentum. itaque elevatur, et sursum deorsumque redundat. Idemque facit aër et spiritus, qui circa ipsum versatur. Sequitur enim ipsum, et quando ad superiora terrae, et quando ad haec nostra perlabitur. Et quemadmodum in respirantibus flatus continue exspirat atque respirat, sic et ibi spiritus una cum humore elatus vehementes quosdam ventos et incredibiles commovet, sive influat sive effluat. Quapropter cum aqua in locum inferio-

ὁρμῆσαν ὑποχωρήσῃ τὸ ὕδωρ εἰς τὸν τόπον τὸν δὴ νῦν καλούμενον, τοῖς τότ' ἐκεῖνα τὰ ῥεύματα διὰ τῆς γῆς εἰσρεῖ τε καὶ πληροῖ κἀκεῖ ὅσα περ οἱ ἐπαντλοῦντες· ὅταν τε αὖ ἐκεῖθεν μὲν ἀπολίπῃ, θεῦρο δὲ ὁρμήσῃ, τὰ ἐνθάδε πληροῖ αὖθις, τὰ δὲ πληρωθέντα ῥεῖ διὰ τῶν ὀχετῶν καὶ διὰ τῆς γῆς, καὶ εἰς τοὺς τόπους ἕκαστα ἀφικνούμενα εἰς οὓς ἑκάστους ὁδοποιεῖται, θαλάττας τε καὶ λίμνας καὶ ποταμοὺς καὶ κρήνας ποιεῖ. ἐντεῦθεν δὲ πάλιν δυόμενα κατὰ τῆς γῆς, τὰ μὲν μακροτέρους τόπους περιελθόντα καὶ πλείους, τὰ δὲ ἐλάττους καὶ βραχυτέρους, πάλιν εἰς τὸν Τάρταρον ἐμβάλλει, τὰ μὲν πολὺ κατωτέρω ἢ ἐπηντλεῖτο, τὰ δὲ ὀλίγον· πάντα δὲ ὑποκάτω εἰσρεῖ τῆς ἐκροῆς. καὶ ἔνια μὲν καταντικρὺ ᾗ εἰσρεῖ ἐξέπεσεν, ἔνια δὲ κατὰ τὸ αὐτὸ μέρος· ἔστι δὲ καὶ ᾗ παντάπασι κύκλῳ περιελθόντα, ἢ ἅπαξ ἢ καὶ πλεονάκις περιελιχθέντα περὶ τὴν γῆν ὥς περ οἱ ὄφεις, εἰς τὸ δυνατὸν κάτω καθέντα πάλιν ἐμβάλλει. δυνατὸν δ' ἐστὶν ἑκατέρωσε μέχρι τοῦ μέσου καθιέναι, πέρα δ' οὔ· ἄνωσις γὰρ ἀμφοτέροις τοῖς ῥεύμασι τὸ ἐκατέρωθεν γιγνόμενον μέρος. τὰ μὲν οὖν δὴ ἄλλα πολλά τε καὶ μεγάλα καὶ παντοδαπὰ ῥεύματά ἐστι· τούτων δ' ὄντα ἐν τούτοις τοῖς πολλοῖς

rem delabitur, per meatus terrae iuxta eiusmodi rivos influit, passimque per eos exundat et implet, velut hi, qui hauriunt. Cum vero illinc huc erumpit, haec quoque iterum loca complet. Plena vero cum sunt, per rivos terraeque meatus exuberat. et cum humores singuli illuc profluxerint, quo quisque profluit opportunius, maria, lacus, flumina, fontes efficiunt. Proinde rursus hinc relabentes per terram, partim quidem per longiores pluresque anfractus, partim vero per pauciores atque breviores rursus in Tartarum confluunt: alii certe multo profundius quam hausti fuerint, alii vero paulo; omnes autem inferius influunt, quam effluxerint: et alii per contrariam partem elabuntur, quam illapsi fuerint; alii vero per partem eandem. at quidam passim circumfluentes aut semel aut saepius, spirasque circa orbem terrarum instar anguium replicantes, quantum fieri potest, infra relapsi iterum commiscentur; licet autem utrinque partem ad medium usque defluere, ultra vero nequaquam. ulterior nam prolapsus utrinque foret ascensus. Proinde sunt et alia multa, et magna variaque fluenta: sed praecipua qua-

τέτταρ' ἄττα ῥεύματα, ὧν τὸ μὲν μέγιστον καὶ ἐξωτάτω ῥέον περὶ κύκλῳ ὁ καλούμενος Ὠκεανός ἐστι, τούτου δὲ καταντικρὺ καὶ ἐναντίως ῥέων Ἀχέρων, ὃς δι' ἐρήμων τε τόπων ῥεῖ ἄλλων καὶ δὴ καὶ ὑπὸ γῆν ῥέων εἰς τὴν λίμνην ἀφικνεῖται τὴν Ἀχερουσιάδα, οὗ αἱ τῶν 113
τετελευτηκότων ψυχαὶ τῶν πολλῶν ἀφικνοῦνται καί τινας εἱμαρμένους χρόνους μείνασαι, αἱ μὲν μακροτέρους, αἱ δὲ βραχυτέρους, πάλιν ἐκπέμπονται εἰς τὰς τῶν ζώων γενέσεις. τρίτος δὲ ποταμὸς τούτων κατὰ μέσον ἐκβάλλει, καὶ ἐγγὺς τῆς ἐκβολῆς ἐκπίπτει εἰς τόπον μέγαν πυρὶ πολλῷ καόμενον, καὶ λίμνην ποιεῖ μείζω τῆς παρ' ἡμῖν θαλάττης, ζέουσαν ὕδατος καὶ πηλοῦ· ἐντεῦθεν δὲ χωρεῖ κύκλῳ θολερὸς καὶ πηλώδης, περιελιττόμενος δὲ τῇ γῇ ἄλλοσέ τε ἀφικνεῖται καὶ παρ' ἔσχατα τῆς Ἀχερουσιάδος λίμνης, οὐ ξυμμιγνύμενος τῷ ὕδατι· περιελιχθεὶς δὲ πολλάκις ὑπὸ γῆς ἐμβάλλει κατωτέρω τοῦ Ταρτάρου. οὗτος δ' ἐστὶν ὃν ἐπονομάζουσι Πυριφλεγέθοντα, οὗ καὶ οἱ ῥύακες ἀποσπάσματα ἀναφυσῶσιν, ὅπῃ ἂν τύχωσι τῆς γῆς. τούτου δ' αὖ καταντικρὺ ὁ τέταρτος ἐκπίπτει εἰς τόπον πρῶτον δεινόν τε καὶ ἄγριον, ὡς λέγεται, χρῶμα δὲ ἔχοντα ὅλον οἷον ὁ κυανός, ὃν δὴ ἐπονομάζουσι Στύγιον, καὶ

tior. quorum quidem maximum atque extimum terram circumdans Oceanus appellatur. E contraria vero huius regione fluit Acheron: qui per deserta alia fluens loca, atque per subterranea in paludem defluit Acherusiam; quo plerique defunctorum deveniunt animi, ibique per fatalia quaedam temporum curricula commorati, partim quidem longiora, partim vero breviora, rursus in generationes animalium relabuntur. Tertius vero fluvius horum medius duorum interfluit: nec admodum longe progressus in locum cadit vastum, multo igne flagrantem, efficitque paludem nostro mari maiorem, aqua lutoque ferventem. Hinc vero turbidus lutulentusque circumfluit; terraque circumdata, et alibi, et ad extrema paludis Acherusiae pervenit: nec tamen illius aquae miscetur; sed sub terra saepius revolutus absorptusque defluit infra Tartarum. hunc fluvium Pyriphlegethontem nominant: cuius rivi quidam, inde velut evulsi, quacunque terrarum contigerit, manant. E contraria vero huius regione fluvius quartus primum in locum erumpit ferum et asperum, ut ferunt. colorem vero locus talem habet totus, qualis est

τὴν λίμνην ἣν ποιεῖ ὁ ποταμὸς ἐμβάλλων Στύγα. ὁ δ' ἐμπεσὼν ἐντεῦθεν καὶ δεινὰς δυνάμεις λαβὼν ὑπὸ τῇ ὕδατι, ὑπὸ κατὰ τῆς γῆς, περιελιττόμενος χωρεῖ ἐναντίως τῷ Πυριφλεγέθοντι καὶ ἀπαντᾷ ἐν τῇ Ἀχερουσιάδι λίμνῃ ἐξ ἐναντίας· καὶ οὐδὲ τὸ τούτου ὕδωρ οὐδενὶ μίγνυται, ἀλλὰ καὶ οὗτος πύλιν περιελθὼν ἐμβάλλει εἰς τὸν Τάρταρον ἐναντίως τῷ Πυριφλεγέθοντι· ὄνομα δὲ τούτῳ ἐστίν, ὡς οἱ ποιηταὶ λέγουσι, Κωκυτός. τούτων δὲ οὕτω πεφυκότων, ἐπειδὰν ἀφίκωνται οἱ τελευτηκότες εἰς τὸν τόπον οἷ ὁ δαίμων ἕκαστον κομίζει, πρῶτον μὲν διεδικάσαντο οἵ τε καλῶς καὶ ὁσίως βιώσαντες καὶ οἱ μή. καὶ οἳ μὲν ἂν δόξωσι μέσως βεβιωκέναι, πορευθέντες ἐπὶ τὸν Ἀχέροντα, ἀναβάντες ἃ δὴ αὐτοῖς ὀχήματά ἐστιν, ἐπὶ τούτων ἀφικνοῦνται εἰς τὴν λίμνην, καὶ ἐνταῦθα οἰκοῦσί τε καὶ καθαιρόμενοι τῶν τε ἀδικημάτων διδόντες δίκας ἀπολύονται, εἴ τίς τι ἠδίκηκε, τῶν τε εὐεργεσιῶν τιμὰς φέρονται κατὰ τὴν ἀξίαν ἕκαστος· οἳ δ' ἂν δόξωσιν ἀνιάτως ἔχειν διὰ τὰ μεγέθη τῶν ἁμαρτημάτων, ἢ ἱεροσυλίας πολλὰς καὶ μεγάλας ἢ φόνους ἀδίκους καὶ παρανόμους πολλοὺς ἐξειργασμένοι ἢ ἄλλα ὅσα τοιαῦτα τυγχάνει ὄντα, τού-

cyaneus: quem Stygium nominant. hic autem fluvius prolapsus paludem efficit Stygem. In hunc vero incidens locum, viresque vehementes in aqua assumens, sub terram se condit, circumvolutusque adversus Pyriphlegethontem labitur, et in Acherusia palude e contraria parte illi fit obviam. nec ulli huius aqua miscetur; sed revolutus in gyrum contra Pyriphlegethontem irrumpit in Tartarum. Poetae vero hunc appellant Cocytum. Cum vero haec ita natura disposita sint, quando in eum locum defuncti pervenerint, quo daemon unumquemque perducit, primo illic iudicantur, et qui honeste sancteque, et qui aliter vixerint. Itaque quicunque in vita quodam modo tenuisse medium quoddam comperiuntur, ad Acherontem profecti vehiculis, quae unicuique adsunt, in paludem perveniunt Acherusiam: ibique habitant, purganturque poenas dantes iniuriarum: et, cum purificati sunt, absolvuntur: rursusque pro merito singuli benefactorum praemia reportant. Qui vero ob scelerum magnitudinem insanabiles esse videntur, qui videlicet sacrilegia multa et magna vel caedes iniquas vel alia horum similia perpe-

τους δὲ ἡ προσήκουσα μοῖρα ῥίπτει εἰς τὸν Τάρταρον, ὅθεν οὔ ποτε ἐκβαίνουσιν. οἳ δ' ἂν ἰάσιμα μέν, μεγάλα δὲ δόξωσιν ἡμαρτηκέναι ἁμαρτήματα, οἷον πρὸς πατέρα ἢ μητέρα ὑπ' ὀργῆς βίαιόν τι πράξαντες, καὶ μεταμέλον αὐτοῖς τὸν ἄλλον βίον βιῶσιν, ἢ ἀνδροφόνοι τοιούτῳ τινὶ ἄλλῳ τρόπῳ γένωνται, τούτους δὲ ἐμπεσεῖν μὲν εἰς τὸν Τάρταρον ἀνάγκη, ἐμπεσόντας δὲ αὐτοὺς καὶ ἐνιαυτὸν ἐκεῖ γενομένους ἐκβάλλει τὸ κῦμα, τοὺς μὲν ἀνδροφόνους κατὰ τὸν Κωκυτόν, τοὺς δὲ πατραλοίας καὶ μητραλοίας κατὰ τὸν Πυριφλεγέθοντα· ἐπειδὰν δὲ φερόμενοι γένωνται κατὰ τὴν λίμνην τὴν Ἀχερουσιάδα, ἐνταῦθα βοῶσί τε καὶ καλοῦσιν, οἱ μὲν οὓς ἀπέκτειναν, οἱ δὲ οὓς ὕβρισαν, καλέσαντες δ' ἱκετεύουσι καὶ δέονται ἔασαι σφᾶς ἐκβῆναι εἰς τὴν λίμνην καὶ δέξασθαι, καὶ ἐὰν μὲν πείσωσιν, ἐκβαίνουσί τε καὶ λήγουσι τῶν κακῶν, εἰ δὲ μή, φέρονται αὖθις εἰς τὸν Τάρταρον κἀκεῖθεν πάλιν εἰς τοὺς ποταμούς, καὶ ταῦτα πάσχοντες οὐ πρότερον παύονται, πρὶν ἂν πείσωσιν οὓς ἠδικήκασιν· αὕτη γὰρ ἡ δίκη ὑπὸ τῶν δικαστῶν αὐτοῖς ἐτάχθη. οἳ δὲ δὴ ἂν δόξωσι διαφερόντως πρὸς τὸ ὁσίως βιῶναι, οὗτοί εἰσιν οἱ τῶνδε μὲν τῶν τόπων

traverint, hos omnes conveniens sors mergit in tartarum, unde nunquam egrediuntur. Qui autem sanabilia quidem peccata, sed ingentia commiserunt, veluti si qui contra patrem vel matrem irati per vim aliquid fecerint, sed poenitentia ducti eos in cetera vita coluerint, vel qui simili quodam pacto fuerint homicidae, eos in tartarum quidem necesse est cadere: sed ibi per annum commorati a fluctu eiiciuntur, homicidae quidem per Cocytum, parentum vero violatores per Pyriphlegethontem. Postquam vero ab his delati fluminibus ad paludem Acherusiam pervenerunt, clamant illic vocitantque eos, quos vel necaverunt vel iniuriis affecerunt; suppliciterque rogant atque deprecantur, ut eos permittant progredi per paludem ibique absolvi: ac si impetraverint, penetrant illuc finemque malorum accipiunt: sin minus queant persuadere, referuntur in tartarum atque inde rursus in flumina; neque per haec mala deferri prius cessant, quam ab his, quos affecerunt iniuriis, impetraverint. haec enim poena illis a iudicibus est imposita. Qui autem pie prae ceteris vixisse inveniuntur, hi sunt, qui ex his terrenis locis, tan-

τῶν ἐν τῇ γῇ ἐλευθερούμενοί τε καὶ ἀπαλλαττόμενοι ὥς περ δεσμωτηρίων, ἄνω δὲ εἰς τὴν καθαρὰν οἴκησιν ἀφικνούμενοι καὶ ἐπὶ τῆς γῆς οἰκιζόμενοι. τούτων δὲ αὐτῶν οἱ φιλοσοφίᾳ ἱκανῶς καθηράμενοι ἄνευ τε σωμάτων ζῶσι τὸ παράπαν εἰς τὸν ἔπειτα χρόνον, καὶ εἰς οἰκήσεις ἔτι τούτων καλλίους ἀφικνοῦνται, ἃς οὔτε ῥᾴδιον δηλῶσαι οὔτε ὁ χρόνος ἱκανὸς ἐν τῷ παρόντι. ἀλλὰ τούτων δὴ ἕνεκα χρὴ ὧν διεληλύθαμεν, ὦ Σιμμία, πᾶν ποιεῖν ὥστε ἀρετῆς καὶ φρονήσεως ἐν τῷ βίῳ μετασχεῖν· καλὸν γὰρ τὸ ἆθλον καὶ ἡ ἐλπὶς μεγάλη. 10

Τὸ μὲν οὖν ταῦτα διισχυρίσασθαι οὕτως ἔχειν, ὡς ἐγὼ διελήλυθα, οὐ πρέπει νοῦν ἔχοντι ἀνδρί· ὅτι μέντοι ἢ ταῦτ' ἐστὶν ἢ τοιαῦτ' ἄττα περὶ τὰς ψυχὰς ἡμῶν καὶ τὰς οἰκήσεις, ἐπεί περ ἀθάνατόν γε ἡ ψυχὴ φαίνεται οὖσα, τοῦτο καὶ πρέπειν μοι δοκεῖ καὶ ἄξιον κινδυνεῦσαι οἰομένῳ οὕτως ἔχειν· καλὸς γὰρ ὁ κίνδυνος καὶ χρὴ τὰ τοιαῦτα ὥς περ ἐπᾴδειν ἑαυτῷ, διὸ δὴ ἔγωγε καὶ πάλαι μηκύνω τὸν μῦθον. ἀλλὰ τούτων δὴ ἕνεκα θαῤῥεῖν χρὴ περὶ τῇ αὐτοῦ ψυχῇ ἄνδρα, ὅς τις ἐν τῷ βίῳ τὰς μὲν ἄλλας ἡδονὰς τὰς περὶ τὸ σῶμα καὶ 20 τοὺς κόσμους εἴασε χαίρειν ὡς ἀλλοτρίους τε ὄντας καὶ

quam e carcere, soluti atque liberati ad altiora transcendunt, puramque supra terram habitant regionem. Inter hos autem quicunque satis per philosophiam purgati sunt, absque corporibus omnino totum per tempus vivunt, habitationesque his etiam pulchriores nanciscuntur: quarum pulchritudo neque facilis dictu est, neque praesens tempus ad dicendum sufficeret. Sed horum, quae narrata sunt, gratia, o Simmia, omni studio est annitendum, ut in hac vita virtutem et prudentiam sapientiamque consequamur. Praemium namque pulchrum est, et spes est ingens. Haec igitur eo se pacto prorsus habere, quo ego disposui, non decet virum sanae mentis asserere: esse tamen vel haec vel talia quaedam circa animos nostros eorumque habitationes, quandoquidem animus ipse immortalis apparet, et decere mihi videtur, et dignum, quasi periclitantes ita existimare. honestum enim periculum est; oportetque haec quasi carmina quaedam magorum ritu mentibus nostris infundere. quamobrem ipse iam diu protraho fabulam. Sed horum gratia bonam spem de animo suo habere debet, quicunque voluptatibus ornamentisque corporis neglectis, tanquam alienis ad diversumque

πλέον θάτερον ἡγησάμενος ἀπεργάζεσθαι, τὰς δὲ περὶ τὰ μανθάνειν ἐσπούδασέ τε καὶ κοσμήσας τὴν ψυχὴν οὐκ ἀλλοτρίῳ ἀλλὰ τῷ αὐτῆς κόσμῳ, σωφροσύνῃ τε καὶ δικαιοσύνῃ καὶ ἀνδρίᾳ καὶ ἐλευθερίᾳ καὶ ἀληθείᾳ, οὕτω περιμένει τὴν εἰς Ἅιδου πορείαν, ὡς πορευσόμενος 115
ὅταν ἡ εἱμαρμένη καλῇ. ὑμεῖς μὲν οὖν, ἔφη, ὦ Σιμμία τε καὶ Κέβης καὶ οἱ ἄλλοι, εἰσαῦθις ἔν τινι χρόνῳ ἕκαστοι πορεύσεσθε· ἐμὲ δὲ νῦν ἤδη καλεῖ, φαίη ἂν ἀνὴρ τραγικός, ἡ εἱμαρμένη, καὶ σχεδόν τί μοι ὥρα
10 τραπέσθαι πρὸς τὸ λουτρόν· δοκεῖ γὰρ δὴ βέλτιον εἶναι λουσάμενον πιεῖν τὸ φάρμακον καὶ μὴ πράγματα ταῖς γυναιξὶ παρέχειν νεκρὸν λοῦσαι.

Ταῦτα δὴ εἰπόντος αὐτοῦ ὁ Κρίτων, Εἶεν, ἔφη, ὦ Σώκρατες· τί δὲ τούτοις ἢ ἐμοὶ ἐπιστέλλεις ἢ περὶ τῶν παίδων ἢ περὶ ἄλλου του, ἃ τι ἂν σοι ποιοῦντες ἡμεῖς ἐν χάριτι μάλιστα ποιοῖμεν; Ἅ περ ἀεί, ἔφη, λέγω, ὦ Κρίτων, οὐδὲν καινότερον· ὅτι ὑμῶν αὐτῶν ἐπιμελούμενοι ὑμεῖς καὶ ἐμοὶ καὶ τοῖς ἐμοῖς καὶ ὑμῖν αὐτοῖς ἐν χάριτι ποιήσετε ἅττ' ἂν ποιῆτε, κἂν μὴ νῦν
20 ὁμολογήσητε· ἐὰν δὲ ὑμῶν αὐτῶν ἀμελήτε, καὶ μὴ θέλητε ὥς περ κατ' ἴχνη κατὰ τὰ νῦν τε εἰρημένα καὶ

declinantibus voluptates, quae in discendo percipiuntur, studiose sectatus fuerit, animumque non alieno, sed suo decoraverit ornamento, temperantia, iustitia, fortitudine, libertate, veritate; sic ex hac vita migrationem exspectans, tanquam, cum fatum vocaverit, migraturus. Vos quidem, o Simmia et Cebes aliique praesentes, in posterum quodam in tempore singuli transmigrabitis. me vero nunc, ut tragicus aliquis diceret, iam vocat fatum. ac ferme tempus est, ut ad lavandum divertam, praestat enim, ut puto, post lavacrum venenum bibere, ne in lavando cadavere molestiam mulieribus praebeamus. Cum haec dixisset Socrates, Crito sic inquit: Dic age, o Socrates, quidnam his aut mihi mandas agendum vel erga filios tuos vel circa cetera? quidve agendo maxime tibi gratum fecerimus? Nihil equidem, inquit, novi praecipio, sed quod semper vobis praedico, videlicet si vestri curam habebitis, et mihi et vobis ipsis grata evadent, quaecunque feceritis, etiamsi nunc verbis non concedatis. at vero si vos ipsos neglexeritis, nolentes secundum ea, quae nunc et superiori tempore dicta sunt, quasi per

τὰ ἐν τῷ ἔμπροσθεν χρόνῳ ζῆν, οὐδ' ἐὰν πολλὰ ὁμολογήσητε ἐν τῷ παρόντι καὶ αφόδρα, οὐδὲν πλέον ποιήσετε. Ταῦτα μὲν τοίνυν προθυμηθησόμεθα, ἔφη, οὕτω ποιεῖν· θάπτωμεν δέ σε τίνα τρόπον; Ὅπως ἄν, ἔφη, βούλησθε, ἐάν πέρ γε λάβητέ με καὶ μὴ ἐκφύγω ὑμᾶς. Γελάσας δὲ ἅμα ἡσυχῇ καὶ πρὸς ἡμᾶς ἀποβλέψας εἶπεν, Οὐ πείθω, ἔφη, ὦ ἄνδρες, Κρίτωνα, ὡς ἐγώ εἰμι οὗτος ὁ Σωκράτης ὁ νυνὶ διαλεγόμενος καὶ διατάττων ἕκαστον τῶν λεγομένων, ἀλλ' οἴεταί με ἐκεῖνον εἶναι ὃν ὀψεται ὀλίγον ὕστερον νεκρόν, καὶ ἐρωτᾷ δὴ πῶς με θάπτῃ. ὅτι δὲ ἐγὼ πάλαι πολὺν λόγον πεποίημαι ὡς ἐπειδὰν πίω τὸ φάρμακον, οὐκέτι ὑμῖν παραμενῶ ἀλλ' οἰχήσομαι ἀπιὼν εἰς μακάρων δή τινας εὐδαιμονίας, ταῦτά μοι δοκῶ αὐτῷ ἄλλως λέγειν, παραμυθούμενος ἅμα μὲν ὑμᾶς, ἅμα δ' ἐμαυτόν. ἐγγυήσασθε οὖν με πρὸς Κρίτωνα, ἔφη, τὴν ἐναντίαν ἐγγύην, ἢ ἣν οὗτος πρὸς τοὺς δικαστὰς ἠγγυᾶτο. οὗτος μὲν γὰρ ἦ μὴν παραμενεῖν· ὑμεῖς δὲ ἦ μὴν μὴ παραμενεῖν ἐγγυήσασθε, ἐπειδὰν ἀποθάνω, ἀλλὰ οἰχήσεσθαι ἀπιόντα, ἵνα Κρίτων ῥᾷον φέρῃ, καὶ μὴ ὁρῶν μου τὸ σῶμα ἢ καόμενον ἢ κατορυττόμενον ἀγανακτῇ ὑπὲρ ἐμοῦ ὡς δεινὰ ἄττα πάσχοντος, μηδὲ λέγῃ ἐν τῇ ταφῇ ὡς ἢ προ-

vestigia vitam dirigere, nihil prorsus perficietis, etsi multa nobis nunc disputantibus concedatis. Ista quidem, ait Crito, curae nobis erunt, sed quemadmodum sepeliri te iubes? Utcunque, inquit, libet: si tamen me apprehendetis, ac nisi ego vos effugero. Et simul subridens, et ad nos conversus, Non persuadeo, inquit, Critoni, me esse hunc Socratem, qui nunc disputo et singula dicta dispono. sed opinatur me illud esse, quod paulo post videbit, cadaver. itaque interrogat, quemadmodum me sepeliat. Quod autem iamdiu plurimis verbis contendo, postquam venenum bibero, haud ulterius apud vos me esse futurum, sed ad beatorum profecturum felicitates, hoc quidem mihi videor frustra Critoni dixisse, consolans vos simul atque meipsum. Fideiubete igitur pro me Critoni contraria quadam fideiussione, quam ipse iudicibus fideiussit. Ille enim me iudicio sistere; vos autem me non sistere, cum obiero, fideiubete, sed abiturum: ut Crito obitum facilius meum ferat; neve meum corpus vel cremari cernens vel sepeliri, me deploret, quasi dira patientem: neque dicat in funere proponi Socratem aut

τίθεται Σωκράτη ἢ ἐκφέρει ἢ κατορύττει. εὖ γὰρ ἴσθι, ἦ δ' ὅς, ὦ ἄριστε Κρίτων, τὸ μὴ καλῶς λέγειν οὐ μόνον εἰς αὐτὸ τοῦτο πλημμελές, ἀλλὰ καὶ κακόν τι ἐμποιεῖ ταῖς ψυχαῖς. ἀλλὰ θαρρεῖν τε χρὴ καὶ φάναι τοὐμὸν σῶμα θάπτειν, καὶ θάπτειν οὕτως ὅπως ἄν σοι 116
φίλον ᾖ καὶ μάλιστα ἡγῇ νόμιμον εἶναι.

Ταῦτ' εἰπὼν ἐκεῖνος μὲν ἀνίστατο εἰς οἴκημά τι ὡς λουσόμενος, καὶ ὁ Κρίτων εἵπετο αὐτῷ, ἡμᾶς δ' ἐκέλευε περιμένειν. περιεμένομεν οὖν πρὸς ἡμᾶς αὐτοὺς διαλεγόμενοι περὶ τῶν εἰρημένων καὶ ἀνασκοποῦντες, τοτὲ δ' αὖ περὶ τῆς ξυμφορᾶς διεξιόντες, ὅση ἡμῖν γεγοννῖα εἴη, ἀτεχνῶς ἡγούμενοι ὡς περ πατρὸς στερηθέντες διάξειν ὀρφανοὶ τὸν ἔπειτα βίον. ἐπειδὴ δὲ ἐλούσατο καὶ ἠνέχθη παρ' αὐτὸν τὰ παιδία — δύο γὰρ αὐτῷ υἱεῖς σμικροὶ ἦσαν, εἷς δὲ μέγας — καὶ αἱ οἰκεῖαι γυναῖκες ἀφίκοντο, ἐκείναις ἐναντίον τοῦ Κρίτωνος διαλεχθείς τε καὶ ἐπιστείλας ἅττα ἐβούλετο, τὰς μὲν γυναῖκας καὶ τὰ παιδία ἀπιέναι ἐκέλευσεν, αὐτὸς δὲ ἦκε παρ' ἡμᾶς. καὶ ἦν ἤδη ἐγγὺς ἡλίου δυσμῶν· χρόνον γὰρ πολὺν διέτριψεν ἔνδον. ἐλθὼν δ' ἐκαθέζετο λελουμένος, καὶ οὐ πόλλ' ἅττα μετὰ ταῦτα διελέχθη, καὶ ἦκεν ὁ τῶν ἕνδεκα ὑπηρέτης καὶ στὰς παρ' αὐτόν, Ὦ

efferri aut sub terram condi. Certum id habeto, optime Crito, maledictum non solum in hoc ipso delinquere, verum etiam animis nonnihil officere. at enim confidere oportet, atque dicere corpus sepeliri meum, atque ita sepeliri, ut tibi placebit maximeque iustum esse censebis. His dictis surrexit, intravitque cubiculum quoddam, quasi lavaturus. Crito autem secutus est. Nos vero exspectare iussit. Exspectabamus ergo, de his, quae dicta erant, inter nos colloquentes rursusque considerantes. Praeterea conquerebamur fortunam nostram: qui tanquam parente orbati reliquum vitae tempus orphani futuri essemus. Cum Socrates lotus esset, delati sunt ad eum pueri sui: duos enim filios habebat parvulos, unum vero iam grandem. venerunt et mulieres domesticae. Ad eas Socrates cum in praesentia Critonis verba fecisset, et quae volebat mandavisset; mulieres quidem et pueros abire iussit, ipse vero ad nos rediit, iam circiter solis occasum: permultum enim tempus intus fuerat commoratus. Cum vero ad nos venisset lotus, consedit. Nec multa post haec locutus erat, cum venit Undecimvirorum lictor. qui illi

Σώκρατες, ἔφη, οὐ καταγνώσομαί γε σοῦ ὃ περ τῶν ἄλλων καταγιγνώσκω, ὅτι μοι χαλεπαίνουσι καὶ καταρῶνται, ἐπειδὰν αὐτοῖς παραγγέλλω πίνειν τὸ φάρμακον ἀναγκαζόντων τῶν ἀρχόντων. σὲ δ' ἐγὼ καὶ ἄλλως ἔγνωκα ἐν τούτῳ τῷ χρόνῳ γενναιότατον καὶ πραότατον καὶ ἄριστον ἄνδρα ὄντα τῶν πώποτε δεῦρο ἀφικομένων, καὶ δὴ καὶ νῦν εὖ οἶδ' ὅτι οὐκ ἐμοὶ χαλεπανεῖς, γιγνώσκεις γὰρ τοὺς αἰτίους, ἀλλ' ἐκείνοις. νῦν οὖν, οἷσθα γὰρ ἃ ἦλθον ἀγγελῶν, χαῖρέ τε καὶ πειρῶ ὡς ῥᾷστα φέρειν τὰ ἀναγκαῖα. Καὶ ἅμα δακρύσας μετασπερφόμενος ἀπῄει. Καὶ ὁ Σωκράτης ἀναβλέψας πρὸς αὐτόν, Καὶ σύ, ἔφη, χαῖρε, καὶ ἡμεῖς ταῦτα ποιήσομεν. Καὶ ἅμα πρὸς ἡμᾶς, Ὡς ἀστεῖος, ἔφη, ὁ ἄνθρωπος· καὶ παρὰ πάντα μοι τὸν χρόνον προσῄει καὶ διελέγετο ἐνίοτε καὶ ἦν ἀνδρῶν λῷστος, καὶ νῦν ὡς γεννικῶς με ἀποδακρύει. ἀλλ' ἄγε δή, ὦ Κρίτων, πειθώμεθα αὐτῷ, καὶ ἐνεγκάτω τις τὸ φάρμακον, εἰ τέτριπται· εἰ δὲ μή, τριψάτω ὁ ἄνθρωπος. Καὶ ὁ Κρίτων, Ἀλλ' οἶμαι, ἔφη, ἔγωγε, ὦ Σώκρατες, ἔτι ἥλιον εἶναι ἐπὶ τοῖς ὄρεσι καὶ οὔπω δεδυκέναι. καὶ ἅμα ἐγὼ οἶδα καὶ ἄλλους πάνυ ὀψὲ πίνοντας, ἐπειδὰν παραγ-

adstans, O Socrates, inquit, non arbitror eam in te novitatem me deprehensurum, quam deprehendere in ceteris soleo. illi enim indignantur mihi atque exsecrantur, quando illis denuntio venenum esse bibendum, ita magistratibus compellentibus. te vero cognovi praesertim in hoc tempore generosissimum mansuetissimumque et optimum virum omnium, qui unquam huno in locum devenerunt: et nunc equidem certo scio te mihi haud infestum fore, sed illis, penes quos rei huius causam esse cognoscis. Nunc ergo scia, quem tibi nuntium afferam. Vale, atque annitere, quae necessaria sunt, pro viribus facile ferre. et simul his dictis abibat lacrymans. Socrates autem in eum respiciens, Et tu, inquit, vale, et nos id faciemus. Simulque ad nos conversus, Quam urbanus est homo hic? inquit. neque solum in hoc, sed in superiori etiam tempore me salutabat colloquebaturque nonnunquam, fuitque semper virorum optimus. Et nunc quam ingenue me lachrymat? Sed age, o Crito, illi pareamus, ac si iam tritum est venenum, aliquis huc afferat. si nondum est tritum, conterat ille. At reor equidem, inquit Crito, o Socrates, nondum solem reliquisse montes nec occidisse. Et novi alios, postquam id sibi nuntiatum est, valde sero bi-

γελθῇ αὐτοῖς, θειπνήσαντάς τε καὶ πιόντας εὖ μάλα, καὶ ξυγγενομένους γ' ἐνίους ὧν ἄν τύχωσιν ἐπιθυμοῦντες. ἀλλὰ μηδὲν ἐπείγου· ἔτι γὰρ ἐγχωρεῖ. Καὶ ὁ Σωκράτης, Εἰκότως γ', ἔφη, ὦ Κρίτων, ἐκεῖνοί τε ταῦτα ποιοῦσιν οὓς σὺ λέγεις, οἴονται γὰρ κερδανεῖν ταῦτα ποιήσαντες, καὶ ἔγωγε ταῦτα εἰκότως οὐ ποιήσω· οὐδὲν γὰρ οἶμαι κερδαίνειν ὀλίγον ὕστερον πιὼν ἄλλο γε ἢ 117
γέλωτα ὀφλήσειν παρ' ἐμαυτῷ, γλιχόμενος τοῦ ζῆν καὶ φειδόμενος οὐδενὸς ἔτι ἐόντος. ἀλλ' ἴθι, ἔφη, πιθοῦ καὶ μὴ ἄλλως ποίει. Καὶ ὁ Κρίτων ἀκούσας ἔνευσε τῷ παιδὶ πλησίον ἑστῶτι. καὶ ὁ παῖς ἐξελθὼν καὶ συγχνὸν χρόνον διατρίψας ἦκεν ἄγων τὸν μέλλοντα δώσειν τὸ φάρμακον, ἐν κύλικι φέροντα τετριμμένον. ἰδὼν δὲ ὁ Σωκράτης τὸν ἄνθρωπον Εἶεν, ἔφη, ὦ βέλτιστε, σὺ γὰρ τούτων ἐπιστήμων, τί χρὴ ποιεῖν; Οὐδὲν ἄλλο, ἔφη, ἢ πιόντα περιιέναι, ἕως ἄν σου βάρος ἐν τοῖς σκέλεσι γένηται, ἔπειτα κατακεῖσθαι· καὶ οὕτως αὐτὸ ποιήσει. Καὶ ἅμα ὤρεξε τὴν κύλικα τῷ Σωκράτει. καὶ ὃς λαβὼν καὶ μάλα ἵλεως, ὦ Ἐχέκρατες, οὐδὲν τρέσας οὐδὲ διαφθείρας οὔτε τοῦ χρώματος οὔτε τοῦ προσώπου, ἀλλ' ὥς περ εἰώθει ταυρηδὸν ὑπαβλέ-

here illud consuevisse, largiter coenatos atque potos, interdum vero etiam illorum potitos, quorum amore afficiebantur. Quamobrem ne adeo festines; adhuc enim superest tempus. Tunc Socrates, Merito, inquit, o Crito, illi ista faciunt. putant enim haec facientes lucrari. Atque ego merito ista non faciam. nihil enim me lucraturum spero, si paulo posterius venenum bibero, nisi ut mihi ipsi sim ridiculus, tanquam vitae cupidus atque parcus eius rei servator, cuius nihil iam mihi amplius adest. Sed age iam mihi obtempera, nec aliter facias. Crito vero his auditis annuit puero, qui longe non aberat. ille vero egressus, et aliquantum commoratus, rediit, eum, qui venenum daturus erat, secum ducens. attulit autem in calice id attritum. Hunc adspiciens Socrates, Cedo, inquit, bone vir, (tu enim harum rerum peritiam habes,) quid me facere oportet? Nihil, inquit, aliud quam post potionem deambulare, quoad gravari tibi sentias crura; postea vero iacere: atque ita tu facies. Haec dicens porrexit calicem Socrati. Socrates vero hilariter admodum, o Echecrates, accepit, nihil omnino commotus, neque colore neque vultu mutato: sed quemadmodum consueverat,

ψας πρὸς τὸν ἄνθρωπον, Τί λέγεις, ἔφη, περὶ τοῦδε τοῦ πόματος πρὸς τὸ ἀποσπεῖσαί τινι; ἔξεστιν ἢ οὔ; Τοσοῦτον, ἔφη, ὦ Σώκρατες, τρίβομεν, ὅσον οἰόμεθα μέτριον εἶναι πιεῖν. Μανθάνω, ἦ δ' ὅς· ἀλλ' εὔχεσθαί γέ που τοῖς θεοῖς ἔξεστί τε καὶ χρή, τὴν μετοίκησιν τὴν ἐνθένδε ἐκεῖσε εὐτυχῆ γενέσθαι· ἃ δὴ καὶ ἐγὼ εὔχομαί τε καὶ γένοιτο ταύτῃ. Καὶ ἅμα εἰπὼν ταῦτα ἐπισχόμενος καὶ μάλα εὐχερῶς καὶ εὐκόλως ἐξέπιε. καὶ ἡμῶν οἱ πολλοὶ τέως μὲν ἐπιεικῶς οἷοί τε ἦσαν κατέχειν τὸ μὴ δακρύειν, ὡς δὲ εἴδομεν πίνοντά τε καὶ πεπωκότα, οὐκέτι, ἀλλ' ἐμοῦ γε βίᾳ καὶ αὐτοῦ ἀστακτὶ ἐχώρει τὰ δάκρυα, ὥστε ἐγκαλυψάμενος ἀπέκλαον ἐμαυτόν· οὐ γὰρ δὴ ἐκεῖνόν γε, ἀλλὰ τὴν ἐμαυτοῦ τύχην, οἵου ἀνδρὸς ἑταίρου ἐστερημένος εἴην. ὁ δὲ Κρίτων ἔτι πρότερος ἐμοῦ, ἐπειδὴ οὐχ οἷός τ' ἦν κατέχειν τὰ δάκρυα, ἐξανέστη. Ἀπολλόδωρος δὲ καὶ ἐν τῷ ἔμπροσθεν χρόνῳ οὐδὲν ἐπαύετο δακρύων, καὶ δὴ καὶ τότε ἀναβρυχησάμενος, κλάων καὶ ἀγανακτῶν, οὐδένα ὃν τινα οὐ κατέκλασε τῶν παρόντων, πλήν γε αὐτοῦ Σωκράτους. ἐκεῖνος δέ, Οἷα, ἔφη, ποιεῖτε, ὦ θαυμάσιοι. ἐγὼ μέντοι οὐχ ἥκιστα τούτου ἕνεκα τὰς

taurine illum aspiciens, Quid ais, inquit? licetne ex hoc poculo nonnihil spargendo sacrificare? Tantum, inquit, o Socrates, contrivimus, quantum satis fore putavimus. Intelligo, inquit. sed et licet et oportet orare deos, ut felix sit transmigratio nostra. quod equidem obsecro, atque utinam ita fiat! Et simul his dictis admonens facile admodum alacriterque ebibit. Plerique nostrum eousque retinere quodammodo lacrymas potueramus. at postquam et bibentem vidimus et bibisse, ulterius non potuimus; sed me quidem dolor adeo superabat, ut lacrymae largiter iam mihi profluerent. Quapropter me protegens deplorabam, non illum quidem, sed fortunam meam, qui tali amico orbatus essem. Crito autem etiam prius, cum lacrymas nequiret continere, surrexerat. Sed Apollodorus nec in superiori quidem tempore unquam lacrymare cessaverat: tunc vero praecipue vociferans, seque ipsum afflictans, neminem reliquit praesentium, cuius vicem non deploraret, praeter unius Socratis vicem. Ille vero haec animadvertens, Quidnam, inquit, o viri mirabiles, agitis? atqui ego maxime hanc ob causam mu-

γυναῖκας ἀπέπεμψα, ἵνα μὴ τοιαῦτα πλημμελοῖεν· καὶ γὰρ ἀκήκοα ὅτι ἐν εὐφημίᾳ χρὴ τελευτᾶν. ἀλλ' ἡσυχίαν τε ἄγετε καὶ καρτερεῖτε. Καὶ ἡμεῖς ἀκούσαντες ἠσχύνθημέν τε καὶ ἐπέσχομεν τοῦ δακρύειν. ὁ δὲ περιελθών, ἐπειδή οἱ βαρύνεσθαι ἔφη τὰ σκέλη, κατεκλίθη ὕπτιος· οὕτω γὰρ ἐκέλευεν ὁ ἄνθρωπος. καὶ ἅμα ἐφαπτόμενος αὐτοῦ οὗτος ὁ δοὺς τὸ φάρμακον, διαλιπὼν χρόνον ἐπεσκόπει τοὺς πόδας καὶ τὰ σκέλη, κἄπειτα σφόδρα πιέσας αὐτοῦ τὸν πόδα ἤρετο εἰ αἰσθάνοιτο· ὁ δ' οὐκ ἔφη. καὶ μετὰ τοῦτο αὖθις τὰς κνήμας· καὶ ἐπανιὼν οὕτως ἡμῖν ἐπεδείκνυτο ὅτι ψύ- 118
χοιτό τε καὶ πήγνυτο. καὶ αὐτὸς ἤπτετο, καὶ εἶπεν ὅτι ἐπειδὰν πρὸς τῇ καρδίᾳ γένηται αὐτῷ, τότε οἰχήσεται. ἤδη οὖν σχεδόν τι αὐτοῦ ἦν τὰ περὶ τὸ ἧτρον ψυχόμενα, καὶ ἐκκαλυψάμενος, ἐνεκεκάλυπτο γάρ, εἶπεν, ὃ δὴ τελευταῖον ἐφθέγξατο, Ὦ Κρίτων, ἔφη, τῷ Ἀσκληπιῷ ὀφείλομεν ἀλεκτρυόνα. ἀλλ' ἀπόδοτε καὶ μὴ ἀμελήσητε. Ἀλλὰ ταῦτα, ἔφη, ἔσται, ὁ Κρίτων· ἀλλ' ὅρα εἴ τι ἄλλο λέγεις. Ταῦτα ἐρομένου αὐτοῦ οὐδὲν ἔτι ἀπεκρίνατο, ἀλλ' ὀλίγον χρόνον διαλιπὼν ἐκινήθη τε καὶ ὁ ἄνθρωπος ἐξεκάλυψεν αὐτόν, καὶ ὃς τὰ ὄμματα

lieres abegeram, ne talia facerent. audiveram enim, in benedictione esse ex hac vita migrandum. Quiescite igitur atque tolerate. Nos vero haec audientes erubuimus, destitimusque a lacrymis. Sed ipse, cum inter deambulandum crura iam gravari sentiret, iacuit resupinus: sic enim, qui venenum praebuit, iusserat. qui paulo post eum tangens, pedes et crura consideravit; deinde gravius comprimens pedem eius, quaesivit an sentiret. negavit Socrates. Ille rursus pressit tibias, paulatimque manu ascendens ostendit nobis frigere eas atque rigere. et ipse attigit rursus, aitque, cum ad cor pervenerit, tunc esse decessurum. Iam igitur friguerant ei praecordia, cum detegens (erat enim veste coopertus) dixit, quae vox illi extrema fuit: O Crito, Aesculapio gallum debemus: quem reddite; neque negligatis. Fiet, inquit Crito, quod iubes. sed vide, nunquid aliud velis. Haec interroganti nihil ultra respondit, sed paulo post commotus est. Et minister detexit eum: atque ipse lumina

ἔστησεν· ἰδὼν δὲ ὁ Κρίτων ξυνέλαβε τὸ στόμα τε καὶ τοὺς ὀφθαλμούς.

Ἥδε ἡ τελευτή, ὦ Ἐχέκρατες, τοῦ ἑταίρου ἡμῖν ἐγένετο, ἀνδρός, ὡς ἡμεῖς φαῖμεν ἄν, τῶν τότε ὧν ἐπειράθημεν ἀρίστου καὶ ἄλλως φρονιμωτάτου καὶ δικαιοτάτου.

fixit. Quod quum Crito cerneret, ora oculosque composuit. Hic finis fuit amici nostri, o Echecrates, viri, nostro quidem iudicio, omnium, quos experti sumus, optimi et apprime sapientissimi atque iustissimi.

ΦΙΛΗΒΟΣ

ΤΑ ΤΟΥ ΔΙΑΛΟΓΟΥ ΠΡΟΣΩΠΑ

ΣΩΚΡΑΤΗΣ, ΠΡΩΤΑΡΧΟΣ, ΦΙΛΗΒΟΣ.

SOCRATES, PROTARCHUS, PHILEBUS.

Ὅρα δή, ὦ Πρώταρχε, τίνα λόγον μέλλεις παρὰ Φι- 11
λήβου δέχεσθαι νυνὶ καὶ πρὸς τίνα τὸν παρ' ἡμῖν ἀμ-
φισβητεῖν, ἐὰν μή σοι κατὰ νοῦν ᾖ λεγόμενος. βούλει
συγκεφαλαιωσώμεθα ἑκάτερον;

ΠΡΩ. Πάνυ μὲν οὖν.

ΣΩ. Φίληβος μὲν τοίνυν ἀγαθὸν εἶναί φησι τὸ
χαίρειν πᾶσι ζώοις καὶ τὴν ἡδονὴν καὶ τέρψιν, καὶ ὅσα
τοῦ γένους ἐστὶ τούτου σύμφωνα· τὸ δὲ παρ' ἡμῶν ἀμ-
φισβήτημά ἐστι μὴ ταῦτα ἀλλὰ τὸ φρονεῖν καὶ τὸ νοεῖν
καὶ τὸ μεμνῆσθαι καὶ τὰ τούτων αὖ ξυγγενῆ, δόξαν τε
ὀρθὴν καὶ ἀληθεῖς λογισμούς, τῆς γε ἡδονῆς ἀμείνω καὶ
λῴω γίγνεσθαι ξύμπασιν, ὅσα περ αὐτῶν δυνατὰ μετα-
λαβεῖν· δυνατοῖς δὲ μετασχεῖν ὠφελιμώτατον ἁπάντων
εἶναι πᾶσι τοῖς οὖσί τε καὶ ἐσομένοις. Μῶν οὐχ οὕτω
πως λέγομεν, ὦ Φίληβε, ἑκάτεροι;

ΦΙ. Πάντων μὲν οὖν μάλιστα, ὦ Σώκρατες.

Vide, o Protarche, quem nunc a Philebo sermonem acceptu-
rus sis, et ad quem potius, cuius ratio tibi non consonet, pu-
gnaturus. Visne utramque sententiam breviter resumamus? *Pro.*
Volo equidem. *So.* Philebus quidem inquit, animantibus omni-
bus bonum esse laetitiam, voluptatem, delectationem, ceteraque
huius generis omnia. Nostra autem adversus illum disceptatio
est, ut non ista quidem sint ipsum bonum, immo sapere, intel-
ligere, meminisse, et quae hisce cognata, opinio recta verique
rationis discursus, meliora et potiora sint quam voluptas omni-
bus quaecunque horum capacia sunt; eorumque adeptio maxime
omnium utilis sit, et praesentibus et futuris. Num sic utrique
quodammodo diximus, o Philebe? *Phil.* Et maxime quidem.

ΣΩ. Δέχει δὴ τοῦτον τὸν νῦν διδόμενον, ὦ Πρώταρχε, λόγον;

ΠΡΩ. Ἀνάγκη δέχεσθαι· Φίληβος γὰρ ἡμῖν ὁ καλὸς ἀπείρηκεν.

ΣΩ. Δεῖ δὴ περὶ αὐτῶν τρόπῳ παντὶ τἀληθές πῃ περανθῆναι;

ΠΡΩ. Δεῖ γὰρ οὖν.

ΣΩ. Ἴθι δή, πρὸς τούτοις διαμολογησώμεθα καὶ τόδε.

ΠΡΩ. Τὸ ποῖον;

ΣΩ. Ὡς νῦν ἡμῶν ἑκάτερος ἕξιν ψυχῆς καὶ διάθεσιν ἀποφαίνειν τινὰ ἐπιχειρήσει τὴν δυναμένην ἀνθρώποις πᾶσι τὸν βίον εὐδαίμονα παρέχειν. ἆρ' οὐχ οὕτως;

ΠΡΩ. Οὕτω μὲν οὖν.

ΣΩ. Οὐκοῦν ὑμεῖς μὲν τὴν τοῦ χαίρειν, ἡμεῖς δ' αὖ τὴν τοῦ φρονεῖν;

ΠΡΩ. Ἔστι ταῦτα.

ΣΩ. Τί δ', ἂν ἄλλη τις κρείττων τούτων φανῇ; μῶν οὐκ, ἂν μὲν ἡδονῇ μᾶλλον φαίνηται ξυγγενής, ἡττώμεθα μὲν ἀμφότεροι τοῦ ταῦτ' ἔχοντος βεβαίως βίου, κρατεῖ δὲ ὁ τῆς ἡδονῆς τὸν τῆς φρονήσεως;

ΠΡΩ. Ναί.

ΣΩ. Ἂν δέ γε φρονήσει, νικᾷ μὲν φρόνησις τὴν

So. An suscipis, o Protarche, eam quae tibi nunc oblata est disputationem? *Pro.* Necesse est me illam suscipere. *So.* Philebus quidem noster iam dicendo defessus est. Oportet tamen, quid in iis verum sit, omni studio definire. *Pro.* Oportet sane. *So.* Age igitur, praeter haec id insuper asseveremus. *Pro.* Quidnam? *So.* Quod uterque nostrum habitum quendam et affectionem animi, quae cunctis hominibus vitam beatam praebere valeat, demonstrare conabitur. nonne? *Pro.* Certe. *So.* Et vos profecto habitum affectionemque laetandi, nos autem sapiendi. *Pro.* Sic est. *So.* Si quis vero habitus praestantior istis appareat, qui voluptati cognatior videatur, a tali vita, cum stabilis sit atque haec firmiter habeat, utrique nimium superabimur: voluptas autem sapientiam superabit? *Pro.* Profecto. *So.* Sin autem sapientiae sit propinquior, vincet utique sapientia volu-

ἡδονήν, ἢ δὲ ἡττᾶται; ταῦθ' οὕτως ὁμολογούμενά φατε, ἢ πῶς;

ΠΡΩ. Ἔμοιγ' οὖν δοκεῖ.

ΣΩ. Τί δαὶ Φιλήβῳ; τί φῄς;

ΦΙ. Ἐμοὶ μὲν πάντως νικᾷν ἡδονὴ δοκεῖ καὶ δόξει· σὺ δ', ὦ Πρώταρχε, αὐτὸς γνώσει.

ΠΡΩ. Παραδούς, ὦ Φίληβε, ἡμῖν τὸν λόγον οὐκ ἂν ἔτι κύριος εἴης τῆς πρὸς Σωκράτη ὁμολογίας ἢ καὶ τοὐναντίον.

ΦΙ. Ἀληθῆ λέγεις· ἀλλὰ γὰρ ἀφοσιοῦμαι καὶ μαρτύρομαι νῦν αὐτὴν τὴν θεόν.

ΠΡΩ. Καὶ ἡμεῖς σοι τούτων γε αὐτῶν συμμάρτυρες ἂν εἴμεν, ὡς ταῦτ' ἔλεγες ἃ λέγεις. Ἀλλὰ δὴ τὰ μετὰ ταῦτα ἑξῆς, ὦ Σώκρατες, ὅμως καὶ μετὰ Φιλήβου ἑκόντος ἢ ὅπως ἂν ἐθέλῃ, πειρώμεθα περαίνειν.

ΣΩ. Πειρατέον, ἀπ' αὐτῆς δὴ τῆς θεοῦ, ἣν ὅδε Ἀφροδίτην μὲν λέγεσθαί φησι, τὸ δ' ἀληθέστατον αὐτῆς ὄνομα ἡδονὴν εἶναι.

ΠΡΩ. Ὀρθότατα.

ΣΩ. Τὸ δ' ἐμὸν δέος, ὦ Πρώταρχε, ἀεὶ πρὸς τὰ τῶν θεῶν ὀνόματα οὐκ ἔστι κατ' ἄνθρωπον, ἀλλὰ πέρα τοῦ μεγίστου φόβου. καὶ νῦν τὴν μὲν Ἀφροδίτην, ὅπῃ ἐκείνῃ φίλον, ταύτῃ προσαγορεύω· τὴν δὲ ἡδονὴν οἶδα

ptatem, voluptas contra succumbet. Num ista conceditis? *Pro.* Mihi quidem concedenda videntur. *So.* Philebo autem quidnam videtur? *Phi.* Mihi sane voluptas praestare videtur semperque videbitur. ipse autem noveris, o Protarche. *Pro.* Cum iam nobis, Philebe, concesseris disputationis officium, haud amplius apud te assentiendi Socrati vel dissentiendi potestas erit. *Phi.* Vera dicis. *So.* At nunc expiationis gratia deam ipsam primum invoco atque testor. *Pro.* Et nos quoque testes erimus, te ista dixisse. Verum deinceps, o Socrates, una cum volente Philebo, vel quomodocunque vis, conemur absolvere. *So.* Annitamur profecto ab ipsa dea exordientes, quam iste Venerem nuncupatam inquit, sed verissimum nomen eius voluptatem esse. *Pro.* Recte nimium. *So.* Reverentia vero mihi semper erga deorum nomina, non humana quaedam formido est, sed maximum quemque timorem exsuperat. Et nunc quidem Venerem, quemadmodum ipsi gratum est, sic appello: voluptа-

ὡς ἔστι ποικίλον, καὶ ὃ περ εἶπον, ἀπ' ἐκείνης ἡμῖν ἀρχομένοις ἐνθυμεῖσθαι δεῖ καὶ σκοπεῖν ἥν τινα φύσιν ἔχει. ἔστι γὰρ ἀκούειν μὲν οὕτως ἁπλῶς ἕν τι, μορφὰς δὲ δή που παντοίας εἴληφε καί τινα τρόπον ἀνομοίους ἀλλήλαις. ἴδε γάρ, ἥδεσθαι μέν φαμεν τὸν ἀκολασταίνοντα ἄνθρωπον, ἥδεσθαι δὲ καὶ τὸν σωφρονοῦντα αὐτῷ τῷ σωφρονεῖν· ἥδεσθαι δ' αὖ καὶ τὸν ἀνοηταίνοντα καὶ ἀνοήτων δοξῶν καὶ ἐλπίδων μεστόν, ἥδεσθαι δ' αὖ καὶ τὸν φρονοῦντα αὐτῷ τῷ φρονεῖν· καὶ τούτων τῶν ἡδονῶν ἑκατέραν πῶς ἄν τις ὁμοίας ἀλλήλαις εἶναι λέγων οὐκ ἀνόητος φαίνοιτο ἐνδίκως; 10

ΠΡΩ. Εἰσὶ μὲν γὰρ ἀπ' ἐναντίων, ὦ Σώκρατες, αὗται πραγμάτων, οὐ μὴν αὐταί γε ἀλλήλαις ἐναντίαι· πῶς γὰρ ἡδονή γε ἡδονῇ μὴ οὐχ ὁμοιότατον ἂν εἴη, τοῦτ' αὐτὸ ἑαυτῷ, πάντων χρημάτων;

ΣΩ. Καὶ γὰρ χρῶμα, ὦ δαιμόνιε, χρώματι κατά γε αὐτὸ τοῦτ' οὐδὲν διοίσει, τὸ χρῶμα εἶναι πᾶν· τύ γε μὴν μέλαν τῷ λευκῷ πάντες γιγνώσκομεν ὡς πρὸς τῷ διάφορον εἶναι καὶ ἐναντιώτατον ὂν τυγχάνει. καὶ δὴ καὶ σχῆμα σχήματι κατὰ ταὐτὸν γένει μέν ἐστι 20 πᾶν ἕν, τὰ δὲ μέρη τοῖς μέρεσιν αὐτοῦ τὰ μὲν ἐναντιώτατα ἀλλήλοις, τὰ δὲ διαφορότητα ἔχοντα μυρίαν

tem vero variam esse scio. ab eaque, ut dixi, principium facientes, quam habeat naturam, investigare debemus. Etenim quantum ad auditum attinet, simpliciter unum apparet: formas tamen varias admodum, et invicem quodammodo dissimiles, suscipit. Attende enim, delectari dicimus intemperantem hominem: delectari ipsa temperantia temperantem, delectari insipientem insipientibus opinionibus ac vana spe undique plenum: delectari etiam sapientia sapientem. has utique voluptates si quis dissimiles neget, merito insipiens esse videbitur. *Pro.* Istae quidem, o Socrates, ex contrariis rebus proveniunt, neque tamen invicem ipsae contrariae. nonne voluptatis voluptas, in quibus voluptas est sui ipsius, omnium maxime simillima erit? *So.* Enimvero, o beate, neque color a colore, ex eo quod color unusquisque est, differt: attamen nigrum albo, praeter id quod differt, etiam contrarium esse universi cognoscimus. quin etiam figura ad figuram eodem modo se habet, genere porro unum est universum: partes autem generis huius, partim longe inter se differentes, partim etiam contrariae sunt: ceteraque huius-

που τυγχάνει. καὶ πόλλ' ἕτερα οὕτως ἔχοντ' εὑρήσομεν, ὥστε τούτῳ γε τῷ λόγῳ μὴ πίστευε, τῷ πάντα τὰ ἐναντιώτατα ἓν ποιοῦντι. φοβοῦμαι δὲ μή τινας ἡδονὰς ἡδοναῖς εὑρήσομεν ἐναντίας.

ΠΡΩ. Ἴσως· ἀλλὰ τί τοῦθ' ἡμῶν βλάψει τὸν λόγον;

ΣΩ. Ὅτι προσαγορεύεις αὐτὰ ἀνόμοια ὄντα ἑτέρῳ, φήσομεν, ὀνόματι. λέγεις γὰρ ἀγαθὰ πάντ' εἶναι τὰ ἡδέα. τὸ μὲν οὖν μὴ οὐχ ἡδέα εἶναι τὰ ἡδέα λόγος οὐδεὶς ἀμφισβητεῖ· κακὰ δ' ὄντ' αὐτῶν τὰ πολλὰ καὶ ἀγαθὰ δέ, ὡς ἡμεῖς φαμέν, ὅμως πάντα σὺ προσαγορεύεις ἀγαθὰ αὐτά, ὁμολογῶν ἀνόμοια εἶναι, τῷ λόγῳ εἴ τίς σε προσαναγκάζοι. τί οὖν δὴ ταὐτὸν ἐν ταῖς κακαῖς ὁμοίως καὶ ἐν ἀγαθαῖς ἑνὸν πάσας ἡδονὰς ἀγαθὸν εἶναι προσαγορεύεις;

ΠΡΩ. Πῶς λέγεις, ὦ Σώκρατες; οἶει γάρ τινά συγχωρήσεσθαι, θέμενον ἡδονὴν εἶναι τἀγαθόν, εἶτ' ἀνέξεσθαί σου λέγοντος τὰς μὲν εἶναί τινας ἡδονὰς ἀγαθάς, τὰς δέ τινας ἑτέρας αὐτῶν κακάς;

ΣΩ. Ἀλλ' οὖν ἀνομοίους γε φήσεις αὐτὰς ἀλλήλαις εἶναι καί τινας ἐναντίας.

ΠΡΩ. Οὔ τι καθ' ὅσον γε ἡδοναί.

modi multa reperiemus. Quamobrem noli huic rationi, quae contraria singula unum efficit, credere. Vereor enim, ne forte voluptates quasdam inter se contrarias reperiamus. *Pro.* Forte. at quid hoc rationi nostrae obstabit? *So.* Ob id certe obstare dicemus, quod ipsa, cum dissimilia sint, alio quodam nomine nuncupas. ais enim, voluptaria omnia bona esse; voluptaria vero, quin voluptaria sint, nulla prohibet ratio. Cum autem ex iis multa sint mala, et bona quaedam, ut diximus, tu tamen omnia bona nuncupas, ac etiam dissimilia invicem confessurus es, si quis coëgerit. Quid ergo in cunctis voluptatibus, tam malis quam bonis, idem communiter invenitur, cuius gratia omnes bonum nuncupas? *Pro.* Quid ais, o Socrates? an putas quempiam, cum posuerit voluptatem ipsum bonum esse, inde concessurum tibi, quasdam bonas, nonnullas malas esse? *So.* Veruntamen dissimiles esse multas, plerasque etiam inter se contrarias, confiteberis. *Pro.* Haud sane, in quantum voluptates sunt.

ψας πρὸς τὸν ἄνθρωπον, Τί λέγεις, ἔφη, περὶ τοῦδε τοῦ πόματος πρὸς τὸ ἀποσπεῖσαί τινι; ἔξεστιν ἢ οὔ; Τοσοῦτον, ἔφη, ὦ Σώκρατες, τρίβομεν, ὅσον οἰόμεθα μέτριον εἶναι πιεῖν. Μανθάνω, ἦ δ' ὅς· ἀλλ' εὔχεσθαί γέ που τοῖς θεοῖς ἔξεστί τε καὶ χρή, τὴν μετοίκησιν τὴν ἐνθένδε ἐκεῖσε εὐτυχῆ γενέσθαι· ἃ δὴ καὶ ἐγὼ εὔχομαί τε καὶ γένοιτο ταύτῃ. Καὶ ἅμα εἰπὼν ταῦτα ἐπισχόμενος καὶ μάλα εὐχερῶς καὶ εὐκόλως ἐξέπιε. καὶ ἡμῶν οἱ πολλοὶ τέως μὲν ἐπιεικῶς οἷοί τε ἦσαν κατέχειν τὸ μὴ δακρύειν, ὡς δὲ εἴδομεν πίνοντά τε καὶ πεπωκότα, οὐκέτι, ἀλλ' ἐμοῦ γε βίᾳ καὶ αὐτοῦ ἀσταχτὶ ἐχώρει τὰ δάκρυα, ὥστε ἐγκαλυψάμενος ἀπέκλαον ἐμαυτόν· οὐ γὰρ δὴ ἐκεῖνόν γε, ἀλλὰ τὴν ἐμαυτοῦ τύχην, οἵου ἀνδρὸς ἑταίρου ἐστερημένος εἴην. ὁ δὲ Κρίτων ἔτι πρότερος ἐμοῦ, ἐπειδὴ οὐχ οἷός τ' ἦν κατέχειν τὰ δάκρυα, ἐξανέστη. Ἀπολλόδωρος δὲ καὶ ἐν τῷ ἔμπροσθεν χρόνῳ οὐδὲν ἐπαύετο δακρύων, καὶ δὴ καὶ τότε ἀναβρυχησάμενος, κλάων καὶ ἀγανακτῶν, οὐδένα ὃν τινα οὐ κατέκλασε τῶν παρόντων, πλήν γε αὐτοῦ Σωκράτους. ἐκεῖνος δέ, Οἷα, ἔφη, ποιεῖτε, ὦ θαυμάσιοι. ἐγὼ μέντοι οὐχ ἥκιστα τούτου ἕνεκα τὰς

taurine illum aspiciens, Quid ais, inquit? licetne ex hoc poculo nonnihil spargendo sacrificare? Tantum, inquit, o Socrates, contrivimus, quantum satis fore putavimus. Intelligo, inquit. sed et licet et oportet orare deos, ut felix sit transmigratio nostra. quod equidem obsecro, atque utinam ita fiat! Et simul his dictis admonens facile admodum alacriterque ebibit. Plerique nostrum eousque retinere quodammodo lacrymas potueramus. at postquam et bibentem vidimus et bibisse, ulterius non potuimus; sed me quidem dolor adeo superabat, ut lacrymae largiter iam mihi profluerent. Quapropter me protegens deplorabam, non illum quidem, sed fortunam meam, qui tali amico orbatus essem. Crito autem etiam prius, cum lacrymas nequiret continere, surrexerat. Sed Apollodorus nec in superiori quidem tempore unquam lacrymare cessaverat: tunc vero praecipue vociferans, seque ipsum afflictans, neminem reliquit praesentium, cuius vicem non deploraret, praeter unius Socratis vicem. Ille vero haec animadvertens, Quidnam, inquit, o viri mirabiles, agitis? atqui ego maxime hanc ob causam mu-

γυναῖκας ἀπέπεμψα, ἵνα μὴ τοιαῦτα πλημμελοῖεν· καὶ γὰρ ἀκήκοα ὅτι ἐν εὐφημίᾳ χρὴ τελευτᾶν. ἀλλ' ἡσυχίαν τε ἄγετε καὶ καρτερεῖτε. Καὶ ἡμεῖς ἀκούσαντες ἠσχύνθημέν τε καὶ ἐπέσχομεν τοῦ δακρύειν. ὁ δὲ περιελθών, ἐπειδή οἱ βαρύνεσθαι ἔφη τὰ σκέλη, κατεκλίθη ὕπτιος· οὕτω γὰρ ἐκέλευεν ὁ ἄνθρωπος. καὶ ἅμα ἐφαπτόμενος αὐτοῦ οὗτος ὁ δοὺς τὸ φάρμακον, διαλιπὼν χρόνον ἐπεσκόπει τοὺς πόδας καὶ τὰ σκέλη, κἄπειτα σφόδρα πιέσας αὐτοῦ τὸν πόδα ἤρετο εἰ αἰσθάνοιτο· ὁ δ' οὐκ ἔφη. καὶ μετὰ τοῦτο αὖθις τὰς κνήμας· καὶ ἐπανιὼν οὕτως ἡμῖν ἐπεδείκνυτο ὅτι ψύχοιτό τε καὶ πήγνυτο. καὶ αὐτὸς ἥπτετο, καὶ εἶπεν ὅτι ἐπειδὰν πρὸς τῇ καρδίᾳ γένηται αὐτῷ, τότε οἰχήσεται. ἤδη οὖν σχεδόν τι αὐτοῦ ἦν τὰ περὶ τὸ ἧτρον ψυχόμενα, καὶ ἐκκαλυψάμενος, ἐνεκεκάλυπτο γάρ, εἶπεν, ὃ δὴ τελευταῖον ἐφθέγξατο, Ὦ Κρίτων, ἔφη, τῷ Ἀσκληπιῷ ὀφείλομεν ἀλεκτρυόνα. ἀλλ' ἀπόδοτε καὶ μὴ ἀμελήσητε. Ἀλλὰ ταῦτα, ἔφη, ἔσται, ὁ Κρίτων· ἀλλ' ὅρα εἴ τι ἄλλο λέγεις. Ταῦτα ἐρομένου αὐτοῦ οὐδὲν ἔτι ἀπεκρίνατο, ἀλλ' ὀλίγον χρόνον διαλιπὼν ἐκινήθη τε καὶ ὁ ἄνθρωπος ἐξεκάλυψεν αὐτόν, καὶ ὃς τὰ ὄμματα

lieres abegeram, ne talia facerent. audiveram enim, in benedictione esse ex hac vita migrandum. Quiescite igitur atque tolerate. Nos vero haec audientes erubuimus, destitimusque a lacrymis. Sed ipse, cum inter deambulandum crura iam gravari sentiret, iacuit resupinus: sic enim, qui venenum praebuit, iusserat. qui paulo post eum tangens, pedes et crura consideravit; deinde gravius comprimens pedem eius, quaesivit an sentiret. negavit Socrates. Ille rursus pressit tibias, paulatimque manu ascendens ostendit nobis frigere eas atque rigere. et ipse attigit rursus, aitque, cum ad cor pervenerit, tunc esse decessurum. Iam igitur friguerant ei praecordia, cum detegens (erat enim veste coopertus) dixit, quae vox illi extrema fuit: O Crito, Aesculapio gallum debemus: quem reddite; neque negligatis. Fiet, inquit Crito, quod iubes. sed vide, nunquid aliud velis. Haec interroganti nihil ultra respondit, sed paulo post commotus est. Et minister detexit eum: atque ipse lumina

ἔστησεν· ἰδὼν δὲ ὁ Κρίτων συνέλαβε τὸ στόμα τε καὶ τοὺς ὀφθαλμούς.

Ἥδε ἡ τελευτή, ὦ Ἐχέκρατες, τοῦ ἑταίρου ἡμῖν ἐγένετο, ἀνδρός, ὡς ἡμεῖς φαῖμεν ἄν, τῶν τότε ὧν ἐπειράθημεν ἀρίστου καὶ ἄλλως φρονιμωτάτου καὶ δικαιοτάτου.

fixit. Quod quum Crito cerneret, ora oculosque composuit. Hic finis fuit amici nostri, o Echecrates, viri, nostro quidem iudicio, omnium, quos experti sumus, optimi et apprime sapientissimi atque iustissimi.

ΦΙΛΗΒΟΣ

ΤΑ ΤΟΥ ΔΙΑΛΟΓΟΥ ΠΡΟΣΩΠΑ

ΣΩΚΡΑΤΗΣ, ΠΡΩΤΑΡΧΟΣ, ΦΙΛΗΒΟΣ.

SOCRATES, PROTARCHUS, PHILEBUS.

Ὅρα δή, ὦ Πρώταρχε, τίνα λόγον μέλλεις παρὰ Φι- 11
λήβου δέχεσθαι νυνὶ καὶ πρὸς τίνα τὸν παρ' ἡμῖν ἀμφισβητεῖν, ἐὰν μή σοι κατὰ νοῦν ᾖ λεγόμενος. βούλει συγκεφαλαιωσώμεθα ἑκάτερον;

ΠΡΩ. Πάνυ μὲν οὖν.

ΣΩ. Φίληβος μὲν τοίνυν ἀγαθὸν εἶναί φησι τὸ χαίρειν πᾶσι ζώοις καὶ τὴν ἡδονὴν καὶ τέρψιν, καὶ ὅσα τοῦ γένους ἐστὶ τούτου σύμφωνα· τὸ δὲ παρ' ἡμῶν ἀμφισβήτημά ἐστι μὴ ταῦτα ἀλλὰ τὸ φρονεῖν καὶ τὸ νοεῖν καὶ τὸ μεμνῆσθαι καὶ τὰ τούτων αὖ ξυγγενῆ, δόξαν τε ὀρθὴν καὶ ἀληθεῖς λογισμούς, τῆς γε ἡδονῆς ἀμείνω καὶ λῴω γίγνεσθαι ξύμπασιν, ὅσα περ αὐτῶν δυνατὰ μεταλαβεῖν· δυνατοῖς δὲ μετασχεῖν ὠφελιμώτατον ἁπάντων εἶναι πᾶσι τοῖς οὖσί τε καὶ ἐσομένοις. Μῶν οὐχ οὕτω πως λέγομεν, ὦ Φίληβε, ἑκάτεροι;

ΦΙ. Πάντων μὲν οὖν μάλιστα, ὦ Σώκρατες.

Vide, o Protarche, quem nunc a Philebo sermonem acceptu-
rus sis, et ad quem potius, cuius ratio tibi non consonet, pu-
gnaturus. Visne utramque sententiam breviter resumamus? *Pro.*
Volo equidem. *So.* Philebus quidem inquit, animantibus omni-
bus bonum esse laetitiam, voluptatem, delectationem, ceteraque
huius generis omnia. Nostra autem adversus illum disceptatio
est, ut non ista quidem sint ipsum bonum, immo sapere, intel-
ligere, meminisse, et quae hisce cognata, opinio recta verique
rationis discursus, meliora et potiora sint quam voluptas omni-
bus quaecunque horum capacia sunt; eorumque adeptio maxime
omnium utilis sit, et praesentibus et futuris. Num sic utrique
quodammodo diximus, o Philebe? *Phil.* Et maxime quidem.

ΣΩ. Λέγει δὴ τοῦτον τὸν νῦν διδόμενον, ὦ Πρώταρχε, λόγον;

ΠΡΩ. Ἀνάγκη δέχεσθαι· Φίληβος γὰρ ἡμῖν ὁ καλὸς ἀπείρηκεν.

ΣΩ. Δεῖ δὴ περὶ αὐτῶν τρόπῳ παντὶ τἀληθὲς πῃ περανθῆναι;

ΠΡΩ. Δεῖ γὰρ οὖν.

ΣΩ. Ἴθι δή, πρὸς τούτοις διομολογησώμεθα καὶ τόδε.

ΠΡΩ. Τὸ ποῖον;

ΣΩ. Ὡς νῦν ἡμῶν ἑκάτερος ἕξιν ψυχῆς καὶ διάθεσιν ἀποφαίνειν τινὰ ἐπιχειρήσει τὴν δυναμένην ἀνθρώποις πᾶσι τὸν βίον εὐδαίμονα παρέχειν. ἆρ' οὐχ οὕτως;

ΠΡΩ. Οὕτω μὲν οὖν.

ΣΩ. Οὐκοῦν ὑμεῖς μὲν τὴν τοῦ χαίρειν, ἡμεῖς δ' αὖ τὴν τοῦ φρονεῖν;

ΠΡΩ. Ἔστι ταῦτα.

ΣΩ. Τί δ', ἂν ἄλλη τις κρείττων τούτων φανῇ; μῶν οὐκ, ἂν μὲν ἡδονῇ μᾶλλον φαίνηται ξυγγενής, ἡττώμεθα μὲν ἀμφότεροι τοῦ ταῦτ' ἔχοντος βεβαίως
12 βίου, κρατεῖ δὲ ὁ τῆς ἡδονῆς τὸν τῆς φρονήσεως;

ΠΡΩ. Ναί.

ΣΩ. Ἂν δέ γε φρονήσει, νικᾷ μὲν φρόνησις τὴν

So. An suscipis, o Protarche, eam quae tibi nunc oblata est disputationem? *Pro.* Necesse est me illam suscipere. *So.* Philebus quidem noster iam dicendo defessus est. Oportet tamen, quid in iis verum sit, omni studio definire. *Pro.* Oportet sane. *So.* Age igitur, praeter haec id insuper asseveremus. *Pro.* Quidnam? *So.* Quod uterque nostrum habitum quendam et affectionem animi, quae cunctis hominibus vitam beatam praebere valeat, demonstrare conabitur. nonne? *Pro.* Certe. *So.* Et vos profecto habitum affectionemque laetandi, nos autem sapiendi. *Pro.* Sic est. *So.* Si quis vero habitus praestantior istis appareat, qui voluptati cognatior videatur, a tali vita, cum stabilis sit atque haec firmiter habeat, utrique nimium superabimur: voluptas autem sapientiam superabit? *Pro.* Profecto. *So.* Sin autem sapientiae sit propinquior, vincet utique sapientia volu-

ἡδονήν, ἢ δὲ ἡττᾶται; ταῦθ' οὕτως ὁμολογούμενά φατε, ἢ πῶς;

ΠΡΩ. Ἔμοιγ' οὖν δοκεῖ.

ΣΩ. Τί δαὶ Φιλήβῳ; τί φῄς;

ΦΙ. Ἐμοὶ μὲν πάντως νικᾷν ἡδονὴ δοκεῖ καὶ δόξει· σὺ δ', ὦ Πρώταρχε, αὐτὸς γνώσει.

ΠΡΩ. Παραδούς, ὦ Φίληβε, ἡμῖν τὸν λόγον οὐκ ἂν ἔτι κύριος εἴης τῆς πρὸς Σωκράτη ὁμολογίας ἢ καὶ τοὐναντίον.

ΦΙ. Ἀληθῆ λέγεις· ἀλλὰ γὰρ ἀφοσιοῦμαι καὶ μαρτύρομαι νῦν αὐτὴν τὴν θεόν.

ΠΡΩ. Καὶ ἡμεῖς σοι τούτων γε αὐτῶν συμμάρτυρες ἂν εἴμεν, ὡς ταῦτ' ἔλεγες ἃ λέγεις. Ἀλλὰ δὴ τὰ μετὰ ταῦτα ἑξῆς, ὦ Σώκρατες, ὅμως καὶ μετὰ Φιλήβου ἑκόντος ἢ ὅπως ἂν ἐθέλῃ, πειρώμεθα περαίνειν.

ΣΩ. Πειρατέον, ἀπ' αὐτῆς δὴ τῆς θεοῦ, ἣν ὅδε Ἀφροδίτην μὲν λέγεσθαί φησι, τὸ δ' ἀληθέστατον αὐτῆς ὄνομα ἡδονὴν εἶναι.

ΠΡΩ. Ὀρθότατα.

ΣΩ. Τὸ δ' ἐμὸν δέος, ὦ Πρώταρχε, ἀεὶ πρὸς τὰ τῶν θεῶν ὀνόματα οὐκ ἔστι κατ' ἄνθρωπον, ἀλλὰ πέρα τοῦ μεγίστου φόβου. καὶ νῦν τὴν μὲν Ἀφροδίτην, ὅπῃ ἐκείνῃ φίλον, ταύτῃ προσαγορεύω· τὴν δὲ ἡδονὴν οἶδα

ptatem, voluptas contra succumbet. Num ista conceditis? *Pro.* Mihi quidem concedenda videntur. *So.* Philebo autem quidnam videtur? *Phi.* Mihi sane voluptas praestare videtur semperque videbitur. ipse autem noveris, o Protarche. *Pro.* Cum iam nobis, Philebe, concesseris disputationis officium, haud amplius apud te assentiendi Socrati vel dissentiendi potestas erit. *Phi.* Vera dicis. *So.* At nunc expiationis gratia deam ipsam primum invoco atque testor. *Pro.* Et nos quoque testes erimus, te ista dixisse. Verum deinceps, o Socrates, una cum volente Philebo, vel quomodocunque vis, conemur absolvere. *So.* Annitamur profecto ab ipsa dea exordientes, quam iste Venerem nuncupatam inquit, sed verissimum nomen eius voluptatem esse. *Pro.* Recte nimium. *So.* Reverentia vero mihi semper erga deorum nomina, non humana quaedam formido est, sed maximum quemque timorem exsuperat. Et nunc quidem Venerem, quemadmodum ipsi gratum est, sic appello: voluptа-

ὡς ἔστι ποικίλον, καὶ ὃ πρ εἶπον, ἀπ' ἐκείνης ἡμᾶς ἀρχομένους ἐνθυμεῖσθαι δεῖ καὶ σκοπεῖν ἥν τινα φύσιν ἔχει. ἔστι γὰρ ἀκούειν μὲν οὕτως ἁπλῶς ἕν τι, μορφὰς δὲ δή που παντοίας εἴληφε καί τινα τρόπον ἀνομοίους ἀλλήλαις. ἴδε γάρ, ἥδεσθαι μέν φαμεν τὸν ἀκολασταίνοντα ἄνθρωπον, ἥδεσθαι δὲ καὶ τὸν σωφρονοῦντα αὐτῷ τῷ σωφρονεῖν· ἥδεσθαι δ' αὖ καὶ τὸν ἀνοητα ίνοντα καὶ ἀνοήτων δοξῶν καὶ ἐλπίδων μεστόν, ἥδεσθαι δ' αὖ καὶ τὸν φρονοῦντα αὐτῷ τῷ φρονεῖν· καὶ τούτων τῶν ἡδονῶν ἑκατέρας πῶς ἄν τις ὁμοίας ἀλλήλαις εἶναι λέγων οὐκ ἀνόητος φαίνοιτο ἐνδίκως;

ΠΡΩ. Εἰσὶ μὲν γὰρ ἀπ' ἐναντίων, ὦ Σώκρατες, αὗται πραγμάτων, οὐ μὴν αὐταί γε ἀλλήλαις ἐναντίαι· πῶς γὰρ ἡδονή γε ἡδονῇ μὴ οὐχ ὁμοιότατον ἂν εἴη τοῦτ' αὐτὸ ἑαυτῷ, πάντων χρημάτων;

ΣΩ. Καὶ γὰρ χρῶμα, ὦ δαιμόνιε, χρώματι κατά γε αὐτὸ τοῦτ' οὐδὲν διοίσει, τὸ χρῶμα εἶναι πᾶν· τύ γε μὴν μέλαν τῷ λευκῷ πάντες γιγνώσκομεν ὡς πρὸς τῷ διάφορον εἶναι καὶ ἐναντιώτατον ὂν τυγχάνει. καὶ δὴ καὶ σχῆμα σχήματι κατὰ ταὐτὸν γένει μέν ἐστι πᾶν ἕν, τὰ δὲ μέρη τοῖς μέρεσιν αὐτοῦ τὰ μὲν ἐναντιώτατα ἀλλήλοις, τὰ δὲ διαφορότητα ἔχοντα μυρίαν

tem vero variam esse scio. ab eaque, ut dixi, principium facientes, quam habeat naturam, investigare debemus. Etenim quantum ad auditum attinet, simpliciter unum apparet: formas tamen varias admodum, et invicem quodammodo dissimiles, suscipit. Attende enim, delectari dicimus intemperantem hominem: delectari ipsa temperantia temperantem, delectari insipientem insipientibus opinionibus ac vana spe undique plenum: delectari etiam sapientia sapientem. has utique voluptates si quis dissimiles neget, merito insipiens esse videbitur. *Pro.* Istae quidem, o Socrates, ex contrariis rebus proveniunt, neque tamen invicem ipsae contrariae. nonne voluptatis voluptas, in quibus voluptas est sui ipsius, omnium maxime simillima erit? *So.* Enimvero, o beate, neque color a colore, ex eo quod color unusquisque est, differt: attamen nigrum albo, praeter id quod differt, etiam contrarium esse universi cognoscimus. quin etiam figura ad figuram eodem modo se habet, genere porro unum est universum: partes autem generis huius, partim longe inter se differentes, partim etiam contrariae sunt: ceteraque huius-

που τυγχάνει. καὶ πόλλ' ἕτερα οὕτως ἔχοντ' εὑρήσομεν, ὥστε τούτῳ γε τῷ λόγῳ μὴ πίστευε, τῷ πάντα τὰ ἐναντιώτατα ἓν ποιοῦντι. φοβοῦμαι δὲ μή τινας ἡδονὰς ἡδοναῖς εὑρήσομεν ἐναντίας.

ΠΡΩ. Ἴσως· ἀλλὰ τί τοῦθ' ἡμῶν βλάψει τὸν λόγον;

ΣΩ. Ὅτι προσαγορεύεις αὐτὰ ἀνόμοια ὄντα ἑτέρῳ, φήσομεν, ὀνόματι. λέγεις γὰρ ἀγαθὰ πάντ' εἶναι τὰ ἡδέα. τὸ μὲν οὖν μὴ οὐχ ἡδέα εἶναι τὰ ἡδέα λόγος οὐδεὶς ἀμφισβητεῖ· κακὰ δ' ὄντ' αὐτῶν τὰ πολλὰ καὶ ἀγαθὰ δέ, ὡς ἡμεῖς φαμέν, ὅμως πάντα σὺ προσαγορεύεις ἀγαθὰ αὐτά, ὁμολογῶν ἀνόμοια εἶναι, τῷ λόγῳ εἴ τίς σε προσαναγκάζοι. τί οὖν δὴ ταὐτὸν ἐν ταῖς κακαῖς ὁμοίως καὶ ἐν ἀγαθαῖς ἑνὸν πάσας ἡδονὰς ἀγαθὸν εἶναι προσαγορεύεις;

ΠΡΩ. Πῶς λέγεις, ὦ Σώκρατες; οἶει γάρ τινά συγχωρήσεσθαι, θέμενον ἡδονὴν εἶναι τἀγαθόν, εἶτ' ἀνέξεσθαί σου λέγοντος τὰς μὲν εἶναί τινας ἡδονὰς ἀγαθάς, τὰς δέ τινας ἑτέρας αὐτῶν κακάς;

ΣΩ. Ἀλλ' οὖν ἀνομοίους γε φήσεις αὐτὰς ἀλλήλαις εἶναι καί τινας ἐναντίας.

ΠΡΩ. Οὔ τι καθ' ὅσον γε ἡδοναί.

modi multa reperiemus. Quamobrem noli huic rationi, quae contraria singula unum efficit, credere. Vereor enim, ne forte voluptates quasdam inter se contrarias reperiamus. *Pro.* Forte. at quid hoc rationi nostrae obstabit? *So.* Ob id certe obstare dicemus, quod ipsa, cum dissimilia sint, alio quodam nomine nuncupas. ais enim, voluptaria omnia bona esse; voluptaria vero, quin voluptaria sint, nulla prohibet ratio. Cum autem ex iis multa sint mala, et bona quaedam, ut diximus, tu tamen omnia bona nuncupas, ac etiam dissimilia invicem confessurus es, si quis coëgerit. Quid ergo in cunctis voluptatibus, tam malis quam bonis, idem communiter invenitur, cuius gratia omnes bonum nuncupas? *Pro.* Quid ais, o Socrates? an putas quempiam, cum posuerit voluptatem ipsum bonum esse, inde concessurum tibi, quasdam bonas, nonnullas malas esse? *So.* Veruntamen dissimiles esse multas, plerasque etiam inter se contrarias, confiteberis. *Pro.* Haud sane, in quantum voluptates sunt.

ΣΩ. Πάλιν εἰς τὸν αὐτὸν φερόμεθα λόγον, ὦ Πρώταρχε. οὐδ' ἄρα ἡδονὴν ἡδονῆς διάφορον, ἀλλὰ πάσας ὁμοίας εἶναι φήσομεν, καὶ τὰ παραδείγματα ἡμᾶς τὰ νῦν δὴ λεχθέντα οὐδὲν τετρώσκει, πειρασόμεθα δὲ καὶ ἐροῦμεν ἅ περ οἱ πάντων φαυλότατοί τε καὶ περὶ λόγους ἄμα νέοι.

ΠΡΩ. Τὰ ποῖα δὴ λέγεις;

ΣΩ. Ὅτι σὲ μιμούμενος ἐγὼ καὶ ἀμυνόμενος ἐὰν τολμῶ λέγειν ὡς τὸ ἀνομοιότατόν ἐστι τῷ ἀνομοιοτάτῳ πάντων ὁμοιότατον, ἔξω τὰ αὐτὰ σοὶ λέγειν, καὶ φανούμεθά γε νεώτεροι τοῦ δέοντος, καὶ ὁ λόγος ἡμῖν ἐκπεσὼν οἰχήσεται. πάλιν οὖν αὐτὸν ἀνακρουώμεθα, καὶ τάχ' ἀνιάντες εἰς τὰς ὁμοίας ἴσως ἄν πως ἀλλήλοις συγχωρήσαιμεν.

ΠΡΩ. Λέγε πῶς;

ΣΩ. Ἐμὲ θὲς ὑπὸ σοῦ πάλιν ἐρωτώμενον, ὦ Πρώταρχε.

ΠΡΩ. Τὸ ποῖον δή;

ΣΩ. Φρόνησίς τε καὶ ἐπιστήμη καὶ νοῦς καὶ πάνθ' ὁπόσα δὴ κατ' ἀρχὰς ἐγὼ θέμενος εἶπον ἀγαθά, διερωτώμενος ὅ τί ποτέ ἐστι τἀγαθόν, ἆρ' οὐ ταὐτὸν πείσονται τοῦτο ὅ περ ὁ σὸς λόγος;

ΠΡΩ. Πῶς;

So. Rursus in idem relabimur, o Protarche; dicemus voluptatem nihilo a voluptate differre, sed omnes sibi invicem consimiles esse: et exempla in medium paulo ante inducta nihil movebunt: contendemusque instar eorum, qui inepti et rudes in disputationibus sunt. *Pro.* Quemadmodum dicis? *So.* Quod si ipse te imitans atque repugnans dicere ausim, dissimillimum dissimillimi omnium esse simillimum, eadem, quae et tu, afferre potero, unde rudiores, quam deceat, apparebimus: et ratio nobis excidet atque defluet. Revocemus igitur eam retractemusque. forte enim vicissim agentes, et quasi easdem in ansas redeuntes, aliquo pacto conveniemus. *Pro.* Dic quomodo? *So.* Pone me iterum interrogatum abs te, o Protarche. *Pro.* Quidnam? *So.* Sapientia, scientia, mens, et quaecunque ego a principio ponens bona vocabam, rogatus quid ipsum bonum sit, nonne idem, quod et sermo tuus, patientur? *Pro.* Qua ratione?

ΣΩ. Πολλαί τε αἱ ξυνάπασαι ἐπιστῆμαι δόξουσιν εἶναι καὶ ἀνόμοιοί τινες αὐτῶν ἀλλήλαις. εἰ δὲ καὶ ἐναντίαι πῃ γίγνονταί τινες, ἆρ' ἄξιος ἂν εἴην τοῦ διαλέγεσθαι νῦν, εἰ φοβηθεὶς τοῦτ' αὐτὸ μηδεμίαν ἀνόμοιον φαίην ἐπιστήμην ἐπιστήμῃ γίγνεσθαι, κἄπειθ' ἡμῖν οὗτος ὁ λόγος ὥς περ μῦθος ἀπολόμενος οἴχοιτο, αὐτοὶ δὲ σωζοίμεθα ἐπί τινος ἀλογίας; ἀλλ' οὐ μὴν δεῖ τοῦτο γενέσθαι, πλὴν τοῦ σωθῆναι. τό γε μήν μοι ἴσον τοῦ σοῦ τε καὶ ἐμοῦ λόγου ἀρέσκει· πολλαὶ μὲν ἡδοναὶ καὶ ἀνόμοιοι γιγνέσθων, πολλαὶ δὲ ἐπιστῆμαι καὶ διάφοροι. τὴν τοίνυν διαφορότητα, ὦ Πρώταρχε, τοῦ ἀγαθοῦ τοῦ τ' ἐμοῦ καὶ τοῦ σοῦ μὴ ἀποκρυπτόμενοι, κατατιθέντες δὲ εἰς τὸ μέσον, τολμῶμεν ἄν πῃ ἐλεγχόμενοι μηνύσωσι, πότερον ἡδονὴν ταγαθὸν δεῖ λέγειν ἢ φρόνησιν ἤ τι τρίτον ἄλλο εἶναι. νῦν γὰρ οὐ δή που πρός γε αὐτὸ τοῦτο φιλονεικοῦμεν, ὅπως ἐγὼ τίθεμαι, ταῦτ' ἔσται τὰ νικῶντα, ἢ ταῦθ' ἃ σύ, τῷ δ' ἀληθεστάτῳ δεῖ που συμμαχεῖν ἡμᾶς ἄμφω.

ΠΡΩ. Δεῖ γὰρ οὖν.

ΣΩ. Τοῦτον τοίνυν τὸν λόγον ἔτι μᾶλλον δι' ὁμολογίας βεβαιωσώμεθα.

ΠΡΩ. Τὸν ποῖον δή;

So. Cunctae namque scientiae multae videbuntur, earumque nonnullae dissimiles invicem. quod si quae etiam contrariae sint, nunquid praesenti disputatione dignus fuero, si hoc ipsum veritus, nullam scientiam scientiae dissimilem dixerim? Sic tandem sermo noster tanquam fabula evanesceret, nos autem ruditate quadam servaremur, at sic fieri minime decet: quin potius salutis ratio habenda est. Mihi igitur et in tua et in mea oratione ex aequo id placet, ut multae videlicet voluptates atque dissimiles sint, multae praeterea differentesque scientiae. Differentiam itaque mei ac tui boni, o Protarche, minime abscondentes, sed in lucem potius educentes, discutere audeamus, si quo pacto per redargutionem significatur, utrum voluptatem ipsum bonum vel sapientiam, aut tertium quiddam praeter ista nuncupare deceat. Nunc enim nequaquam istud contendere debemus, ut quae ipse pono aut quae tu, vincant: sed illi quod verissimum est, faveamus. *Pro.* Sic oportet. *So.* Hoc item multo magis mutua confessione asseveremus. *Pro.* Quidnam?

ΣΩ. Τὸν πᾶσι παρέχοντα ἀνθρώποις πράγματα ἑκοῦσί τε καὶ ἄκουσιν ἐνίοις καὶ ἐνίοτε.

ΠΡΩ. Λέγε σαφέστερον.

ΣΩ. Τὸν νῦν δὴ παραπεσόντα λέγω, φύσει πως πεφυκότα θαυμαστόν. ἓν γὰρ δὴ τὰ πολλὰ εἶναι καὶ τὸ ἓν πολλὰ θαυμαστὸν λεχθέν, καὶ ῥᾴδιον ἀμφισβητῆσαι τῷ τούτων ὁποτερουοῦν τιθεμένῳ.

ΠΡΩ. Ἆρ' οὖν λέγεις, ὅταν τις ἐμὲ φῇ Πρώταρχον ἕνα γεγονότα φύσει πολλοὺς εἶναι πάλιν, τοὺς ἐμὲ καὶ ἐναντίους ἀλλήλοις μέγαν καὶ σμικρὸν τιθέμενος, καὶ βαρὺν καὶ κοῦφον τὸν αὐτόν, καὶ ἄλλα μυρία;

ΣΩ. Σὺ μέν, ὦ Πρώταρχε, εἴρηκας τὰ δεδημευμένα τῶν θαυμαστῶν περὶ τὸ ἓν καὶ πολλά, συγκεχωρημένα δὲ ὡς ἔπος εἰπεῖν ὑπὸ πάντων ἤδη, μὴ δεῖν τῶν τοιούτων ἅπτεσθαι, παιδαριώδη καὶ ῥᾴδια καὶ σφόδρα τοῖς λόγοις ἐμπόδια ὑπολαμβανόντων γίγνεσθαι, ἐπεὶ μηδὲ τὰ τοιάδε, ὅταν τις ἑκάστου τὰ μέλη τε καὶ ἅμα μέρη διελὼν τῷ λόγῳ, πάντα ταῦτα τὸ ἓν ἐκεῖνο εἶναι διομολογησάμενος, ἐλέγχῃ καταγελῶν ὅτι τέρατα διηνάγκασται φάναι, τό τε ἓν ὡς πολλὰ ἐστι καὶ ἄπειρα, καὶ τὰ πολλὰ ὡς ἓν μόνον.

So. Quod homines omnes fatigat, tum volentes tum etiam nolentes, aliquos praecipue et aliquando. *Pro.* Dic planius. *So.* Sermonem, qui nunc incidit, inquam, natura mirabilem: Multa unum esse, et unum multa, mirabile dictu. atque facile est adversus eum, qui alterutrum posuerit, dubitationes movere. *Pro.* Nunquid ais, cum quispiam me verbi causa Protarchum unum natura genitum asserit, deinde me rursus multos atque contrarios praedicat? magnum, parvum, gravem, levem eundem hominem, aliaque permulta? *So.* Tu quidem, o Protarche, inducis ea circa unum ac multa miranda, quae divulgata sunt, et, ut ita dicam, ab omnibus iam concessa, quam minime tentanda sint, veluti puerilia quaedam et facilia cognitu, ac maxima disputationi futura obstacula, si quis admiserit: neque etiam mirabilia haec habenda, inquam, cum quis cuiusque membra partesque ratione dividens, universa haec illud unum esse fatetur, deinde talia quaedam refellit, deridens, quasi monstra fateri cogatur, quod unum multa infinitaque sit, multaque unum.

ΠΡΩ. Σὺ δὲ δὴ ποῖα, ὦ Σώκρατες, ἕτερα λέγεις, ἃ μήπω συγκεχωρημένα δεδήμευται περὶ τὸν αὐτὸν τοῦτον λόγον;

ΣΩ. Ὁπόταν, ὦ παῖ, τὸ ἓν μὴ τῶν γιγνομένων τε καὶ ἀπολλυμένων τις τιθῆται, καθά περ ἀρτίως ἡμεῖς ἔφαμεν. ἐνταυθοῖ μὲν γὰρ καὶ τὸ τοιοῦτον ἕν, ὅ περ ἔφαμεν νῦν δή, συγκεχώρηται τὸ μὴ δεῖν ἐλέγχειν· ὅταν δέ τις ἕνα ἄνθρωπον ἐπιχειρῇ τίθεσθαι καὶ βοῦν ἕνα καὶ τὸ καλὸν ἓν καὶ ἀγαθὸν ἕν, περὶ τούτων τῶν ἑνάδων καὶ τῶν τοιούτων ἡ πολλὴ σπουδὴ μετὰ διαιρέσεως ἀμφισβήτησις γίγνεται.

ΠΡΩ. Πῶς;

ΣΩ. Πρῶτον μὲν εἴ τινας δεῖ τοιαύτας εἶναι μονάδας ὑπολαμβάνειν ἀληθῶς οὔσας· εἶτα πῶς αὖ ταύτας, μίαν ἑκάστην οὖσαν ἀεὶ τὴν αὐτὴν καὶ μήτε γένεσιν μήτε ὄλεθρον προσδεχομένην, ὅμως εἶναι βεβαιότατα μίαν ταύτην· μετὰ δὲ τοῦτ' ἐν τοῖς γιγνομένοις αὖ καὶ ἀπείροις εἴτε διεσπασμένην καὶ πολλὰ γεγονυῖαν θετέον, εἴθ' ὅλην αὐτὴν αὑτῆς χωρίς, ὃ δὴ πάντων ἀδυνατώτατον φαίνοιτ' ἄν, ταὐτὸν καὶ ἓν ἅμα ἐν ἑνί τε καὶ πολλοῖς γίγνεσθαι. ταῦτ' ἔστι τὰ περὶ τὰ τοιαῦτα ἓν καὶ πολλά, ἀλλ' οὐκ ἐκεῖνα, ὦ Πρώταρχε, ἁπάσης

Pro. Tu vero quaenam alia dicis, o Socrates, quae nondum concessa circa sermonem eundem divulgata sint? *So.* Quando quispiam, o puer, ipsum unum nihil ex iis quae oriuntur et occidunt, ponit, ut paulo ante nos diximus, tunc tale unum haudquaquam refelli debere concessum est. at cum unum hominem affirmare conatur, bovem unum, pulchrum unum, unumque bonum, tunc sane in iis unitatibus et huiuscemodi rebus anxium studium cum divisione ambiguitas fit. *Pro.* Quo pacto? *So.* Primo quidem utrum admittendum sit, eiuscemodi quasdam vere existentes unitates esse. Deinde quomodo quamlibet earum unam semper eandemque esse putandum, nec generationem nec interitum suscipientem, suaque in unitate firmissimam. Postremo nunquid in rebus genitis et infinitis quaeque ponenda sit, sive dispersa, multaque ex una iam facta, sive tota ipsa ab se ipsa seorsim: quod quidem maxime omnium impossibile videretur, unum idemque simul in uno multisque fieri. Non illa igitur, o Protarche, sed ista sunt quae circa unum et multa

ἀπορίας αἴτια μὴ καλῶς ὁμολογηθέντα καὶ εὐπορίας ἂν αὖ καλῶς.

ΠΡΩ. Οὐκοῦν χρὴ τοῦθ' ἡμᾶς, ὦ Σώκρατες, ἐν τῷ νῦν πρῶτον διαπονήσασθαι;

ΣΩ. Ὡς γοῦν ἐγὼ φαίην ἄν.

ΠΡΩ. Καὶ πάντας τοίνυν ἡμᾶς ὑπόλαβε συγχωρεῖν σοι ταύσδε τὰ τοιαῦτα· Φίληβον δ' ἴσως κράτιστον ἐν τῷ νῦν ἐπερωτῶντα μὴ κινεῖν εὖ κείμενον.

ΣΩ. Εἶεν. πόθεν οὖν τις ταύτης ἄρξηται πολλῆς οὔσης καὶ παντοίας περὶ τὰ ἀμφισβητούμενα μάχης; ἆρ' ἐνθένδε;

ΠΡΩ. Πόθεν;

ΣΩ. Φαμέν που ταὐτὸν ἓν καὶ πολλὰ ὑπὸ λόγων γιγνόμενα περιτρέχειν πάντῃ καθ' ἕκαστον τῶν λεγομένων ἀεὶ καὶ πάλαι καὶ νῦν. καὶ τοῦτο οὔτε μὴ παύσηταί ποτε οὔτε ἤρξατο νῦν, ἀλλ' ἔστι τὸ τοιοῦτον, ὡς ἐμοὶ φαίνεται, τῶν λόγων αὐτῶν ἀθάνατόν τι καὶ ἀγήρων πάθος ἐν ἡμῖν. ὁ δὲ πρῶτον αὐτοῦ γευσάμενος ἑκάστοτε τῶν νέων, ἡσθεὶς ὡς τινα σοφίας εὑρηκὼς θησαυρόν, ὑφ' ἡδονῆς ἐνθουσιᾷ τε καὶ πάντα κινεῖ λόγον ἄσμενος, τοτὲ μὲν ἐπὶ θάτερα κυκλῶν καὶ συμφύρων εἰς ἕν, τοτὲ δὲ πάλιν ἀνειλίττων καὶ διαμε-

male accepta, omnis difficultatis defectusque sunt causa: bene autem examinata, facilitatis atque facundiae. *Pro.* Oportet nos, o Socrates, hoc primum in praesentia discutere, ut et ego fateor et hos omnes talia concedere tibi existima. Forte vero nunc praestat, Philebum, quasi malum, ut dicitur, quod bene iacet, rogando non movere. *So.* At unde potissimum exordiemur, cum multa et varia in his dubitationibus pugna insit? hincne? Dicimus utique idem unum ac multa rationibus et sermonibus factum, semper per singula, quae dicuntur, et nunc et olim undique circumcurrere. idque neque nunc incepit neque desinet unquam: sed est, ut mihi videtur, haec rationum sermonumque immortalis et indeficiens nobis insita passio. cum primum adolescens aliquis id gustavit, secum ipse congratulatur, quasi quendam thesaurum sapientiae nactus, et voluptate plenus exsultat ac furit, omnemque disputationem prompte pertentat, atque sermonem undique discutit, tum quidem in alteram partem reflectens et in unum commiscens, tum vero explicans iterum et

ρίζων, εἰς ἀπορίαν αὐτὸν μὲν πρῶτον καὶ μάλιστα καταβάλλων, δεύτερον δ' ἀεὶ τὸν ἐχόμενον, ἄν τε νεώτερος ἄν τε πρεσβύτερος ἄν τε ἡλιξ ὢν τυγχάνῃ, φειδόμενος οὔτε πατρὸς οὔτε μητρὸς οὔτε ἄλλου τῶν ἀκουόντων οὐδενός, ὀλίγου δὲ καὶ τῶν ἄλλων ζώων, οὐ μόνον τῶν ἀνθρώπων, ἐπεὶ βαρβάρων γε οὐδενὸς ἄν φείσαιτο, εἴ περ μόνον ἑρμηνέα ποθὲν ἔχοι.

ΠΡΩ. Ἆρ', ὦ Σώκρατες, οὐχ ὁρᾷς ἡμῶν τὸ πλῆθος, ὅτι νέοι πάντες ἐσμέν; καὶ οὐ φοβεῖ μή σοι μετὰ Φιλήβου ξυνεπιθώμεθα, ἐὰν ἡμᾶς λοιδορῇς; ὅμως δέ, μανθάνομεν γὰρ ὃ λέγεις, εἴ τις τρόπος ἔστι καὶ μηχανὴ τὴν μὲν τοιαύτην ταραχὴν ἡμῖν ἔξω τοῦ λόγου εὐμενῶς πως ἀπελθεῖν, ὁδὸν δέ τινα καλλίω ταύτης ἐπὶ τὸν λόγον ἀνευρεῖν, σύ τε προθυμοῦ τοῦτο καὶ ἡμεῖς συνακολουθήσομεν εἰς δύναμιν· οὐ γὰρ σμικρὸς ὁ παρὼν λόγος, ὦ Σώκρατες.

ΣΩ. Οὐ γὰρ οὖν, ὦ παῖδες, ὡς φησιν ὑμᾶς προαγορεύων Φίληβος. οὐ μὴν ἔστι καλλίων ὁδὸς οὐδ' ἂν γένοιτο, ἧς ἐγὼ ἐραστὴς μέν εἰμι ἀεί, πολλάκις δέ με ἤδη διαφυγοῦσα ἔρημον καὶ ἄπορον κατέστησεν.

ΠΡΩ. Τίς αὕτη; λεγέσθω μόνον.

in multa distribuens: ubi certe in dubitationem difficultatemque se ipsum primo ac praecipue deiicit: deinde proximum quemque, sive iunior sive senior sive aequalis sit: nec patri nec matri nec audientium cuiquam parcens; ferme etiam nec aliis animantibus, nedum hominibus, quandoquidem et barbarorum nemini parcat, modo interpretem nanciscatur. *Pro.* An non vides, o Socrates, nos qui adstamus, omnes iuvenes esse? non metuis, ne una cum Philebo, si nos ita obiurgaveris, in te impetum faciamus? Veruntamen, (intelligimus enim quod dicis,) si quis modus est, si quod machinamentum ad hanc perturbationem benigne quodammodo e disputatione reiiciendam, ac viam quandam in rationem atque sermonem commodiorem reperiendam, ipse id meditare, nos vero pro viribus te sectabimur. neque enim exiguus est sermo praesens, o Socrates. *So.* Non certe, o pueri: sic enim Philebus vos appellavit. nulla tamen est via pulchrior, neque esse potest, quam illa quam semper ego dilexi. At illa me saepe fugiens, desertum inopemque destituit. *Pro.* Quaenam ista? dic modo.

ΣΩ. Ἦν δηλῶσαι μὲν οὐ πάνυ χαλεπόν, χρῆσθαι δὲ παγχάλεπον. πάντα γὰρ ὅσα τέχνης ἐχόμενα ἀνεῦρέθη πώποτε, διὰ ταύτης φανερὰ γέγονεν· ὑπόπει δὲ ἣν λέγω.

ΠΡΩ. Λέγε μόνον.

ΣΩ. Θεῶν μὲν εἰς ἀνθρώπους δόσις, ὡς γε καταφαίνεται ἐμοί, ποθὲν ἐκ θεῶν ἐρρίφη διά τινος Προμηθέως ἅμα φανοτάτῳ τινὶ πυρί, καὶ οἱ μὲν παλαιοί, κρείττονες ἡμῶν καὶ ἐγγυτέρω θεῶν οἰκοῦντες, ταύτην φήμην παρέδοσαν, ὡς ἐξ ἑνὸς μὲν καὶ ἐκ πολλῶν ὄν- 10
των τῶν ἀεὶ λεγομένων εἶναι, πέρας δὲ καὶ ἀπειρίαν ἐν ἑαυτοῖς ξύμφυτον ἐχόντων. δεῖν οὖν ἡμᾶς τούτων οὕτω διακεκοσμημένων ἀεὶ μίαν ἰδέαν περὶ παντὸς ἑκάστοτε θεμένους ζητεῖν· εὑρήσειν γὰρ ἐνοῦσαν. ἐὰν οὖν καταλάβωμεν, μετὰ μίαν δύο, εἴ πως εἰσί· σκο- 15
πεῖν, εἰ δὲ μή, τρεῖς ἢ τινα ἄλλον ἀριθμόν, καὶ τῶν ἓν ἐκείνων ἕκαστον πάλιν ὡσαύτως, μέχρι περ ἂν τὸ κατ' ἀρχὰς ἓν μὴ ὅτι ἓν καὶ πολλὰ καὶ ἄπειρά ἐστι μόνον ἴδῃ τις, ἀλλὰ καὶ ὁπόσα. τὴν δὲ τοῦ ἀπείρου ἰδέαν πρὸς τὸ πλῆθος μὴ προσφέρειν, πρὶν ἄν τις τὸν 20
ἀριθμὸν αὐτοῦ πάντα κατίδῃ τὸν μεταξὺ τοῦ ἀπείρου

So. Quam declarare haud nimium difficile est, uti vero difficillimum. Quaecunque enim per artem adinventa sunt, hac in lucem hominibus prodierunt. Animadverte quaeso, quam dico. *Pro.* Dic tamen. *So.* Donum profecto deorum ad homines, ut mihi videtur, per Prometheum quendam una cum lucidissimo quodam igne descendit. etenim prisci nobis praestantiores, diisque propinquiores, haec nobis oracula tradiderunt: quod cum ex uno et multis constent universa, quae semper esse dicuntur, terminumque et infinitum innatum habeant, oportere nos in his sic se habentibus unam semper ideam de quolibet generatim ponentes inquirere: eam insitam inventuros. quam si comprehendamus, post unam, si quo modo duae sint, perscrutari: sin minus id pateat, tres, aut alium numerum quaerere: et quodlibet eorum quae sunt unum, rursus eodem pacto dividere, quousque ipsum in principio unum, non modo quod unum multaque et infinita sit, verum etiam quot sit, aliquis noscat: infiniti autem ideam non prius ad multitudinem adhibere, quam quis numerum omnem, inter infinitum et unum medium ca-

τε καὶ τοῦ ἑνός· τότε δ' ἤδη τὸ ἓν ἕκαστον τῶν πάντων εἰς τὸ ἄπειρον μαθέντα χαίρειν ἐᾶν. οἱ μὲν οὖν θεοί, ὅ περ εἶπον, οὕτως ἡμῖν παρέδοσαν σκοπεῖν καὶ μανθάνειν καὶ διδάσκειν ἀλλήλους· οἱ δὲ νῦν τῶν ἀνθρώπων σοφοὶ ἕν μέν, ὅπως ἂν τύχωσι, καὶ πολλὰ θᾶττον καὶ βραδύτερον ποιοῦσι τοῦ δέοντος, μετὰ δὲ 17
τὸ ἓν ἄπειρα εὐθύς· τὰ δὲ μέσα αὐτοὺς ἐκφεύγει, οἷς διακεχώρισται τό τε διαλεκτικῶς πάλιν καὶ τὸ ἐριστικῶς ἡμᾶς ποιεῖσθαι πρὸς ἀλλήλους τοὺς λόγους.

ΠΡΩ. Τὰ μέν πως, ὦ Σώκρατες, δοκῶ σου μανθάνειν, τὰ δὲ ἔτι σαφέστερον δέομαι ἃ λέγεις ἀκοῦσαι.

ΣΩ. Σαφὲς μήν, ὦ Πρώταρχε, ἐστὶν ἐν τοῖς γράμμασιν ὃ λέγω, καὶ λάμβανε αὐτὸ ἐν τούτοις οἷς περ καὶ πεπαίδευσαι.

ΠΡΩ. Πῶς;

ΣΩ. Φωνὴ μὲν ἡμῖν ἐστί που μία διὰ τοῦ στόματος ἰοῦσα, καὶ ἄπειρος αὖ πλήθει, πάντων τε καὶ ἑκάστου.

ΠΡΩ. Τί μήν;

ΣΩ. Καὶ οὐδὲν ἑτέρῳ τούτων ἐσμέν πω σοφοί, οὔθ' ὅτι τὸ ἄπειρον αὐτῆς ἴσμεν οὔθ' ὅτι τὸ ἕν· ἀλλ' ὅτε πόσα τέ ἐστι καὶ ὁποῖα, τοῦτ' ἔστι τὸ γραμματικὸν ἕκαστον ποιοῦν ἡμῶν.

dentem, percipit: tunc demum unum quodlibet omnium abeuntium in infinitum dimittere. Dii ergo, ut diximus, sic nobis investigare, discere, et alterutrum docere dederunt. Qui vero nunc exstant ex hominibus sapientes, unum quidem ac multa, utcunque contingit, velocius atque tardius quam decet, inducunt; et post unum infinita continuo: media vero illos effugiunt. Quibus disputandi ratio, tum dialectica, tum etiam litigiosa, discreta est. *Pro.* Quae modo dixisti, o Socrates, partim intelligere mihi videor, partim clarius audire desidero. *So.* Perspicuum hoc constat in literis, o Protarche, quod diximus. itaque in his quas didicisti, id accipe. *Pro.* Quonam pacto? *So.* Vox, inquam, ex ore nobis erumpens una est: et infinitae rursus voces numero, et cunctorum pariter et cuiusque. *Pro.* Quidni? *So.* Neutro tamen horum sapientes efficimur, nec quod eius infinitum, nec iterum, quod eius unum cognoscimus; sed quia et quot et quales sunt, tenemus. hoc enim unumquemque nostrum grammaticum reddit.

ΠΡΩ. Ἀληθέστατα.

ΣΩ. Καὶ μὴν καὶ τὸ μουσικὸν ὃ τυγχάνει ποιοῦν, τοῦτ' ἔστι ταὐτόν.

ΠΡΩ. Πῶς;

ΣΩ. Φωνὴ μέν που καὶ τὸ κατ' ἐκείνην τὴν τέχνην ἐστὶ μία ἐν αὐτῇ.

ΠΡΩ. Πῶς δ' οὔ;

ΣΩ. Δύο δὲ θῶμεν, βαρὺ καὶ ὀξύ, καὶ τρίτον ὁμότονον. ἢ πῶς;

ΠΡΩ. Οὕτως.

ΣΩ. Ἀλλ' οὔπω σοφὸς ἂν εἴης τὴν μουσικὴν εἰδὼς ταῦτα μόνα· μὴ δὲ εἰδὼς ὥς γ' ἔπος εἰπεῖν εἰς ταῦτα οὐδενὸς ἄξιος ἔσει.

ΠΡΩ. Οὐ γὰρ οὖν.

ΣΩ. Ἀλλ', ὦ φίλε, ἐπειδὰν λάβῃς τὰ διαστήματα ὁπόσ' ἐστὶ τὸν ἀριθμὸν τῆς φωνῆς ὀξύτητός τε πέρι καὶ βαρύτητος, καὶ ὁποῖα, καὶ τοὺς ὅρους τῶν διαστημάτων, καὶ τὰ ἐκ τούτων ὅσα συστήματα γέγονεν, ἃ κατιδόντες οἱ πρόσθε παρέδοσαν ἡμῖν τοῖς ἐπομένοις ἐκείνοις καλεῖν αὐτὰ ἁρμονίας, ἔν τε ταῖς κινήσεσιν αὖ τοῦ σώματος ἕτερα τοιαῦτα ἐνόντα πάθη γιγνόμενα, ἃ δὴ δι' ἀριθμῶν μετρηθέντα δεῖν αὖ φασὶ ῥυθμοὺς καὶ μέτρα ἐπονομάζειν, καὶ ἅμα ἐννοεῖν ὡς οὕτω

Pro. Verissima loqueris. *So.* Idem quoque musicum hominem facit. *Pro.* Qua ratione? *So.* Una quodammodo et in hac arte vox est. *Pro.* Quidni? *So.* Duo item ponenda sunt, grave et acutum, ac tertium tonus medius. nonne ita? *Pro.* Ita. *So.* Verumtamen nondum sapiens musicus eris, si haec sola cognoveris: et ista ignorans, ut ita loquar, nullius eris in musica pretii. *Pro.* Nullius. *So.* Sed postquam, o amice, acceperis, quot intervalla vocis numero sunt circa grave atque acutum, et qualia, nec non intervallorum termini, et quotcunque ex his compositiones proveniunt. quae maiores nostri conspicientes, nobis eorum sectatoribus, ut huiusmodi quaedam harmonias appellaremus, tradiderunt: in motibus praeterea gestibusque corporis alia quaedam talia inesse monstrarunt, quae per numeros mensurata, rhythmos atque mensuras vocari iussere: cogitare praeterea, quod eadem ratione de unoquoque quod unum

δεῖ περὶ παντὸς ἑνὸς καὶ πολλῶν σκοπεῖν· ὅταν γὰρ ταῦτά τε λάβῃς οὕτω, τότε ἐγίνου σοφός, ὅταν τε ἄλλο τῶν ὄντων ὁτιοῦν ταύτῃ σκοπούμενος ἕλῃς, οὕτως ἔμφρων περὶ τοῦτο γέγονας. τὸ δ' ἄπειρόν σε ἑκάστων καὶ ἐν ἑκάστοις πλῆθος ἄπειρον ἑκάστοτε ποιεῖ τοῦ φρονεῖν καὶ οὐκ ἐλλόγιμον οὐδ' ἐνάριθμον, ἅτ' οὐκ εἰς ἀριθμὸν οὐδένα ἐν οὐδενὶ πώποτε ἀπιδόντα.

ΠΡΩ. Κάλλιστα, ὦ Φίληβε, ἔμοιγε τὰ νῦν λεγόμενα εἰρηκέναι φαίνεται Σωκράτης.

ΦΙ. Καὶ ἐμοὶ ταῦτά γε αὐτά. ἀλλὰ τί δή ποτε πρὸς ἡμᾶς ὁ λόγος οὗτος νῦν εἴρηται, καὶ τί ποτε βου- 18
λόμενος;

ΣΩ. Ὀρθῶς μέντοι ταῦθ' ἡμᾶς, ὦ Πρώταρχε, ἠρώτηκε Φίληβος.

ΠΡΩ. Πάνυ μὲν οὖν, καὶ ἀποκρίνου γε αὐτῷ.

ΣΩ. Δράσω ταῦτα διελθὼν σμικρὸν ἔτι περὶ αὐτῶν τούτων. ὡς περ γὰρ ἔν ὁτιοῦν εἴ τίς ποτε λάβοι, τοῦτον, ὡς φαμεν, οὐκ ἐπ' ἀπείρου φύσιν δεῖ βλέπειν εὐθὺς ἀλλ' ἐπί τιν' ἀριθμόν, οὕτω καὶ τοὐναντίον ὅταν τις τὸ ἄπειρον ἀναγκασθῇ πρῶτον λαμβάνειν, μὴ ἐπὶ τὸ ἓν εὐθὺς ἀλλ' ἐπ' ἀριθμὸν αὖ τινὰ πλῆθος ἕκαστον ἔχοντά τι κατανοεῖν, τελευτᾷν τε ἐκ πάντων εἰς ἕν. πάλιν δὲ ἐν τοῖς γράμμασι τὸ νῦν λεγόμενον λάβωμεν.

et multa est, considerare debemus. nam quando ista sic accipis, sapiens tunc evadis. cum vero et aliud quicquam ita comprehendis, sapiens rursus circa illud efficieris. Infinita autem singulorum et in singulis multitudo te sapientiae, rationis, numeri reddit expertem, utpote in numerum nullum alicuius quandoque respicientem. *Pro.* Praeclare haec, o Philebe, Socrates mihi dixisse videtur. *Phi.* Mihi quoque. sed quid ad rem hic sermo? quidve sibi vult? *So.* Recte id, o Protarche, Philebus iste quaesivit. *Pro.* Prorsus. responde igitur. *So.* Efficiam quod vultis, cum de his iisdem paulisper etiam disputavero. Ut enim si quis unum aliquod accipit, is, ut diximus, haud mox in infiniti naturam, sed in aliquem numerum descendere debet: ita vicissim, si quis infinitum primo sumere cogitur, nequaquam in unum continuo, sed in numerum quendam, qui multitudinem aliquam habeat, debet intendere, ex omnibusque tandem in unum desinere. Quod vero nunc diximus, rursus in literis coniectari licet.

ΠΡΩ. Πῶς;

ΣΩ. Ἐπειδὴ φωνὴν ἄπειρον κατενόησεν εἴ τέ τις θεὸς εἴτε καὶ θεῖος ἄνθρωπος, ὡς λόγος ἐν Αἰγύπτῳ Θεύθ τινα τοῦτον γενέσθαι λέγων, ὃς πρῶτος τὰ φωνήεντα ἐν τῷ ἀπείρῳ κατενόησεν οὐχ ἓν ὄντα ἀλλὰ πλείω, καὶ πάλιν ἕτερα φωνῆς μὲν οὔ, φθόγγου δὲ μετέχοντά τινος, ἀριθμὸν δέ τινα καὶ τούτων εἶναι· τρίτον δὲ εἶδος γραμμάτων διεστήσατο τὰ νῦν λεγόμενα ἄφωνα ἡμῖν· τὸ μετὰ τοῦτο διῄρει τά τε ἄφθογγα καὶ ἄφωνα μέχρι ἑνὸς ἑκάστου, καὶ τὰ φωνήεντα καὶ τὰ μέσα κατὰ τὸν αὐτὸν τρόπον, ἕως ἀριθμὸν αὐτῶν λαβὼν ἑνί τε ἑκάστῳ καὶ ξύμπασι στοιχεῖον ἐπωνόμασε. καθορῶν δὲ ὡς οὐδεὶς ἡμῶν οὐδ' ἂν ἓν αὐτὸ καθ' αὑτὸ ἄνευ πάντων αὐτῶν μάθοι, τοῦτον τὸν δεσμὸν αὖ λογισάμενος ὡς ὄντα ἕνα καὶ πάντα ταῦτα ἓν πως ποιοῦντα, μίαν ἐπ' αὐτοῖς ὡς οὖσαν γραμματικὴν τέχνην ἐπεφθέγξατο προσειπών.

ΦΙ. Ταῦτ' ἔτι σαφέστερον ἐκείνων αὐτά γε πρὸς ἄλληλα, ὦ Πρώταρχε, ἔμαθον· τὸ δ' αὐτό μοι τοῦ λόγου νῦν τε καὶ σμικρὸν ἔμπροσθεν ἐλλείπεται.

ΣΩ. Μῶν, ὦ Φίληβε, τὸ τί πρὸς ἔπος αὖ ταῦτ' ἐστίν;

Pro. Quomodo? *So.* Postquam infinitam vocem cogitavit, sive Deus aliquis, sive homo divinus, qualis apud Aegyptios Theuth fuisse fertur, primo in ipsa vocis infinitate vocales literas consideravit, quae non una, sed plures sunt: rursusque alias, quae non vocis, sed phthongi participes essent, atque harum numerum certum similiter definivit: tertiam deinde speciem literarum distinxit, earum, quas nunc mutas vocamus: postremo liquidas mutasque discrevit usque ad quodlibet unum, vocalesque et medias eodem modo; donec earum capiens numerum in unaquaque et cunctis elementum vocavit. Cumque videret, neminem ipsum unum secundum se ipsum seorsim a reliquis percepturum, huiusmodi vinculum meditatus, ut unum exsistens et has omnes unum quodammodo faciens, unam in ipsis artem nomine grammaticam statuit. *Phi.* Haec planius quam superiora, videlicet ipsa invicem comparata, o Protarche comprehendi. idem tamen et nunc et superius in hac disputatione desidero. *So.* Num hoc, o Philebe, requiris, quid videlicet ad sermonem nostrum ista conferant?

ΦΙ. Ναί, τοῦτ' ἔστιν ὃ πάλαι ζητοῦμεν ἐγώ τε καὶ Πρώταρχος.

ΣΩ. Ἦ μὴν ἐπ' αὐτῷ γε ἤδη γεγονότες ζητεῖτε, ὡς φής, πάλαι;

ΦΙ. Πῶς;

ΣΩ. Ἆρ' οὐ περὶ φρονήσεως ἦν καὶ ἡδονῆς ἡμῖν ἐξ ἀρχῆς ὁ λόγος, ὁπότερον αὐτοῖν αἱρετέον;

ΦΙ. Πῶς γὰρ οὔ;

ΣΩ. Καὶ μὴν ἕν γε ἑκάτερον αὐτοῖν εἶναί φαμεν.

ΦΙ. Πάνυ μὲν οὖν.

ΣΩ. Τοῦτ' αὐτὸ τοίνυν ἡμᾶς ὁ πρόσθε λόγος ἀπαιτεῖ, πῶς ἔστιν ἓν καὶ πολλὰ αὐτῶν ἑκάτερον, καὶ πῶς μὴ ἄπειρα εὐθύς, ἀλλά τινά ποτε ἀριθμὸν ἑκάτερον ἔμπροσθε κέκτηται τοῦ ἄπειρα αὐτῶν ἕκαστα γεγονέναι; 19

ΠΡΩ. Οὐκ εἰς φαῦλόν γε ἐρώτημα, ὦ Φίληβε, οὐκ οἶδ' ὅν τινα τρόπον κύκλῳ πως περιαγαγὼν ἡμᾶς ἐμβέβληκε Σωκράτης. καὶ σκόπει δὴ πότερος ἡμῶν ἀποκρινεῖται τὸ νῦν ἐρωτώμενον. ἴσως δὴ γελοῖον τὸ ἐμὲ τοῦ λόγου διάδοχον παντελῶς ὑποστάντα διὰ τὸ μὴ δύνασθαι τὸ νῦν ἐρωτηθὲν ἀποκρίνασθαι σοὶ πάλιν τοῦτο προστάττειν· γελοιότερον δ' οἶμαι πολὺ τὸ μηδέτερον ἡμῶν δύνασθαι. σκόπει δὴ τί δράσομεν. εἴδη

Phi. Ita id est, quod dudum ego una et Protarchus requirimus. *So.* Nunquid hoc assecuti, requiritis tamen iampridem, ut inquis? *Phi.* Quonam pacto? *So.* An non de sapientia et voluptate nobis ab ipso principio disceptatio extitit, utrum ex iis eligendum? *Pro.* Immo. *So.* Etenim unum illorum utrumque esse diximus. *Pro.* Diximus profecto. *So.* Hoc ipsum prior sermo requirit, quomodo unum et multa utrumque horum est, quove pacto non infinita continuo, sed certum numerum quodlibet prius accepit, quam in infinitum porrigeretur. *Pro.* Haud sane in levem nos quaestionem circulo quodam nescio quo modo flectens Socrates, o Philebe, deduxit. Quare age, considera uter nostrum ad praesentem interrogationem respondeat. Forte enim ridiculum est, me, disputationis totius successorem, ex eo quod respondere ad id modo nequeam, rursus hoc ipsum tibi imperare. attamen ridiculum multo magis esset, neutrum nostrum id posse. Meditare itaque, quid agamus. Species enim volu-

γάρ μοι δοκεῖ νῦν ἐρωτᾶν ἡδονῆς ἡμᾶς Σωκράτης, εἴτ' ἔστιν εἴτε μή, καὶ ὁπόσ' ἐστὶ καὶ ὁποῖα· τῆς τ' αὖ φρονήσεως πέρι κατὰ ταὐτὰ ὡσαύτως.

ΣΩ. Ἀληθέστατα λέγεις, ὦ παῖ Καλλίου· μὴ γὰρ δυνάμενοι τοῦτο κατὰ παντὸς ἑνὸς καὶ ὁμοίου καὶ ταὐτοῦ δρᾶν καὶ τοῦ ἐναντίου, ὡς ὁ παρελθὼν λόγος ἐμήνυσεν, οὐδεὶς εἰς οὐδὲν οὐδενὸς ἂν ἡμῶν οὐδέποτε γένοιτ' ἄξιος.

ΠΡΩ. Σχεδὸν ἔοικεν οὕτως, ὦ Σώκρατες, ἔχειν. ἀλλὰ καλὸν μὲν τὸ ξύμπαντα γιγνώσκειν τῷ σώφρονι, δεύτερος δ' εἶναι πλοῦς δοκεῖ μὴ λανθάνειν αὐτὸν αὑτόν. τί δή μοι τοῦτο εἴρηται τὰ νῦν, ἐγώ σοι φράσω. σὺ τήνδε ἡμῖν τὴν συνουσίαν, ὦ Σώκρατες, ἐπέδωκας πᾶσι καὶ σαυτὸν πρὸς τὸ διελέσθαι τί τῶν ἀνθρωπίνων κτημάτων ἄριστον. Φιλήβου γὰρ εἰπόντος ἡδονὴν καὶ τέρψιν καὶ χαρὰν καὶ πάνθ' ὁπόσα τοιαῦτ' ἐστί, σὺ πρὸς αὐτὰ ἀντεῖπες ὡς οὐ ταῦτα ἀλλ' ἐκεῖνά ἐστιν, ἃ πολλάκις ἡμᾶς αὐτοὺς ἀναμιμνήσκομεν ἑκόντες, ὀρθῶς δρῶντες, ἵν' ἐν μνήμῃ παρακείμενα ἑκάτερα βασανίζηται. φῂς δ', ὡς ἔοικε, σὺ τὸ προρρηθησόμενον ὀρθῶς ἄμεινον ἡδονῆς γε ἀγαθὸν εἶναι νοῦν, ἐπιστή-

ptatis a nobis quaerere nunc Socrates mihi videtur, utrum sint, necne: quotque praeterea, qualesve sint: et de sapientia eadem similiter percontari. *So.* Vera loqueris, o Calliae fili. nisi enim id circa quodlibet unum, simile, idem et contrarium, quemadmodum oratio praecedens ostendit, observare possimus, nullus unquam nostrum ullius erit ad aliquid pretii. *Pro.* Sic ferme, o Socrates, se res habere videtur. verum praeclarum temperato viro cuncta dinoscere: secunda vero navigatio quaedam videtur, se ipsum minime latere. quorsum autem ista nunc dixerim, declarabo. Ipse nobis, o Socrates, congregationis huius auctor exstitisti. teque ipsum ad investigandum, quid ex humanis rebus optimum sit, praebuisti. Nam cum Philebus voluptatem, delectationem, laetitiam et reliqua huius generis hominibus optima esse assereret, tu illi statim contradixisti, non ea quae dicerent, esse optima, sed illa potius, quae saepenumero in memoriam nobis sponte reducimus, recte agentes, ut memoria repetita utraque examinentur. Dicis autem, ut videtur, ipse, quod recte appellandum erit, praestantius voluptate bonum esse, mentem,

μην, σύνεσιν, τέχνην καὶ πάντ' αὖ τὰ τούτων ξυγγενῆ, ἃ κτᾶσθαι δεῖν, ἀλλ' οὐχὶ ἐκεῖνα. τούτων δὴ μετ' ἀμφισβητήσεως ἑκατέρων λεχθέντων ἡμεῖς σοι μετὰ παιδιᾶς ἠπειλήσαμεν ὡς οὐκ ἀφήσομεν οἰκαδέ σε, πρὶν ἂν τούτων τῶν λόγων πέρας ἱκανὸν γένηταί τι διορισθέντων· σὺ δὲ συνεχώρησας καὶ ἔδωκας εἰς ταῦθ' ἡμῖν σαυτόν. ἡμεῖς δὲ δὴ λέγομεν, καθά περ οἱ παῖδες, ὅτι τῶν ὀρθῶς δοθέντων ἀφαίρεσις οὐκ ἔστι. παῦσαι δὴ τὸν τρόπον ἡμῖν ἁπάντων τοῦτον ἐπὶ τὰ νῦν λεγόμενα.

ΣΩ. Τίνα λέγεις;

ΠΡΩ. Εἰς ἀπορίαν ἐμβάλλων καὶ ἀνερωτῶν ὧν μὴ δυναίμεθ' ἂν ἱκανὴν ἀπόκρισιν ἐν τῷ παρόντι δι- 20
δόναι σοι. μὴ γὰρ οἰώμεθα τέλος ἡμῖν εἶναι τῶν νῦν τὴν πάντων ἡμῶν ἀπορίαν, ἀλλ' εἰ δρᾷν τοῦθ' ἡμεῖς ἀδυνατοῦμεν, σοὶ δραστέον· ὑπέσχου γάρ. βουλεύου δὴ πρὸς ταῦτ' αὐτός, πότερον ἡδονῆς εἰδὴ σοι καὶ ἐπιστήμης διαιρετέον ἢ καὶ ἑατέον, εἴ πῃ καθ' ἕτερόν τινα τρόπον οἷός τ' εἶ καὶ βούλει δηλῶσαί πως ἄλλως τὰ νῦν ἀμφισβητούμενα παρ' ἡμῖν.

ΣΩ. Δεινὸν μὲν τοίνυν ἔτι προσδοκᾶν οὐδὲν δεῖ τὸν ἐμέ, ἐπειδὴ τοῦθ' οὕτως εἶπες· τὸ γὰρ εἰ βούλει

scientiam, intelligentiam, artem et reliqua huiuscemodi, quae capesseree potius quam illa debemus. Cum igitur haec utraque ambiguitate quadam dicta fuissent, nos ioco quodam minati sumus, non prius te dimissuros, quam huic controversiae certa quadam determinatione finis sufficiens imponeretur: tu vero concessisti quidem, teque ipsum ad id exsequendum exposuisti. Nos autem dicimus, ut pueri solent, quod recte datorum ablatio nulla est. Pone igitur iam hunc disputandi modum ad ea quae dicta sunt, *So.* Quem dicis? *Pro.* Quo dubitationum scrupulos iniicis, eaque interrogas, quorum sufficientem responsionem in praesentia tibi reddere non possemus. neque enim disputationis huius finem existimare debemus nostrorum omnium ambiguitatem. atque si minus id nos valemus, tibi agendum est: pollicitus enim es. Ad haec itaque tu consulta, utrum voluptatis et sapientiae species distinguendae, an potius dimittendae: an alio quoquam modo queas ac velis, quae nunc inter nos dubitata sunt, aperire. *So.* Nihil iam grave futurum formidare me decet, quandoquidem tu sic ista dixisti. eo namque quod Si ve-

ῥηθὲν λύει πάντα φόβον ἑκάστων πέρι, πρὸς δὲ αὖ τούτοις μνήμην τινὰ δοκεῖ τίς μοι δεδωκέναι θεῶν ἡμῖν.

ΠΡΩ. Πῶς δὴ καὶ τίνων;

ΣΩ. Λόγων ποτέ τινων πάλαι ἀκούσας ὄναρ ἢ καὶ ἐγρηγορὼς νῦν ἐννοῶ περί τε ἡδονῆς καὶ φρονήσεως, ὡς οὐδέτερον αὐτοῖν ἐστὶ τἀγαθόν, ἀλλ' ἄλλο τι τρίτον, ἕτερον μὲν τούτων, ἄμεινον δὲ ἀμφοῖν. καί τοι τοῦτο ἐὰν ἐναργῶς ἡμῖν φανῇ νῦν, ἀπήλλακται μὲν ἡδονὴ τοῦ νικᾶν· τὸ γὰρ ἀγαθὸν οὐκ ἂν ἔτι ταὐτὸν αὐτῇ γίγνοιτο. ἢ πῶς;

ΠΡΩ. Οὕτως.

ΣΩ. Τῶν δέ γε εἰς τὴν διαίρεσιν εἰδῶν ἡδονῆς οὐδὲν ἔτι προσδεησόμεθα κατ' ἐμὴν δόξαν. προϊὸν δ' ἔτι σαφέστερον δείξει.

ΠΡΩ. Κάλλιστ' εἰπὼν οὕτω καὶ διαπέραινε.

ΣΩ. Σμικρὰ ἄττα τοίνυν ἔμπροσθεν ἔτι διομολογησώμεθα.

ΠΡΩ. Τὰ ποῖα;

ΣΩ. Τὴν τἀγαθοῦ μοῖραν πότερον ἀνάγκη τέλεον ἢ μὴ τέλεον εἶναι;

ΠΡΩ. Πάντων δή που τελεώτατον, ὦ Σώκρατες.

ΣΩ. Τί δαί; ἱκανὸν τἀγαθόν;

lim dictum est, omnis penitus formido fugatur: accedit quod deorum aliquis ad haec memoriam nobis aliquam suppeditasse videtur. *Pro.* Quo pacto, et quorum memoriam? *So.* Cum olim sive somnians sive vigilans quasdam rationes audiverim, nunc de voluptate et sapientia cogito, horum neutrum esse bonum, sed tertium aliquid, quod aliud est quam utrunque, et ambobus est melius. idque si nunc nobis liquido pateat, voluptas a victoria procul aberit: bonum quippe idem, quod illa, nequaquam erit. Sicne? an aliter? *Pro.* Sic utique. *So.* Speciebus itaque voluptatis ad divisionem haud amplius, ut mea fert opinio, indigebimus: quod in sequentibus clarius innotescet. *Pro.* Praeclare loqueris: perge sic, obsecro. *So.* Paucula quaedam prius asseveremus. *Pro.* Quaenam? *So.* Ipsius boni sortem videlicet utrum necesse est perfectum ipsum, aut non perfectum esse? *Pro.* Omnium, o Socrates, perfectissimum. *So.* Quid vero, sufficiensne bonum ipsum est?

ΠΡΩ. Πῶς γὰρ οὔ; καὶ πάντων γε εἰς τοῦτο διαφέρει τῶν ὄντων.

ΣΩ. Τόδε γε μήν, ὡς οἶμαι, περὶ αὐτοῦ ἀναγκαιότατον εἶναι λέγειν, ὡς πᾶν τὸ γιγνῶσκον αὐτὸ θηρεύει καὶ ἐφίεται βουλόμενον ἑλεῖν καὶ περὶ αὐτὸ κτήσασθαι, καὶ τῶν ἄλλων οὐδὲν φροντίζει πλὴν τῶν ἀποτελουμένων ἅμα ἀγαθοῖς.

ΠΡΩ. Οὐκ ἔστι τούτοις ἀντειπεῖν.

ΣΩ. Σκοπῶμεν δὴ καὶ κρίνωμεν τόν τε ἡδονῆς καὶ τὸν φρονήσεως βίον ἰδόντες χωρίς.

ΠΡΩ. Πῶς εἶπες;

ΣΩ. Μήτε ἐν τῷ τῆς ἡδονῆς ἐνέστω φρόνησις μήτε ἐν τῷ τῆς φρονήσεως ἡδονή. δεῖ γάρ, εἴ περ πότερον αὐτῶν ἐστὶ τἀγαθόν, μηδὲν μηδενὸς ἔτι προσδεῖσθαι· δεόμενον δ' ἂν φανῇ πότερον, οὐκ ἔστι που τοῦτ' ἔτι τὸ ὄντως ἡμῖν ἀγαθόν.

ΠΡΩ. Πῶς γὰρ ἄν;

ΣΩ. Οὐκοῦν ἐν σοὶ πειρώμεθα βασανίζοντες ταῦτας;

ΠΡΩ. Πάνυ μὲν οὖν.

ΣΩ. Ἀποκρίνου δή.

ΠΡΩ. Λέγε.

ΣΩ. Λέξαι' ἂν σύ, Πρώταρχε, ζῆν τὸν βίον ἅπαντα ἡδόμενος ἡδονὰς τὰς μεγίστας;

Pro. Quidni? et in hoc ipsum ab omnibus quae sunt, differre necesse est, cunctisque praestare. *So.* Hoc quoque de illo maxime, ut arbitror, necessarium est asserere, quod omne cognoscens id ipsum, venatur et appetit, apprehendere cupiens, atque ipsum in se et alia circa ipsum possidere: ceterorumque nihil curat, praeterquam quae una cum bonis perficiuntur. *Pro.* His repugnare non licet. *So.* Consideremus igitur diiudicemusque voluptatis et sapientiae vitam, seorsum inspicientes. *Pro.* Quo pacto inquis? *So.* Neque in voluptatis vita sapientia insit, neque in sapientiae vita voluptas. oportet enim, si quidem istorum alterum bonum est, nullius amplius indigere. si vero indigum apparet, haud ulterius revera nobis est bonum. *Pro.* Non certe. *So.* Num volumus in te ipso periculum facere? *Pro.* Prorsus. *So.* Responde igitur. *Pro.* Dic, amabo. *So.* Optaresne, o Protarche, plenam summis voluptatibus omnem vitam agere?

ΠΡΩ. Τί δ' οὔ;

ΣΩ. Ἆρ' οὖν ἔτι τινὸς ἄν σοι προσδεῖν ἡγοῖο, εἰ τοῦτ' ἔχοις παντελῶς;

ΠΡΩ. Οὐδαμῶς.

ΣΩ. Ὅρα δή, τοῦ φρονεῖν καὶ νοεῖν καὶ λογίζεσθαι τὰ ὄντα, καὶ ὅσα τούτων ἀδελφά, μῶν μηδὲ ὁρᾶν τί;

ΠΡΩ. Καὶ τί; πάντα γὰρ ἔχοιμ' ἄν που τὸ χαίρειν ἔχων.

ΣΩ. Οὐκοῦν οὕτω ζῶν ἀεὶ μὲν διὰ βίου ταῖς μεγίσταις ἡδοναῖς χαίροις ἄν; 10

ΠΡΩ. Τί δ' οὔ;

ΣΩ. Νοῦν δέ γε καὶ μνήμην καὶ ἐπιστήμην καὶ δόξαν μὴ κεκτημένος ἀληθῆ, πρῶτον μὲν τοῦτ' αὐτό, εἰ χαίρεις ἢ μὴ χαίρεις, ἀνάγκη δή πού σε ἀγνοεῖν, κενόν γε ὄντα πάσης φρονήσεως.

ΠΡΩ. Ἀνάγκη.

ΣΩ. Καὶ μὴν ὡσαύτως μνήμην μὴ κεκτημένον ἀνάγκη δή που μηδ' ὅτι ποτὲ ἔχαιρες μεμνῆσθαι, τῆς τ' ἐν τῷ παραχρῆμα ἡδονῆς προσπιπτούσης μνήμην 20 μηδ' ἡντινοῦν ὑπομένειν· δόξαν δ' αὖ μὴ κεκτημένον ἀληθῆ μὴ δοξάζειν χαίρειν χαίροντα, λογισμοῦ δὲ στερόμενον μηδ' εἰς τὸν ἔπειτα χρόνον ὡς χαιρήσεις δυ-

Pro. Quidni optem? *So.* Nunquid alio quopiam indigere te ultra putares, quando perfecta harum possessione fruereris? *Pro.* Nequaquam. *So.* Adverte itaque, num ipsa sapientia indigeres et intelligentia et convenienti ratiocinatione et aliis quaecunque horum cognata: an non rei alicuius visu? *Pro.* Et quid? omnia porro haberem, si voluptate fruerer. *So.* Et ita vivens, per omnem vitam praecipuis voluptatibus abundares? *Pro.* Profecto. *So.* Si mente, memoria, scientia, opinione vera penitus careas, primo quidem hoc ipsum, gaudeasne an non gaudeas, te ignorare necesse est, cum sis omni sapientia vacuus. *Pro.* Necesse. *So.* Et cum memoria sis privatus, haud sane te aliquando delectatum fuisse recordaberis, nec ulla voluptatis repente incidentis restabit memoria; et opinione vera orbus, dum laetaberis, laetari te minime opinabere. ratione quoque captus, quod in posterum voluptatem aliquam adepturus sis, ratiocinari non

φατὸν εἶναι λογίζεσθαι, ζῆν δὲ οὐκ ἀνθρώπου βίον ἀλλὰ τινος πλεύμονος ἢ τῶν ὅσα θαλάττια μετ' ὀστρείνων ἔμψυχά ἐστι σωμάτων. ἔστι ταῦτα, ἢ παρὰ ταῦτ' ἔχομεν ἄλλως πως διανοηθῆναι;

ΠΡΩ. Καὶ πῶς;

ΣΩ. Ἆρ' οὖν αἱρετὸς ἡμῖν βίος ὁ τοιοῦτος;

ΠΡΩ. Εἰς ἀφασίαν παντάπασί με, ὦ Σώκρατες, οὗτος ὁ λόγος ἐμβέβληκε τὰ νῦν.

ΣΩ. Μήπω τοίνυν μαλθακιζώμεθα, τὸν δὲ τοῦ νοῦ μεταλαβόντες αὖ βίον ἴδωμεν.

ΠΡΩ. Ποῖον δὴ λέγεις;

ΣΩ. Εἴ τις δέξαιτ' ἂν αὖ ζῆν ἡμῶν φρόνησιν μὲν καὶ νοῦν καὶ ἐπιστήμην καὶ μνήμην πᾶσαν πάντων κεκτημένος, ἡδονῆς δὲ μετέχων μήτε μέγα μήτε σμικρόν, μηδ' αὖ λύπης, ἀλλὰ τὸ παράπαν ἀπαθὴς πάντων τῶν τοιούτων.

ΠΡΩ. Οὐδέτερος ὁ βίος, ὦ Σώκρατες, ἔμοιγε τούτων αἱρετός, οὐδ' ἄλλῳ μή ποτε, ὡς ἐγῷμαι, φανῇ.

ΣΩ. Τί δ' ὁ ξυναμφότερος, ὦ Πρώταρχε, ἐξ ἀμφοῖν συμμιχθεὶς κοινὸς γενόμενος; 22

ΠΡΩ. Ἡδονῆς λέγεις καὶ νοῦ καὶ φρονήσεως;

ΣΩ. Οὕτω καὶ τὸν τοιοῦτον λέγω ἔγωγε.

ΠΡΩ. Πᾶς δή που τοῦτόν γε αἱρήσεται πρότερον

poteris. duces autem non hominis vitam, sed pleumonis cuiusdam, id est, spongiae marinae, aut ostreae persimilem. Suntne vera? an aliter praeter ista sentire possumus? *Pro.* Et quo pacto aliter? *So.* An vita nobis huiusmodi expetenda? *Pro.* Mutum me, o Socrates, praesens ratio reddidit. *So.* Nonne desistamus hic, obsecro: sed iam mentis vitam in medium adducentes ulterius consideremus. *Pro.* Qualem inquis? *So.* Utrum aliquis vivere sic eligeret, ut sapientiam, mentem, scientiam, memoriam omnem omnium possideret: voluptate vero nulla penitus frueretur, nec rursus afficeretur molestia, sed sine ullo tali affectu viveret? *Pro.* Neutra ex iis, o Socrates, vita, aut mihi, aut alteri, ut arbitror, eligenda videtur. *So.* Quid autem, o Protarche, vita ex ambobus in unum congredientibus mixta et communis effecta? *Pro.* Ex voluptate ais sapientiaque et mente? *So.* Hanc ipsam dico. *Pro.* Unusquisque sane hanc ipsam potius

ἢ ἐκείνων ὁποτερονοῦν, καὶ πρὸς τούτοις γε, οὐχ ὁ μέν, ὁ δ' οὔ.

ΣΩ. Μανθάνομεν οὖν ὅ τι νῦν ἡμῖν ἐστὶ τὸ ξυμβαῖνον ἐν τοῖς παροῦσι λόγοις;

ΠΡΩ. Πάνυ μὲν οὖν, ὅτι γε τρεῖς μὲν βίοι προὐτέθησαν, τοῖν δυοῖν δ' οὐδέτερος ἱκανὸς οὐδὲ αἱρετὸς οὔτ' ἀνθρώποις οὔτε ζώων οὐδενί.

ΣΩ. Μῶν οὖν οὐκ ἤδη τούτων γε πέρι δῆλον ὡς οὐδέτερος αὐτοῖν εἶχε τἀγαθόν; ἦν γὰρ ἂν ἱκανὸς καὶ τέλεος καὶ πᾶσι φυτοῖς καὶ ζώοις αἱρετός, οἷς περ δυ- 10
νατὸν ἦν οὕτως ἀεὶ διὰ βίου ζῆν. εἰ δέ τις ἄλλα ᾑρεῖθ' ἡμῶν, παρὰ φύσιν ἂν τὴν τοῦ ἀληθῶς αἱρετοῦ ἐλάμβανεν ἄκων ἐξ ἀγνοίας ἢ τινος ἀνάγκης οὐκ εὐδαίμονος.

ΠΡΩ. Ἔοικε γοῦν ταῦθ' οὕτως ἔχειν.

ΣΩ. Ὡς μὲν τοίνυν τήν γε Φιλήβου θεὸν οὐ δεῖ διανοεῖσθαι ταὐτὸν καὶ τἀγαθόν, ἱκανῶς εἰρῆσθαί μοι δοκεῖ.

ΦΙ. Οὐδὲ γὰρ ὁ σὸς νοῦς, ὦ Σώκρατες, ἔστι τἀγαθόν, ἀλλ' ἕξει που ταὐτὰ ἐγκλήματα. 20

ΣΩ. Τύχ' ἄν, ὦ Φίληβε, ὅ γ' ἐμός· οὐ μέντοι τόν γε ἀληθινὸν ἅμα καὶ θεῖον οἶμαι νοῦν, ἀλλ' ἄλλως πως ἔχειν. τῶν μὲν οὖν νικητηρίων πρὸς τὸν κοι-

quam ex superioribus alterutram eliget: neque unus optabit quidem, alius minime; sed idem omnes pariter expetent. *So.* Videmusne igitur, quid ex iis sequatur? *Pro.* Prorsus quidem, quod tres vitae propositae sunt: ex duabus neutra sufficiens aut optanda vel hominibus vel ceteris animantibus. *So.* An non circa ista iam id constat, quod neutra ipsum bonum possidet? etenim perfecta et sufficiens esset, et universis plantis et animantibus exoptanda, quaecunque sic semper vivere possent. Si quis vero ex nobis alia eligat, praeter naturam eius quod revera affectandum est, eliget: neque id sponte, sed ex ignorantia vel infelici quadam necessitate. *Pro.* Haec ita se habere videntur. *So.* Quod ergo Philebi deam haud idem, quod ipsum bonum, existimare oporteat, satis iam dictum esse videtur. *Phi.* Sed neque etiam tua mens, o Socrates: praedictas enim obiectationes patitur. *So.* Forsitan, o Philebe, mea. non tamen veram divinamque mentem sic arbitror, sed aliter sese habere. Palmam igitur et victoriam quin vitae communi tradere

νὸν βίον οὐκ ἀμφισβητῶ πω ὑπὲρ νοῦ, τῶν δὲ δὴ δευτερείων ὁρᾶν καὶ σκοπεῖν χρὴ πέρι τί ἁράσομεν. τάχα γὰρ ἂν τοῦ κοινοῦ τούτου βίου αἰτιώμεθ' ἂν ἑκάτερος ὅ μὲν τὸν νοῦν αἴτιον, ὁ δ' ἡδονὴν εἶναι, καὶ οὕτω τὸ μὲν ἀγαθὸν τούτων ἀμφοτέρων οὐδέτερον ἂν εἴη, τάχα δ' ἂν αἴτιόν τις ὑπολάβοι πότερον αὐτῶν εἶναι. τούτου δὴ πέρι καὶ μᾶλλον ἔτι πρὸς Φίληβον διαμαχοίμην ἄν, ὡς ἐν τῷ μικτῷ τούτῳ βίῳ, ὅ τί ποτ' ἔστι τοῦτο ὃ λαβὼν ὁ βίος οὗτος γέγονεν αἱρετὸς ἅμα καὶ ἀγαθός, οὐχ ἡδονῇ ἀλλὰ νοῦς τούτῳ ξυγγενέστερον καὶ ὁμοιότερόν ἐστι. καὶ κατὰ τοῦτον τὸν λόγον οὔτ' ἂν τῶν πρωτείων οὔτ' αὖ τῶν δευτερείων ἡδονῇ μετὸν ἀληθῶς ἄν ποτε λέγοιτο. πορρώτερω δέ ἐστι τῶν τριτείων, εἴ τι τῷ ἐμῷ νῷ δεῖ πιστεύειν ἡμᾶς τὰ νῦν.

ΠΡΩ. Ἀλλὰ μήν, ὦ Σώκρατες, ἔμοιγε δοκεῖ νῦν μὲν ἡδονή σοι πεπτωκέναι καθαπερεὶ πληγεῖσα ὑπὸ τῶν νῦν δὴ λόγων· τῶν γὰρ νικητηρίων πέρι μαχομένη κεῖται. τὸν δὲ νοῦν, ὡς ἔοικε, λεκτέον ὡς ἐμφρόνως οὐκ ἀντεποιεῖτο τῶν νικητηρίων· τὰ γὰρ αὐτὰ ἔπαθεν ἄν. τῶν δὲ δὴ δευτερείων στερηθεῖσα ἡδονὴ παντάπασιν ἂν τινα καὶ ἀτιμίαν σχοίη πρὸς τῶν αὐτῆς ἐραστῶν· οὐδὲ γὰρ ἐκείνοις ἔτ' ἂν ὁμοίως φαίνοιτο καλή.

debeamus, nihil ob mentem dubito: secundas autem partes cui potius tribuamus, diiudicandum restat. Forte namque vitae communis causam unus ex nobis mentem, alter voluptatem esse contendet: atque ita bonum ipsum neutrum erit istorum: forte vero quis horum alterutrum causam esse censebit. De hoc itaque adversus Philebum praecipue decertarem, quod hac in vita permixta, quicquid illud denique sit, quod ab hac vita susceptum expetendam ipsam bonamque reddit, mens ipsa, non voluptas illi cognatior est et similior. atque ex hac ratione voluptas nec primas nec secundas etiam partes revera tenebit: longius autem aberit a tertia sorte, si qua meae menti fides nunc est adhibenda. *Pro.* Atqui, o Socrates, voluptas iam prostrata videtur, rationibus tuis percussa. nam e spe victoriae decidit. De mente vero dicendum, quod non sapienter sibi victoriam vendicaret. eadem quippe pateretur. Voluptas autem secunda sorte privata, omnino iam ab eius amatoribus contemnetur, neque enim aeque pulchra ulterius apparebit.

ΣΩ. Τί οὖν; οὐκ ἄμεινον αὐτὴν ἐᾶν ἤδη καὶ μὴ τὴν ἀκριβεστάτην αὐτῇ προσφέροντα βάσανον καὶ ἐξελέγχοντα λυπεῖν;

ΠΡΩ. Οὐδὲν λέγεις, ὦ Σώκρατες.

ΣΩ. Ἆρ' ὅτι τὸ ἀδύνατον εἶπον, λυπεῖν ἡδονήν;

ΠΡΩ. Οὐ μόνον γε, ἀλλ' ὅτι καὶ ἀγνοεῖς ὡς οὐδείς πώ σε ἡμῶν μεθήσει, πρὶν ἂν εἰς τέλος ἐπεξέλθῃς τούτων τῷ λόγῳ.

ΣΩ. Βαβαὶ ἆρα, ὦ Πρώταρχε, συχνοῦ μὲν λόγου τοῦ λοιποῦ, σχεδὸν δὲ οὐδὲ ῥᾳδίου πάνυ τι νῦν. καὶ γὰρ δὴ φαίνεται δεῖν ἄλλης μηχανῆς ἐπὶ τὰ δευτερεῖα ὑπὲρ νοῦ πορευόμενον οἷον βέλη ἔχειν ἕτερα τῶν ἔμπροσθε λόγων· ἔστι δὲ ἴσως ἔνια καὶ ταὐτά. οὐκοῦν χρή;

ΠΡΩ. Πῶς γὰρ οὔ;

ΣΩ. Τὴν δέ γε ἀρχὴν αὐτοῦ διενλαβεῖσθαι πειρώμεθα τιθέμενοι.

ΠΡΩ. Ποίαν δὴ λέγεις;

ΣΩ. Πάντα τὰ νῦν ὄντα ἐν τῷ παντὶ διχῇ διαλάβωμεν, μᾶλλον δ', εἰ βούλει, τριχῇ.

ΠΡΩ. Καθ' ὅ τι φράζοις ἄν.

ΣΩ. Λάβωμεν ἄττα τῶν νῦν δὴ λόγων.

ΠΡΩ. Ποῖα;

So. Quid igitur? nonne dimittere illam praestat, nec exquisita examinatione redargutioneque affligere? *Pro.* Nihil ais, o Socrates. *So.* An quia impossibile quiddam protuli, affligi voluptatem? *Pro.* Non ob hoc tantum: verum etiam, quod ignoras, nostrum nullum prius abire te dimissurum, quam ad horum finem ratione deveneris. *So.* Papae, o Protarche, longa admodum oratio sequens. ferme vero nec facile quiddam nunc! constat enim aliis quibusdam iaculis praeter rationes superiores opus esse, si quis palmam menti secundam comparaturus accedat. fortasse vero aculei quidam hi quoque sunt. nonne oportet? *Pro.* Quidni? *So.* Principium itaque huius ponentes, caute et distincte accipere annitamur. *Pro.* Quale principium dicis? *So.* Omnia, quae nunc in universo sunt, bifariam distinguamus: immo, si vis, trifariam. *Pro.* Quonam pacto? *So.* Accipiamus nonnulla ex iis, quae nunc a nobis sunt dicta. *Pro.* Quaenam?

ΣΩ. Τὸν θεὸν ἐλέγομέν που τὸ μὲν ἄπειρον δεῖξαι τῶν ὄντων, τὸ δὲ πέρας;

ΠΡΩ. Πάνυ μὲν οὖν.

ΣΩ. Τούτων δὴ τῶν εἰδῶν τὰ δύο τιθώμεθα, τὸ δὲ τρίτον ἐξ ἀμφοῖν τούτοιν ἕν τι ξυμμισγόμενον. εἰμὶ δ', ὡς ἔοικεν, ἐγω γελοίός τις ἱκανῶς κατ' εἰδη διιστὰς καὶ συναριθμούμενος.

ΠΡΩ. Τι φῄς, ὦ 'γαθέ;

ΣΩ. Τετάρτου μοι γένους αὖ προσδεῖν φαίνεται.

ΠΡΩ. Ἀγε τίνος.

ΣΩ. Τῆς ξυμμίξεως τούτων πρὸς ἄλληλα τὴν αἰτίαν ὅρα, καὶ τίθει μοι πρὸς τρισὶν ἐκείνοις τετάρτον τοῦτο.

ΠΡΩ. Μῶν οὖν σοι καὶ πέμπτου προσδεήσει διάκρισίν τινος δυναμένου;

ΣΩ. Τάχ' ἄν· οὐ μὴν οἶμαί γε ἐν τῷ νῦν. ἐὰν δέ τι δέῃ, συγγνώσει ποὺ μοι σὺ μεταδιώκοντι πέμπτον βίον.

ΠΡΩ. Τί μήν;

ΣΩ. Πρῶτον μὲν δὴ τῶν τεττάρων τὰ τρία διελόμενοι, τὰ δύο τούτων πειρώμεθα πολλὰ ἑκάτερον ἐσχισμένον καὶ διεσπασμένον ἰδόντες, εἰς ἓν πάλιν ἑκάτερον συναγαγόντες, νοῆσαι πῇ ποτὲ ἦν αὐτῶν ἓν καὶ πολλὰ ἑκάτερον.

So. Deum profecto dicebamus ex iis quae sunt, alterum quidem infinitum, alterum vero terminum ostendisse. *Pro.* Omnino quidem. *So.* Has utique species duo illa esse ponamus: tertium illud, quod unum ex utrisque commixtum. Ridiculus tamen videor, dum sufficienter per species dividere atque dinumerare contendo. *Pro.* Quid ais, o bone vir? *So.* Quarto adhuc genere opus esse constat. *Pro.* Quonam? *So.* Causam alternae commixtionis istorum considera, eamque praeter tria illa quartum ponito. *Pro.* Nunquid et quinto insuper indigebis aliquo discernente? *So.* Forte: non tamen in praesentia, ut arbitror. sin autem opus fuerit, ignosces mihi quintam vitam sectanti. *Pro.* Quid obstat? *So.* Principio ergo ex quatuor tria seligentes, duoque ex tribus sic se habere consideremus, ut unumquodque duorum sit multa, dividuum insuper atque dispersum. rursusque in unum utrumque ducentes, cogitare nitamur, quomodo utrumque unum multave sit.

ΠΡΩ. Εἴ μοι σαφέστερον ἔτι περὶ αὐτῶν εἴποις, τάχ' ἂν ἐποίμην.

ΣΩ. Λέγω τοίνυν τὰ δύο, ἃ προτίθεμαι, ταῦτ' εἶναι ἃ περ νῦν δή, τὸ μὲν ἄπειρον, τὸ δὲ πέρας ἔχον. ὅτι δὲ τρόπον τινὰ τὸ ἄπειρον πολλά ἐστι, πειράσομαι φράζειν· τὸ δὲ πέρας ἔχον ἡμᾶς περιμενέτω.

ΠΡΩ. Μένει.

ΣΩ. Σκέψαι δή. χαλεπὸν μὲν γὰρ καὶ ἀμφισβητήσιμον ὃ κελεύω σε σκοπεῖν, ὅμως δὲ σκόπει. θερμοτέρου καὶ ψυχροτέρου πέρι πρῶτον ὅρα πέρας εἴ ποτέ τι νοήσαις ἄν, ἢ τὸ μᾶλλόν τε καὶ ἧττον ἐν αὐτοῖς οἰκοῦν τοῖς γένεσιν, ἕως περ ἂν ἐνοικῇτον, τέλος οὐκ ἂν ἐπιτρεψαίτην γίγνεσθαι· γενομένης γὰρ τελευτῆς καὶ αὐτὸ τετελευτήκατον.

ΠΡΩ. Ἀληθέστατα λέγεις.

ΣΩ. Ἀεὶ δέ γε, φαμέν, ἔν τε τῷ θερμοτέρῳ καὶ τῷ ψυχροτέρῳ τὸ μᾶλλόν τε καὶ ἧττον ἔνι.

ΠΡΩ. Καὶ μάλα.

ΣΩ. Ἀεὶ τοίνυν ὁ λόγος ἡμῖν σημαίνει τούτῳ μὴ τέλος ἔχειν· ἀτελῆ δ' ὄντε δή που παντάπασιν ἀπείρω γίγνεσθον.

ΠΡΩ. Καὶ σφόδρα γε, ὦ Σώκρατες.

ΣΩ. Ἀλλ' εὖ γε, ὦ φίλε Πρώταρχε, ὑπέλαβες, καὶ ἀνέμνησας ὅτι καὶ τὸ σφόδρα τοῦτο ὃ σὺ νῦν ἐφθέγξω

Pro. Si planius eadem dixeris, forte assequar. *So.* Duo profecto, quae proposita sunt, ista dico, finitum et infinitum. Quod autem infinitum multa quodammodo sit, conabor ostendere: finitum vero in posterum differatur. *Pro.* Differatur. *So.* Attende igitur. arduum namque atque maxime dubitandum est, quod considerare te iubeo. attamen animadverte. Primum autem circa calidius frigidiusque considera, utrum terminum aliquem in eis invenias: an potius magis ac minus dum iis generibus insunt, finem reiiciant. fine namque adhibito, ipsa etiam finirentur. *Pro.* Vera loqueris. *So.* Semper tamen in ipso calidiori et frigidiori magis ac minus esse fatemur. *Pro.* Et maxime quidem. *So.* Semper ergo nobis haec ratio monstrat, ab iis finem abesse: et cum sine fine sint, omnino infinita fieri. *Pro.* Vehementer, o Socrates. *So.* Euge, amice Protarche, advertisti nunc, quod hoc ipsum vehementer abs te modo pro-

καὶ τό γε ἡρέμα τὴν αὐτὴν δύναμιν ἔχετον τῷ μᾶλλόν τε καὶ ἧττον. ὅπου γὰρ ἂν ἐνῇτον, οὐκ ἐᾶτον εἶναι ποσὸν ἕκαστον, ἀλλ' ἀεὶ σφοδρότερον ἡσυχαιτέρου καὶ τοὐναντίον ἑκάσταις πράξεσιν ἐμποιοῦντε τὸ πλέον καὶ τὸ ἔλαττον ἀπεργάζεσθον, τὸ δὲ ποσὸν ἀφανίζετον. ὃ γὰρ ἐλέχθη νῦν δή, μὴ ἀφανίσαντε τὸ ποσόν, ἀλλ' ἐάσαντε αὐτό τε καὶ τὸ μέτριον ἐν τῇ τοῦ μᾶλλον καὶ ἧττον καὶ σφόδρα καὶ ἡρέμα ἕδρᾳ ἐγγενέσθαι, αὐτὰ ἔρρει ταῦτα ἐκ τῆς αὐτῶν χώρας ἐν ᾗ ἐνῆν. οὐ γὰρ ἔτι θερμότερον οὐδὲ ψυχρότερον ἦστην ἂν λαβόντε τὸ ποσόν· προχωρεῖ γὰρ καὶ οὐ μένει τό τε θερμότερον ἀεὶ καὶ τὸ ψυχρότερον ὡσαύτως, τὸ δὲ ποσὸν ἔστη καὶ προῖὸν ἐπαύσατο. κατὰ δὴ τοῦτον τὸν λόγον ἄπειρον γίγνοιτ' ἂν τὸ θερμότερον καὶ τοὐναντίον ἅμα.

ΠΡΩ. Φαίνεται γοῦν, ὦ Σώκρατες· ἔστι δ', ὅ περ εἶπες, οὐ ῥᾴδια ταῦτα ξυνέπεσθαι. τὸ δὲ εἰσαῦθίς τε καὶ αὖθις ἴσως λεχθέντα τόν τε ἐρωτῶντα καὶ τὸν ἐρωτώμενον ἱκανῶς ἂν ξυμφωνοῦντας ἀποφήνειεν.

ΣΩ. Ἀλλ' εὖ μὲν λέγεις, καὶ πειρατέον οὕτω ποιεῖν· νῦν μέντοι ἄθρει τῆς τοῦ ἀπείρου φύσεως εἰ τοῦτο δεξόμεθα σημεῖον, ἵνα μὴ πάντ' ἐπεξιόντες μηκύνωμεν.

nuntiatum, et ipsum quoque quod remisse dicitur, eandem vim habent, quam ipsum magis ipsumve minus. ubicunque enim adsunt, haud quantum unumquodque esse permittunt, sed semper vehementius remissiori et vicissim vehementiori remissius omnibus actionibus inferentia, plus ac minus efficiunt: quantum vero semper obscurant. Nisi enim deleant quantum, sed et ipsum et mensuratum sedem ipsius, quod dicitur, vehementius et remissius magisque et minus occupare permittant, haec ipsa repente e sua sede pellentur. neque enim calidius et frigidius ultra restarent, si quantum susceperint. Diffugient nempe, nec ultra consistent ipsum calidius et frigidius: quantum vero regnabit, progressione cessante. Quamobrem hac ratione calidius et frigidius infinita iam esse constat. *Pro.* Sic apparet, o Socrates. veruntamen, ut ipse dixisti, haud facile ista percipi possunt. forte vero deinceps iterum repetita, interrogantem pariter et respondentem conspirare invicem declarabunt. *So.* Bene dicis, atque ita pro viribus agendum est. Sed intuere primum, num id signum ponamus infinitae naturae, ne singula transcurrentes orationem in longum nimium protrahamus.

ΠΡΩ. Τὸ ποῖον δὴ λέγεις;

ΣΩ. Ὁπόσ' ἂν ἡμῖν φαίνηται μᾶλλόν τε καὶ ἧττον γιγνόμενα καὶ τὸ σφόδρα καὶ ῥέμα δεχόμενα καὶ τὸ λίαν καὶ ὅσα τοιαῦτα, πάντα εἰς τὸ τοῦ ἀπείρου γένος ὡς εἰς ἓν δεῖ πάντα ταῦτα τιθέναι, κατὰ τὸν ἔμπροσθε λόγον, ὃν ἔφαμεν, ὅσα διέσπασται καὶ διέσχισται συναγαγόντας χρῆναι κατὰ δύναμιν μίαν ἐπισημαίνεσθαί τινα φύσιν, εἰ μέμνησαι.

ΠΡΩ. Μέμνημαι.

ΣΩ. Οὐκοῦν τὰ μὴ δεχόμενα ταῦτα, τούτων δὲ τἀναντία πάντα δεχόμενα, πρῶτον μὲν τὸ ἴσον καὶ ἰσότητα, μετὰ δὲ τὸ ἴσον τὸ διπλάσιον καὶ πᾶν ὅ τί περ ἂν πρὸς ἀριθμὸν ἀριθμὸς ἢ μέτρον ᾖ πρὸς μέτρον, ταῦτα ξύμπαντα εἰς τὸ πέρας ἀπολογιζόμενοι καλῶς ἂν δοκοῖμεν δρᾶν τοῦτο, ἢ πῶς σὺ φῄς;

ΠΡΩ. Κάλλιστά γε, ὦ Σώκρατες.

ΣΩ. Εἶεν. τὸ δὲ τρίτον τὸ μικτὸν ἐκ τούτοιν ἀμφοῖν τίνα ἰδέαν φήσομεν ἔχειν;

ΠΡΩ. Σὺ καὶ ἐμοὶ φράσεις, ὡς οἶμαι.

ΣΩ. Θεὸς μὲν οὖν, ἄν πέρ γε ἐμαῖς εὐχαῖς ἐπήκοος γίγνηταί τις θεῶν.

ΠΡΩ. Εὔχου δὴ καὶ σκόπει.

Pro. Quodnam dicis? *So.* Quaecunque magis ac minus, vehementer atque remisse, nimisque, et huiusmodi quaedam admittunt, cuncta in unum infiniti genus reducenda sunt, quemadmodum supra diximus, asserentes omnia quae dividua dispersaque sunt, in unum oportere colligi, secundumque vim unam, velut unam quandam naturam, significari. meministin? *Pro.* Memini. *So.* Quae vero talia quaedam minime capiunt, sed eorum contraria et cuncta, primo quidem aequale ipsum atque aequalitatem: post aequale mox duplum, et singulas inde proportiones, quascunque ad numerum numerus et ad mensuram mensura demonstrat: haec, inquam, omnia in genus finiti merito referremus? quid ais ad haec? *Pro.* Praeclare nimium, o Socrates. *So.* Esto. Agedum ex utrisque commixtum, quam ideam ferre dicemus? *Pro.* Id mihi tu dices, ut arbitror. *So.* Immo Deus: si modo quis Deus meas preces exaudiat. *Pro.* Obsecra igitur et contemplare.

ΣΩ. Σκοπῶ, καί μοι δοκεῖ τις, ὦ Πρώταρχε, αὐτῶν φίλος ἡμῖν νῦν δὴ γεγονέναι.

ΠΡΩ. Πῶς λέγεις τοῦτο; καὶ τίνι τεκμηρίῳ χρῇ;

ΣΩ. Φράσω δῆλον ὅτι. σὺ δέ μοι συνακολούθησον τῷ λόγῳ.

ΠΡΩ. Λέγε μόνον.

ΣΩ. Θερμότερον ἐφθεγγόμεθα νῦν δή πού τι καὶ ψυχρότερον. ἦ γάρ;

ΠΡΩ. Ναί.

ΣΩ. Πρόσθες δὴ ξηρότερον καὶ ὑγρότερον αὐτοῖς, καὶ πλέον καὶ ἔλαττον, καὶ θᾶττον καὶ βραδύτερον, καὶ μεῖζον καὶ σμικρότερον, καὶ ὁπόσα ἐν τῷ πρόσθεν τῆς τὸ μᾶλλόν τε καὶ ἧττον δεχομένης ἐτίθεμεν εἰς ἓν φύσεως.

ΠΡΩ. Τῆς τοῦ ἀπείρου λέγεις;

ΣΩ. Ναί. συμμίγνυ δέ γε εἰς αὐτὴν τὸ μετὰ ταῦτα τὴν αὖ τοῦ πέρατος γένναν.

ΠΡΩ. Ποίαν;

ΣΩ. Ἣν καὶ νῦν δὴ δέον ἡμᾶς, καθά περ τὴν τοῦ ἀπείρου συνηγάγομεν εἰς ἕν, οὕτω καὶ τὴν τοῦ περατοειδοῦς συναγαγεῖν, οὐ συνηγάγομεν. ἀλλ' ἴσως καὶ νῦν ταὐτὸν δράσει· τούτων ἀμφοτέρων συναγομένων καταφανὴς κἀκείνη γενήσεται.

ΠΡΩ. Ποίαν καὶ πῶς λέγεις;

So. Contemplor sane. ac mihi videtur Deorum aliquis nobis amice nunc aspirasse. *Pro.* Quo pacto id ais? et qua coniectura uteris? *So.* Dicam plane: tu vero attentis auribus adsta. *Pro.* Dic modo. *So.* Calidiusne aliquid nunc et frigidius dicebamus? *Pro.* Certe. *So.* Adde praeterea siccius et humidius, plus ac paucius, velocius atque tardius, maius et minus, ac denique quodcunque in superioribus ad naturam unam, magis minusve suscipientem, redegimus. *Pro.* An infiniti naturam inquis? *So.* Hanc ipsam, commisce posthac una cum iis progeniem termini. *Pro.* Quam? *So.* Progeniem scilicet termini, quam profecto decebat nos in unum colligere, quemadmodum de infinito fecimus, nequedum collegimus. at forte nunc idem ages. his quippe utrisque conciliatis, illa continuo patefiet. *Pro.* Quam dicis, et quomodo?

τοῦτο τιθέντα τὸ τούτων ἔκγονον ἅπαν, γένεσιν εἰς οὐσίαν ἐκ τῶν μετὰ τοῦ πέρατος ἀπειργασμένων μέτρων.

ΠΡΩ. Ἔμαθον.

ΣΩ. Ἀλλὰ δὴ πρὸς τρισὶ τέταρτόν τι τότε ἔφαμεν εἶναι γένος σκεπτέον. κοινὴ δ' ἡ σκέψις· ὅρα γὰρ εἴ σοι δοκεῖ ἀναγκαῖον εἶναι πάντα τὰ γιγνόμενα διά τιν' αἰτίαν γίγνεσθαι.

ΠΡΩ. Ἔμοιγε· πῶς γὰρ ἂν χωρὶς τούτου γίγνοιτο;

ΣΩ. Οὐκοῦν ἡ τοῦ ποιοῦντος φύσις οὐδὲν πλὴν ὀνόματι τῆς αἰτίας διαφέρει, τὸ δὲ ποιοῦν καὶ τὸ αἴτιον ὀρθῶς ἂν εἴη λεγόμενον ἕν;

ΠΡΩ. Ὀρθῶς.

27 ΣΩ. Καὶ μὴν τό γε ποιούμενον αὖ καὶ τὸ γιγνόμενον οὐδὲν πλὴν ὀνόματι, καθά περ τὸ νῦν δή, διαφέρον εὑρήσομεν. ἢ πῶς;

ΠΡΩ. Οὕτως.

ΣΩ. Ἆρ' οὖν ἡγεῖται μὲν τὸ ποιοῦν ἀεὶ κατὰ φύσιν, τὸ δὲ ποιούμενον ἐπακολουθεῖ γιγνόμενον ἐκείνῳ;

ΠΡΩ. Πάνυ γε.

ΣΩ. Ἄλλο ἄρα καὶ οὐ ταὐτὸν αἰτία τ' ἐστὶ καὶ τὸ δουλεῦον εἰς γένεσιν αἰτίᾳ.

ΠΡΩ. Τί μήν;

ΣΩ. Οὐκοῦν τὰ μὲν γιγνόμενα καὶ ἐξ ὧν γίγνεται πάντα τὰ τρία παρέσχετο ἡμῖν γένη;

unum hoc, quodcunque ex iis nascitur, generationem videlicet in essentiam, ex mensuris una cum termino constitutis. *Pro.* Intellexi. *So.* Ceterum quid praeter haec tria quartum genus sit, discutiendum restat. communis autem ista disceptatio est. Vide num tibi necessarium videatur, quodcunque gignitur, per aliquam causam gigni? *Pro.* Mihi plane. quomodo enim absque ea fieret? *So.* Et efficientis natura nomine duntaxat a causa differt; efficiensque et causa unum merito vocabuntur? *Pro.* Merito. *So.* Quin etiam factum ac genitum solo nomine discrepabunt. *Pro.* Certe. *So.* Praecedit quidem atque ducit natura semper quod efficiens est: quod vero factum est ab eo genitumque, ipsum sequitur. *Pro.* Prorsus. *So.* Non ergo idem, sed aliud, est causa et quod ad generationem causae inservit. *Pro.* Quid prohibet? *So.* An non genita ipsa, et ex quibus gignuntur omnia, tria nobis genera praebuerunt?

ΠΡΩ. Καὶ μάλα.

ΣΩ. Τὸ δὲ δὴ πάντα ταῦτα δημιουργοῦν λέγωμεν τέταρτον, τὴν αἰτίαν, ὡς ἱκανῶς ἕτερον ἐκείνων δεδηλωμένον;

ΠΡΩ. Λέγωμεν γὰρ οὖν.

ΣΩ. Ὀρθῶς μὴν ἔχει, διωρισμένων τῶν τεττάρων, ἑνὸς ἑκάστου μνήμης ἕνεκα ἐφεξῆς αὐτὰ καταριθμήσασθαι.

ΠΡΩ. Τί μήν;

ΣΩ. Πρῶτον μὲν τοίνυν ἄπειρον λέγω, δεύτερον δὲ πέρας, ἔπειτ' ἐκ τούτων τρίτον μικτὴν καὶ γεγενημένην οὐσίαν· τὴν δὲ τῆς μίξεως αἰτίαν καὶ γενέσεως τετάρτην λέγων ἆρα πλημμελοίην ἄν τι;

ΠΡΩ. Καὶ πῶς;

ΣΩ. Φέρε δή, τὸ μετὰ τοῦθ' ἡμῖν τίς ὁ λόγος; καὶ τί ποτε βουληθέντες εἰς ταῦτ' ἀφικόμεθα; ἆρ' οὐ τόδε ἦν; δευτερεῖα ἐζητοῦμεν πότερον ἡδονῆς γίγνοιτ' ἂν ἢ φρονήσεως. οὐχ οὕτως ἦν;

ΠΡΩ. Οὕτω μὲν οὖν.

ΣΩ. Ἆρ' οὖν νῦν, ἐπειδὴ ταῦτα οὕτω διειλόμεθα, κάλλιον ἂν καὶ τὴν κρίσιν ἐπιτελεσαίμεθα πρώτου πέρι καὶ δευτέρου, περὶ ὧν δὴ τὸ πρῶτον ἠμφισβητήσαμεν;

ΠΡΩ. Ἴσως.

Pro. Maxime. *So.* Omnium autem istorum opificem quartum ponimus, causamque vocamus, utpote aliud quiddam quam illa ad sufficientiam demonstratum. *Pro.* Ponimus absque dubio. *So.* Verum iam decet, cum quatuor discreta sint, singulorum memoriae gratia, singulatim illa dinumerare. *Pro.* Utique. *So.* Primum igitur infinitum dico: secundum terminum: tertium mixtam ex iis genitamque essentiam: postremum mixtionis generationisque causam si quartum vocem, nunquid errarem? *Pro.* Nullo pacto. *So.* Agedum deinceps quae nobis oratio? et quid potissimum inquirentes ad haec devenimus? nonne id erat? Quaerebamus nempe, cuinam secundae victoriae partes concederentur, voluptatine an potius sapientiae. an non ita? *Pro.* Ita certe. *So.* Postquam ista in hunc modum distinximus, nonne melius iudicabimus, cui prima cuive secunda victoriae palma danda sit, ex iis quae supra in certamen venerunt? *Pro.* Forte.

ΣΩ. Ἴθι δή, νικῶντα μὲν ἔθεμέν που τὸν μικτὸν βίον ἡδονῆς τε καὶ φρονήσεως. ἦν οὕτως;

ΠΡΩ. Ἦν.

ΣΩ. Οὐκοῦν τοῦτον μὲν τὸν βίον ὁρῶμέν που τίς τέ ἐστι καὶ ὁποίου γένους;

ΠΡΩ. Πῶς γὰρ οὔ;

ΣΩ. Καὶ μέρος γ' αὐτὸν φήσομεν εἶναι τοῦ τρίτου, οἶμαι, γένους. οὐ γὰρ δυοῖν τινοῖν ἐστὶ μικτὸς ἐκεῖνος, ἀλλὰ ξυμπάντων τῶν ἀπείρων ὑπὸ τοῦ πέρατος δεδεμένων, ὥστε ὀρθῶς ὁ νικηφόρος οὗτος βίος μέρος ἐκείνου γίγνοιτ' ἄν.

ΠΡΩ. Ὀρθότατα μὲν οὖν.

ΣΩ. Εἶεν. Τί δὲ ὁ σός, ὦ Φίληβε, ἡδὺς καὶ ἄμικτος ὢν ἐν τίνι γένει τῶν εἰρημένων λεγόμενος ὀρθῶς ἄν ποτε λέγοιτο; ὧδε δ' ἀπόκριναί μοι πρὶν ἀποφήνασθαι.

ΦΙ. Λέγε μόνον.

ΣΩ. Ἡδονὴ καὶ λύπη πέρας ἔχετον, ἢ τῶν τὸ μᾶλλόν τε καὶ ἧττον δεχομένων ἑστόν;

ΦΙ. Ναί, τῶν τὸ μᾶλλον, ὦ Σώκρατες· οὐ γὰρ ἂν ἡδονὴ πᾶν ἀγαθὸν ἦν, εἰ μὴ ἄπειρον ἐτύγχανε πεφυκὸς καὶ πλήθει καὶ τῷ μᾶλλον.

ΣΩ. Οὐδέ γ' ἄν, ὦ Φίληβε, λύπη πᾶν κακόν· ὥστ' ἄλλο τι νῶν σκεπτέον ἢ τὴν τοῦ ἀπείρου φύσιν,

So. Victricem sane posuimus vitam ex voluptate et sapientia mixtam. *Pro.* Immo. *So.* Qualis sit et cuius generis haec vita, quodammodo cernimus. *Pro.* Cernimus. *So.* Pars nempe tertii generis. neque enim quod ex duobus quibusdam mixtum illud est, sed quod ex infinitis omnibus a termino nexis. quapropter merito superatrix haec vita, illius pars erit. *Pro.* Et recte admodum. *So.* Eia, Philebe, dulcis illa tua ac simplex vita, ad quod praedictorum genus pertinere iure putabitur? Sic autem responde, antequam explicetur. *Phi.* Dic modo. *So.* Voluptas ac dolor terminum habent, an potius ex eorum genere sunt, quae magis minusve suscipiunt? *Phi.* Ita, ex iis, quae magis, o Socrates. neque enim voluptas omne bonum esset, nisi suapte natura, et secundum multitudinem, et secundum id quod magis, infinita exsisteret. *So.* At neque etiam dolor, o Philebe, omne malum. quamobrem aliud quiddam nunc considerare debemus,

ὡς παρέχεταί τι μέρος ταῖς ἡδοναῖς ἀγαθοῦ. τούτων δή σοι τῶν ἀπεράντων γεγονὸς ἔστω. φρόνησιν δὲ καὶ ἐπιστήμην καὶ νοῦν εἰς τί ποτε τῶν προειρημένων, ὦ Πρώταρχέ τε καὶ Φίληβε, νῦν θέντες οὐκ ἂν ἀσεβοῖμεν; οὐ γάρ μοι δοκεῖ σμικρὸς ἡμῖν εἶναι ὁ κίνδυνος κατορθώσασι καὶ μὴ περὶ τὸ νῦν ἐρωτώμενον.

ΦΙ. Σεμνύνεις γάρ, ὦ Σώκρατες, τὸν σαυτοῦ θεόν.

ΣΩ. Καὶ γὰρ σύ, ὦ ἑταῖρε, τὴν σεαυτοῦ· τὸ δ' ἐρωτώμενον ὅμως ἡμῖν λεκτέον.

ΠΡΩ. Ὀρθῶς τοι λέγει Σωκράτης, ὦ Φίληβε, καὶ αὐτῷ πειστέον.

ΦΙ. Οὐκοῦν ὑπὲρ ἐμοῦ σύ, ὦ Πρώταρχε, προήρησαι λέγειν;

ΠΡΩ. Ἔγνω γε· νῦν μέντοι σχεδὸν ἀπορῶ, καὶ δέομαί γε, ὦ Σώκρατες, αὐτόν σε ἡμῖν γενέσθαι προφήτην, ἵνα μηδὲν ἡμεῖς σοι περὶ τὸν ἀγωνιστὴν ἐξαμαρτάνοντες παρὰ μέλος φθεγξώμεθά τι.

ΣΩ. Πειστέον, ὦ Πρώταρχε· οὐδὲ γὰρ χαλεπὸν οὐδὲν ἐπιτάττεις. ἀλλ' ὄντως σε ἐγώ, καθά περ εἶπε Φίληβος, σεμνύνων ἐν τῷ παίζειν ἐθορύβησα, νοῦν καὶ ἐπιστήμην ἐρόμενος ποίου γένους εἶεν;

ΠΡΩ. Παντάπασί γε, ὦ Σώκρατες.

quam infiniti naturam, quod voluptatibus partem boni aliquam praebeat. enimvero ex iis indeterminatis vita illa tua sit. Sapientiam autem scientiamque et mentem, in quod potius ex praedictis, o Protarche atque Philebe, referentes adversus pietatem nequaquam peccabimus? haud enim mediocre periculum nobis imminere videtur, recte aut non recte tractantibus, quod modo quaesitum est. *Phi.* Deum, o Socrates, tuum extollis. *So.* Et tu, o amice, deam tuam. verum ad id, quod quaesitum est, redeundum. *Pro.* Probe loquitur Socrates, o Philebe: ideoque praestanda illi fides est. *Phi.* An non, o Protarche, pro me dicturum te promisisti? *Pro.* Maxime. nunc autem haesito et vereor, teque adesse nobis, o Socrates, tanquam prophetam obsecro: ne quid nos tibi, circa certatorem aberrantes, praeter melodiam canamus. *Phi.* Fides adhibenda, Protarche. nihil enim difficile iubes. *So.* Equidem Deum revera, ut Philebus inquit, extollens iocando te turbavi, interrogans cuiusnam generis mens et scientia essent. *Pro.* Maxime quidem, o Socrates.

ΣΩ. Ἀλλὰ μὴν ῥᾴδιον. πάντες γὰρ συμφωνοῦσιν οἱ σοφοί, ἑαυτοὺς ὄντως σεμνύνοντες, ὡς νοῦς ἐστὶ βασιλεὺς ἡμῖν οὐρανοῦ τε καὶ γῆς. καὶ ἴσως εὖ λέγουσι. διὰ μακροτέρων δ', εἰ βούλει, τὴν σκέψιν αὐτοῦ τοῦ γένους ποιησώμεθα.

ΠΡΩ. Λέγ' ὅπως βούλει, μηδὲν μῆκος ἡμῖν ὑπολογιζόμενος, ὦ Σώκρατες, ὡς οὐκ ἀπεχθησόμενος.

ΣΩ. Καλῶς εἶπες. ἀρξώμεθα δέ πως ὧδε ἐπανερωτῶντες.

ΠΡΩ. Πῶς;

ΣΩ. Πότερον, ὦ Πρώταρχε, τὰ ξύμπαντα καὶ τόδε τὸ καλούμενον ὅλον ἐπιτροπεύειν φῶμεν τὴν τοῦ ἀλόγου καὶ εἰκῇ δύναμιν καὶ τὰ ὅπῃ ἔτυχεν, ἢ τἀναντία παθά περ οἱ πράσθεν ἡμῶν ἔλεγον νοῦν καὶ φρόνησίν τινα θαυμαστὴν συντάττουσαν διακυβερνᾶν;

ΠΡΩ. Οὐδὲν τῶν αὐτῶν, ὦ θαυμάσιε Σώκρατες, ὃ μὲν γὰρ σὺ νῦν λέγεις, οὐδ' ὅσιον εἶναί μοι φαίνεται· τὸ δὲ νοῦν πάντα διακοσμεῖν αὐτὰ φάναι καὶ τῆς ὄψεως τοῦ κόσμου καὶ ἡλίου καὶ σελήνης καὶ ἀστέρων καὶ πάσης τῆς περιφορᾶς ἄξιον, καὶ οὐκ ἄλλως ἔχωγ' ἄν ποτε περὶ αὐτῶν εἴποιμι οὐδ' ἂν δοξάσαιμι.

ΣΩ. Βούλει δῆτά τι καὶ ἡμεῖς τοῖς ἔμπροσθεν ὁμολογούμενον ξυμφήσωμεν, ὡς ταῦθ' οὕτως ἔχει, καὶ

So. Facile tamen. omnes siquidem sapientes, sese extollentes, consentiunt, intellectum esse coeli terraeque regem. ac forte recte loquuntur. Quod si vis, hoc genus diffusius examinabimus. *Pro.* Dic arbitratu tuo, o Socrates, nihil prolixitatem veritus: neque enim molestus eris. *So.* Praeclare loqueris. hinc igitur interrogantes exordiamur. *Pro.* Unde? *So.* Utrum, o Protarche, dicendum est, universum hoc agi ab irrationali quadam temerariaque et fortuita potestate? an contra, quemadmodum maiores nostri senserunt, ordine quodam mentis et sapientiae mirabilis gubernari? *Pro.* Nulla est comparatio. nam quod modo dicebas, o Socrates, profanum mihi videtur: fateri autem, mente omnia haec exornari, sententia quaedam conspectu mundi solisque et lunae ceterorumque siderum et omnis denique coelestis circuitus digna est: nec ego unquam de iis aliter loqui aut sentire ausim. *So.* Visne igitur quod a priscis assertum est, nos item confiteamur, haec videlicet ita sese habere? nec modo

μὴ μόνον οἰώμεθα δεῖν τἀλλότρια ἄνευ κινδύνου λέ- 29
γειν, ἀλλὰ καὶ συγκινδυνεύωμεν καὶ μετέχωμεν τοῦ ψόγου, ὅταν ἀνὴρ δεινὸς φῇ ταῦτα μὴ οὕτως ἀλλ' ἀτάκτως ἔχειν;

ΠΡΩ. Πῶς γὰρ οὐκ ἂν βουλοίμην;

ΣΩ. Ἴθι δή, τὸν ἑπόμενον περὶ τούτων νῦν ἡμῖν λόγον ἄθρει.

ΠΡΩ. Λέγε μόνον.

ΣΩ. Τὰ περὶ τὴν τῶν σωμάτων φύσιν ἁπάντων
10 τῶν ζώων, πῦρ καὶ ὕδωρ καὶ πνεῦμα, καθορῶμέν που, καὶ γῆν, καθάπερ οἱ χειμαζόμενοι φασιν, ἐνόντα ἐν τῇ συστάσει.

ΠΡΩ. Καὶ μάλα· χειμαζόμεθα γὰρ ὄντως ὑπ' ἀπορίας ἐν τοῖς νῦν λόγοις.

ΣΩ. Φέρε δή, περὶ ἑκάστου τῶν παρ' ἡμῖν λαβὲ τὸ τοιόνδε.

ΠΡΩ. Ποῖον;

ΣΩ. Ὅτι σμικρόν τε τούτων ἕκαστον παρ' ἡμῖν
20 ἔνεστι καὶ φαῦλον καὶ οὐδαμῇ οὐδαμῶς εἰλικρινὲς ὂν καὶ τὴν δύναμιν οὐκ ἀξίαν τῆς φύσεως ἔχον. ἐν ἑνὶ δὲ λαβὼν περὶ πάντων νόει ταὐτόν. οἷον πῦρ ἔστι μέν που παρ' ἡμῖν, ἔστι δ' ἐν τῷ παντί.

ΠΡΩ. Τί μήν;

ΣΩ. Οὐκοῦν σμικρὸν μέν τι τὸ παρ' ἡμῖν καὶ

putemus, alia sine periculo proferri non posse, verum etiam una cum illis vituperationis periculum subeamus, si quando vir aliquis durus ac vehemens ista non sic, sed sine ordine ferri contenderit? *Pro.* Quidni velim? *So.* Age igitur, quod sequitur, contemplare. *Pro.* Dic iam. *So.* Quae circa corpora viventium sunt, ignem, aquam, spiritum atque terram, fluctuantium instar, ut aiunt, in compositione inesse conspicimus. *Pro.* Et maxime quidem. in iis enim sermonibus revera propter ambiguitatem fluctuamus. *So.* Ergo de unoquoque eorum, quae circa nos sunt, id accipe. *Pro.* Quidnam? *So.* Quod unumquodque horum apud nos exiguum ac vile, nec ullo modo sincerum et integrum, nec vim natura sua dignam ferens. quod quidem in uno animadvertens, de reliquis omnibus idem existimato. velut ignis, est quidem apud nos, est etiam in universo. *Pro.* Est. *So.* Nonne ignis hic noster exiguus, imbecillus

ἀσθενὲς καὶ φαῦλον, τὸ δ' ἐν τῷ παντὶ πλήθει τε θαυμαστὸν καὶ κάλλει καὶ πάσῃ δυνάμει τῇ περὶ τὸ πῦρ οὖσῃ.

ΠΡΩ. Καὶ μάλα ἀληθὲς ὃ λέγεις.

ΣΩ. Τί δαί; τρέφεται καὶ γίγνεται ἐκ τούτου καὶ ἄρχεται τὸ τοῦ παντὸς πῦρ ὑπὸ τοῦ παρ' ἡμῖν πυρός, ἢ τοὐναντίον ὑπ' ἐκείνου τό τ' ἐμὸν καὶ τὸ σὸν καὶ τὸ τῶν ἄλλων ζώων ἅπαντ' ἴσχει ταῦτα;

ΠΡΩ. Τοῦτο μὲν οὐδ' ἀποκρίσεως ἄξιον ἐρωτᾷς.

ΣΩ. Ὀρθῶς· ταὐτὰ γὰρ ἐρεῖς, οἶμαι, περί τε τῆς ἐν τοῖς ζώοις γῆς τῆς ἐνθάδε καὶ τῆς ἐν τῷ παντί, καὶ τῶν ἄλλων δὴ πάντων ὅσων ἠρώτησα ὀλίγον ἔμπροσθεν, οὕτως ἀποκρινεῖ.

ΠΡΩ. Τίς γὰρ ἀποκρινόμενος ἄλλως ὑγιαίνων ἄν ποτε φανείη;

ΣΩ. Σχεδὸν οὐδ' ὁστισοῦν. ἀλλὰ τὸ μετὰ τοῦτο ἑξῆς ἕπου. πάντα γὰρ ἡμεῖς ταῦτα τὰ νῦν δὴ λεχθέντα ἆρ' οὐκ εἰς ἓν συγκείμενα ἰδόντες ἐπωνομάσαμεν σῶμα;

ΠΡΩ. Τί μήν;

ΣΩ. Ταὐτὸν δὴ λαβὲ καὶ περὶ τοῦδε ὃν κόσμον λέγομεν. διὰ τὸν αὐτὸν γὰρ τρόπον ἂν εἴη που σῶμα, σύνθετον ὂν ἐκ τῶν αὐτῶν.

ΠΡΩ. Ὀρθότατα λέγεις.

et vilis: sed qui universi proprius, quantitate mirandus et pulchritudine et omni, quae ad ignem pertinet, potestate? *Pro.* Vera nimium loqueris. *So.* An vero fit, alitur, ducitur ab igni nostro mundi totius ignis: vel contra et meus, et tuus et animantium reliquorum omnis ab illo? *Pro.* Haec responsione digna non sunt. *So.* Recte. Eadem quoque de animalium ac mundi terra, opinor, diceres: et de aliis omnibus, quae supra quaesivimus, similiter responderes? *Pro.* Quisnam respondens aliter, sanae mentis aestimetur? *So.* Nemo forsitan. Sed iam ad reliqua. omnia quippe nunc dicta, in unum composita contuentes, corpus appellamus. *Pro.* Quidni? *So.* Idem quoque de hoc, quem mundum dicimus, accipe. eadem siquidem ratione corpus est, ex eisdem compositum. *Pro.* Recte loqueris.

ΣΩ. Πότερον οὖν ἐκ τούτου τοῦ σώματος ὅλως τὸ περὶ ἡμῖν σῶμα ἢ ἐκ τοῦ παρ' ἡμῖν τοῦτο τρέφεταί τε καὶ ὅσα νῦν δὴ περὶ αὐτῶν εἴπαμεν, εἴληφέ τε καὶ ἴσχει;

ΠΡΩ. Καὶ τοῦθ' ἕτερον, ὦ Σώκρατες, οὐκ ἄξιον ἐρωτήσεως.

ΣΩ. Τί δαί; τόδε ἆρ' ἄξιον; ἢ πῶς ἐρεῖς;

ΠΡΩ. Λέγε τὸ ποῖον.

ΣΩ. Τὰ παρ' ἡμῖν σῶμα ἆρ' οὐ ψυχὴν φήσομεν ἔχειν;

ΠΡΩ. Δῆλον ὅτι φήσομεν.

ΣΩ. Πόθεν, ὦ φίλε Πρώταρχε, λαβόν, εἴ περ μὴ τό γε τοῦ παντὸς σῶμα ἔμψυχον ὂν ἐτύγχανε, ταὐτά γε ἔχον τούτῳ καὶ ἔτι πάντῃ καλλίονα;

ΠΡΩ. Δῆλον ὡς οὐδαμόθεν ἄλλοθεν, ὦ Σώκρατες.

ΣΩ. Οὐ γάρ που δοκοῦμέν γε, ὦ Πρώταρχε, τὰ τέτταρ' ἐκεῖνα, πέρας καὶ ἄπειρον καὶ κοινὸν καὶ τὸ τῆς αἰτίας γένος, ἐν ἅπασι τέταρτον ἑνόν, τοῦτο ἐν μὲν τοῖς παρ' ἡμῖν ψυχήν τε παρέχον καὶ σωμασκίαν ἐμποιοῦν καὶ πταίσαντος σώματος ἰατρικὴν καὶ ἐν ἄλλοις ἄλλα συντιθὲν καὶ ἀκούμενον πᾶσαν καὶ παντοίαν σοφίαν ἐπικαλεῖσθαι, τῶν δ' αὐτῶν τούτων ὄντων ἐν ἅλῳ τε οὐρανῷ καὶ κατὰ μεγάλα μέρη, καὶ προσέτι κα-

So. Utrum ex hoc corpore nostrum corpus omnino, vel contra ex nostro ipsum nutritur, et quaecunque paulo ante memoravimus, suscepit et habet? *Pro.* Neque hoc etiam, o Socrates, in quaestionem cadere debet. *So.* Quid hoc? debetne, an non? *Pro.* Dic, quale sit. *So.* Nostrum corpus animam habere fatebimur? *Pro.* Constat. *So.* Undenam, o amice Protarche, suscepit, nisi mundi corpus, quod eadem quae et nostrum ac etiam praestantiora continet, animam habeat? *Pro.* Aliunde nequaquam. *So.* Neque enim existimandum, o Protarche, quatuor illa, terminum, infinitum, mixtum et causae genus, in iis quartum cunctis exsistens, quod iis quidem quae apud nos sunt, animam corpusque praebet, dum imprimit umbram, labefactoque corpore remedia parat, et in aliis alia constituit atque restituit, omnem atque integram sapientiam vocitari: cumque eadem haec in universo coelo eiusque partibus amplioribus insint, ac praeterea puriora praestantioraque exsistant, in eis

λῶν καὶ εἰλικρινῶν, ἐν τούτοις δ' οὐκ ἄρα μεμηχανῆσθαι τὴν τῶν καλλίστων καὶ τιμιωτάτων φύσιν.

ΠΡΩ. Ἀλλ' οὐδαμῶς τοῦτό γ' ἂν λόγον ἔχοι.

ΣΩ. Οὐκοῦν εἰ μὴ τοῦτο, μετ' ἐκείνου τοῦ λόγου ἂν ἑπόμενοι βέλτιον λέγοιμεν, ὡς ἔστιν, ἃ πολλάκις εἰρήκαμεν, ἄπειρόν τε ἐν τῷ παντὶ πολὺ καὶ πέρας ἱκανόν, καί τις ἐπ' αὐτοῖς αἰτία οὐ φαύλη, κοσμοῦσά τε καὶ συντάττουσα ἐνιαυτούς τε καὶ ὥρας καὶ μῆνας, σοφία καὶ νοῦς λεγομένη δικαιότατ' ἄν.

ΠΡΩ. Δικαιότατα δῆτα.

ΣΩ. Σοφία μὴν καὶ νοῦς ἄνευ ψυχῆς οὐκ ἄν ποτε γενοίσθην.

ΠΡΩ. Οὐ γὰρ οὖν.

ΣΩ. Οὐκοῦν ἐν μὲν τῇ τοῦ Διὸς ἐρεῖς φύσει βασιλικὴν μὲν ψυχήν, βασιλικὸν δὲ νοῦν ἐγγίγνεσθαι διὰ τὴν τῆς αἰτίας δύναμιν, ἐν δὲ ἄλλοις ἄλλα καλά, καθότι φίλον ἑκάστοις λέγεσθαι.

ΠΡΩ. Μάλα γε.

ΣΩ. Τοῦτον δὴ τὸν λόγον ἡμᾶς μή τι μάτην δόξῃς, ὦ Πρώταρχε, εἰρηκέναι, ἀλλ' ἔστι τοῖς μὲν πάλαι ἀποφηναμένοις ὡς ἀεὶ τοῦ παντὸς νοῦς ἄρχει ξύμμαχος ἐκείνοις.

ΠΡΩ. Ἔστι γὰρ οὖν.

ΣΩ. Τῇ δέ γε ἐμῇ ζητήσει πεπορικὼς ἀπόκρισιν,

tamen praeclarissimorum pretiosissimorumque naturam minime reperiri. *Pro.* Nullam profecto rationem id haberet. *So.* Quamobrem rationem illam ulterius prosequentes licebit asserere ea quae saepenumero praedicavimus, infinitum prorsus in omni consistere, sufficientemque terminum causamque illis haud ignobilem semper adesse, ornantem disponentemque horas et menses et annos, mentem et sapientiam merito nuncupatam. *Pro.* Merito. *So.* Sapientia vero atque mens absque anima nunquam essent. *Pro.* Nunquam certe. *So.* Ergo in Iovis ipsius natura regiam animam regiamque mentem inesse propter vim causae confiteberis: et in aliis item alia pulchra, ut illorum cuique dici placet. *Pro.* Maxime. *So.* Praecedentem, o Protarche, sermonem nequaquam temere inductum putes: his enim, qui olim mentem omni mundo praesidere ostenderunt, adminicula praebet. *Pro.* Praebet sane. *So.* Meae vero petitioni responsum por-

ὅτι νοῦς ἐστὶ γένους τοῦ πάντων αἰτίου λεχθέντος τῶν τεττάρων, ὧν ἦν ἡμῖν ἓν τοῦτο. ἔχεις γὰρ δή που νῦν ἡμῶν ηδη τὴν ἀπόκρισιν.

ΠΡΩ. Ἔχω καὶ μάλ' ἱκανῶς· καί τοί με ἀποκρινάμενος ἔλαθες.

ΣΩ. Ἀνάπαυλα γάρ, ὦ Πρώταρχε, τῆς σπουδῆς γίγνεται ἐνίοτε ἡ παιδιά.

ΠΡΩ. Καλῶς εἶπες.

ΣΩ. Νοῦς δή που, ὦ ἑταῖρε, οὗ μὲν γένους ἐστὶ καὶ τίνα ποτὲ δύναμιν κέκτηται, σχεδὸν ἐπιεικῶς ἡμῖν τὰ νῦν δεδήλωται.

ΠΡΩ. Πάνυ μὲν οὖν.

ΣΩ. Καὶ μὴν ἡδονῆς γε ὡσαύτως πάλαι τὸ γένος ἐφάνη.

ΠΡΩ. Καὶ μάλα.

ΣΩ. Μεμνώμεθα δὴ καὶ ταῦτα περὶ ἀμφοῖν, ὅτι νοῦς μὲν αἰτίας ἦν ξυγγενὴς καὶ τούτου σχεδὸν τοῦ γένους, ἡδονὴ δὲ ἄπειρός τε αὐτὴ καὶ τοῦ μήτε ἀρχὴν μήτε μέσα μήτε τέλος ἐν ἑαυτῷ ἀφ' ἑαυτοῦ ἔχοντος μηδὲ ἔχοντός ποτε γένους.

ΠΡΩ. Μεμνησόμεθα· πῶς γὰρ οὔ;

ΣΩ. Δεῖ δὴ τὸ μετὰ τοῦτο, ἐν ᾧ τέ ἐστιν ἑκάτερον αὐτοῖν καὶ διὰ τί πάθος γίγνεσθον, ὁπόταν γί-

rigit, quod mens est progenies omnium causae, quae unum quiddam ex quatuor his, quae relata sunt, asseritur. Habes iam igitur nostram expositionem. *Pro.* Habeo, et sufficienter quidem. etsi cum ante responderis, me hactenus latuisti. *So.* Remissio studii, o Protarche, saepenumero iocus est. *Pro.* Praeclare loqueris. *So.* Nunc igitur, o amice, in quo genere sit, quamve habeat vim, ad sufficientiam ferme monstratum est. *Pro.* Omnino. *So.* Quin etiam voluptatis genus iampridem patuit. *Pro.* Nimium. *So.* Reminiscamur iam et horum circa utraque, Quod mens quidem causae cognata eiusdemque cum illa generis ferme erat: voluptas autem infinita, eiusque generis quod nec principium nec medium neque finem in se ipso suapte natura continet, aut aliquando continebit. *Pro.* Quidni reminiscamur? *So.* Oportet itaque posthac, in quo horum utrumque consistit, et propter quam passionem fit, quotiens fit, advertere.

γνηοθον, ἰδεῖν ἡμᾶς πρῶτον τὴν ἡδονήν, ὡς περ τὸ γένος αὐτῆς πρότερον ἐβασανίσαμεν, οὕτω καὶ ταῦτα πρότερα. λύπης δ' αὖ χωρὶς τὴν ἡδονὴν οὐκ ἄν ποτε δυναίμεθα ἱκανῶς βασανίσαι.

ΠΡΩ. Ἀλλ' εἰ ταύτῃ χρὴ πορεύεσθαι, ταύτῃ πορευώμεθα.

ΣΩ. Ἆρ' οὖν σοὶ καθά περ ἐμοὶ φαίνεται τῆς γενέσεως αὐτῶν πέρι;

ΠΡΩ. Τὸ ποῖον;

ΣΩ. Ἐν τῷ κοινῷ μοι γένει ἅμα φαίνεσθον λύπη τε καὶ ἡδονὴ γίγνεσθαι κατὰ φύσιν.

ΠΡΩ. Κοινὸν δέ γε, ὦ φίλε Σώκρατες, ὑπομίμνησκε ἡμᾶς τί ποτε τῶν προειρημένων βούλει δηλοῦν.

ΣΩ. Ἔσται ταῦτ' εἰς δύναμιν, ὦ θαυμάσιε.

ΠΡΩ. Καλῶς εἶπες.

ΣΩ. Κοινὸν τοίνυν ὑπακούωμεν ὃ δὴ τῶν τεττάρων τρίτον ἐλέγομεν.

ΠΡΩ. Ὃ μετὰ τὸ ἄπειρον καὶ πέρας ἔλεγες; ἐν ᾧ καὶ ὑγίειαν, οἶμαι δὲ καὶ ἁρμονίαν, ἐτίθεσο;

ΣΩ. Κάλλιστ' εἶπες. τὸν νοῦν δὲ ὅτι μάλιστ' ἤδη πρόσεχε.

ΠΡΩ. Λέγε μόνον.

ΣΩ. Λέγω τοίνυν τῆς ἁρμονίας μὲν λυομένης ἡμῖν

utque voluptatis primo genus ipsum investigavimus, sic et ista circa illam primo nunc inquiremus. seorsum tamen a dolore voluptatem sufficienter examinare non possumus. *Pro.* Si hac gradiendum est, hac utique gradiamur. *So.* Num idem tibi, quod mihi, de horum generatione videtur? *Pro.* Quid istud? *So.* Communi in genere fieri secundum naturam dolor voluptasque videntur. *Pro.* Commune id genus, amice Socrates, repete obsecro, quidnam ex iis quae supra distincta sunt, significari velis. *So.* Pro viribus, o mirifice vir, id agam. *Pro.* Bene inquis. *So.* Commune profecto intelligamus, quod ex quatuor tertium numeravimus. *Pro.* An quod post infinitum finitumque locasti, in quo sanitatem et harmoniam, ut arbitror, posuisti? *So.* Recte dicis. sed nunc dicendis maxime mentem adhibe. *Pro.* Dic iam. *So.* Harmonia, inquam, soluta in animantibus, una

ἐν τοῖς ζώοις ἅμα λύσιν τῆς φύσεως καὶ γένεσιν ἀλγηδόνων ἐν τῷ τότε γίγνεσθαι χρόνῳ.

ΠΡΩ. Πάνυ λέγεις εἰκός.

ΣΩ. Πάλιν δὲ ἁρμοττομένης τε καὶ εἰς τὴν αὐτῆς φύσιν ἀποὐσης ἡδονὴν γίγνεσθαι λεκτέον, εἰ δεῖ δι' ὀλίγων περὶ μεγίστων ὅτι τάχιστα ῥηθῆναι.

ΠΡΩ. Οἶμαι μέν σε ὀρθῶς λέγειν, ὦ Σώκρατες, ἐμφανέστερον δὲ ἔτι ταὐτὰ ταῦτα πειρώμεθα λέγειν.

ΣΩ. Οὐκοῦν τὰ δημόσιά που καὶ περιφανῆ ῥᾷστον συννοεῖν;

ΠΡΩ. Ποῖα.

ΣΩ. Πείνη μέν που λύσις καὶ λύπη;

ΠΡΩ. Ναί.

ΣΩ. Ἐδωδὴ δὴ πλήρωσις γιγνομένη πάλιν ἡδονή;

ΠΡΩ. Ναί.

ΣΩ. Ἄψος δ' αὖ φθορὰ καὶ λύπη καὶ λύσις, ἡ δὲ τοῦ ὑγροῦ πάλιν τὸ ξηρανθὲν πληροῦσα δύναμις ἡδονή. διάκρισις δέ γ' αὖ καὶ διάλυσις, ἡ παρὰ φύσιν τοῦ πνίγους πάθη, λύπη· κατὰ φύσιν δ' ἡ πάλιν ἀπόδοσίς τε καὶ ψύξις ἡδονή.

ΠΡΩ. Πάνυ μὲν οὖν.

ΣΩ. Καὶ ῥίγους ἡ μὲν παρὰ φύσιν τοῦ ζώου τῆς ὑγρότητος πῆξις λύπη· πάλιν δ' εἰς ταὐτὸν ἀποὐντων καὶ διακρινομένων ἡ κατὰ φύσιν ὁδὸς ἡδονή. καὶ ἐνὶ

naturae solutionem generationemque dolorum eo in tempore fieri. *Pro.* Consentaneum. *So.* Rursus harmonia contemperata, et in sui naturam protinus restituta, voluptatem fieri dicendum est, si modo res maximae verbis paucis concludendae sunt. *Pro.* Reor equidem te recte, o Socrates, dicere. clarius tamen exprimere eadem annitendum. *So.* An non vulgaria et notissima cognitu facilia sunt? *Pro.* Quaenam ista? *So.* Fames quidem solutio est atque molestia. *Pro.* Est. *So.* Comestio vero repletio atque voluptas. *Pro.* Ita. *So.* Sitis iterum corruptio solutioque et dolor, vis autem, humore quod arefactum est reficiens, voluptas est. discretio insuper et dissolutio, praeter naturam aestu quodam effecta, molestia. at secundum naturam restitutio refrigeratioque voluptas. *Pro.* Prorsus. *So.* Concretio quoque humoris, praeter animalis naturam frigore facta, dolor. contra humido liquescente, et in suam redeunte naturam, reditus iste voluptas. Ac

λόγῳ σκόπει εἴ σοι μέτριος ὁ λόγος, ὃς ἂν φῇ τὸ ἐκ τῆς ἀπείρου καὶ πέρατος κατὰ φύσιν ἔμψυχον γεγονὸς εἶδος, ὅ περ ἔλεγον ἐν τῷ πρόσθεν, ὅταν μὲν τοῦτο φθείρηται, τὴν μὲν φθορὰν λύπην εἶναι, τὴν δ' εἰς τὴν αὐτῶν οὐσίαν ὁδόν, ταύτην δ' αὖ πάλιν τὴν ἀναχώρησιν πάντων ἡδονήν.

ΠΡΩ. Ἔστω· δοκεῖ γάρ μοι τύπον γέ τινα ἔχειν.

ΣΩ. Τοῦτο μὲν τοίνυν ἓν εἶδος τιθώμεθα λύπης τε καὶ ἡδονῆς ἐν τούτοις τοῖς πάθεσιν ἑκατέροις;

ΠΡΩ. Κείσθω.

ΣΩ. Τίθει τοίνυν αὐτῆς τῆς ψυχῆς κατὰ τὸ τούτων τῶν παθημάτων προσδόκημα τὸ μὲν πρὸ τῶν ἡδέων ἐλπιζόμενον ἡδὺ καὶ θαρραλέον, τὸ δὲ πρὸ τῶν λυπηρῶν φοβερὸν καὶ ἀλγεινόν.

ΠΡΩ. Ἔστι γὰρ οὖν τοῦθ' ἡδονῆς καὶ λύπης ἕτερον εἶδος, τὸ χωρὶς τοῦ σώματος αὐτῆς τῆς ψυχῆς διὰ προσδοκίας γιγνόμενον.

ΣΩ. Ὀρθῶς ὑπέλαβες. ἐν γὰρ τούτοις οἶμαι, κατά γε τὴν ἐμὴν δόξαν, εἰλικρινέσι τε ἑκατέροις γιγνομένοις, ὡς δοκεῖ, καὶ ἀμίκτοις λύπης τε καὶ ἡδονῆς, ἐμφανὲς ἔσεσθαι τὸ περὶ τὴν ἡδονήν, πότερον ὅλον ἐστὶ τὸ γένος ἀσπαστόν, ἢ τοῦτο μὲν ἑτέρῳ τινὶ τῶν προειρημένων δοτέον ἡμῖν γενῶν, ἡδονῇ δὲ καὶ λύπῃ,

summatim considera, num aequa tibi haec oratio videatur: Quotiens corrumpitur animata species, ex infinito et termino secundum naturam, ut diximus, genita, eiusmodi corruptio dolor est: cum vero haec in essentiam suam refluunt, regressum hunc dicimus voluptatem. *Pro.* Esto. videtur enim hoc mihi admodum verisimile. *So.* Hanc unam itaque voluptatis et doloris speciem in iis passionibus utrisque ponamus. *Pro.* Ponatur. *So.* Pone deinceps exspectationem harum in anima passionum: exspectationem inquam, quae voluptaria antecedit, sperantem, audentem atque suavem: quae vero molesta, formidolosam ac moestam. *Pro.* Est igitur haec voluptatis et doloris species alia, seorsum a corpore solius animae ab exspectatione profecta. *So.* Recte accepisti. In iis utique, ut mea fert opinio, utrisque sinceris exsistentibus nec mixtis, voluptate videlicet atque dolore, liquido discernemus, num voluptatis universum genus amandum sit, an hoc potius alteri cuiquam ex ante dictis attribuendum: voluptati vero

καθά περ θερμῷ καὶ ψυχρῷ καὶ πᾶσι τοῖς τοιούτοις, τοτὲ μὲν ἀσπαστέον αὐτά, τοτὲ δὲ οὐκ ἀσπαστέον, ὡς ἀγαθὰ μὲν οὐκ ὄντα, ἐνίοτε δὲ καὶ ἔνια δεχόμενα τὴν τῶν ἀγαθῶν ἕστιν ὅτε φύσιν.

ΠΡΩ. Ὀρθότατα λέγεις ὅτι ταύτῃ πῃ δεῖ διαπορευθῆναι τὸ νῦν μεταδιωκόμενον.

ΣΩ. Πρῶτον μὲν τοίνυν τόδε ξυνίδωμεν, ὡς εἴ περ ὄντως ἔστι τὸ λεγόμενον, διαφθειρομένων μὲν αὐτῶν ἀλγηδών, ἀνασωζομένων δὲ ἡδονή, τῶν μήτε διαφθειρομένων μήτε ἀνασωζομένων ἐννοήσωμεν πέρι, τίνα ποτὲ ἕξιν δεῖ τότε ἐν ἑκάστοις εἶναι τοῖς ζώοις, ὅταν οὕτως ἴσχῃ. σφόδρα δὲ προσέχων τὸν νοῦν εἰπέ· ἆρ' οὐ πᾶσα ἀνάγκη πᾶν ἐν τῷ τότε χρόνῳ ζῷον μή τέ τι λυπεῖσθαι μήθ' ἥδεσθαι, μήτε μέγα μήτε σμικρόν; 53

ΠΡΩ. Ἀνάγκη μὲν οὖν.

ΣΩ. Οὐκοῦν ἔστι τις τρίτη ἡμῶν ἡ τοιαύτη διάθεσις παρά τε τὴν τοῦ χαίροντος καὶ παρὰ τὴν τοῦ λυπουμένου;

ΠΡΩ. Τί μήν;

ΣΩ. Ἄγε δὴ τοίνυν, ταύτης προθυμοῦ μεμνῆσθαι· πρὸς γὰρ τὴν τῆς ἡδονῆς κρίσιν οὐ σμικρὸν μεμνῆσθαι ταύτης ἔσθ' ἡμῖν ἢ μή. βραχὺ δέ τι περὶ αὐτῆς, εἰ βούλει, διαπεράνωμεν.

ΠΡΩ. Λέγε ποῖον.

atque dolori, ceu calido et frigido ceterisque talibus competat, ut interdum amanda sint, alias non amanda: utpote quae bona minime sint, sed quandoque certum aliquid suscipientia, naturam boni sequantur. *Pro.* Recte ais oportere sic incedere, qui talia persecutatur. *So.* Primum igitur id inspiciamus: si verum est quod dicebatur, destructis illis dolorem, refectis voluptatem sequi: cum neque deperduntur, neque etiam recreantur, quam potissimum habitudinem tunc animalibus tribuere debeamus. Intentus itaque animo mihi responde, num tibi necessarium videatur, quodlibet animal eo ipso in tempore nullo modo laetari vel angi. *Pro.* Necessarium certe. *So.* Est ergo status hic tertius praeter moerentis et gaudentis affectum. *Pro.* Est profecto. *So.* Agedum, huius meminisse conare. ad diiudicandam siquidem voluptatem, reminisci, vel non, permultum refert. brevibus tamen aliquid de ipsa, si vis, perstringamus. *Pro.* Dicas ergo, quid istud?

ΣΩ. Τῷ τὸν τοῦ φρονεῖν ἑλομένῳ βίον οἴσθ' ὡς τοῦτον τὸν τρόπον οὐδὲν ἀποκωλύει ζῆν.

ΠΡΩ. Τὸν τοῦ μὴ χαίρειν μηδὲ λυπεῖσθαι λέγεις;

ΣΩ. Ἐρρήθη γάρ που τότε ἐν τῇ παραβολῇ τῶν βίων μηδὲν δεῖν μήτε μέγα μήτε σμικρὸν χαίρειν τῷ τὸν τοῦ νοεῖν καὶ φρονεῖν βίον ἑλομένῳ.

ΠΡΩ. Καὶ μάλ' οὕτως ἐρρήθη.

ΣΩ. Οὐκοῦν οὕτως ἂν ἐκείνῳ γε ὑπάρχοι· καὶ ἴσως οὐδὲν ἄτοπον εἰ πάντων τῶν βίων ἐστὶ θειότατος.

ΠΡΩ. Οὐκουν εἰκός γε οὔτε χαίρειν τοὺς θεοὺς οὔτε τὸ ἐναντίον.

ΣΩ. Πάνυ μὲν οὖν οὐκ εἰκός· ἄσχημον γοῦν αὐτῶν ἑκάτερον γιγνόμενόν ἐστιν. ἀλλὰ δὴ τοῦτο μὲν ἔτι καὶ εἰσαῦθις ἐπισκεψώμεθα, ἐὰν πρὸς λόγον τι ᾖ, καὶ τῷ νῷ πρὸς τὰ δευτερεῖα, ἐὰν μὴ πρὸς τὰ πρωτεῖα δυνώμεθα προσθεῖναι, προσθήσομεν.

ΠΡΩ. Ὀρθότατα λέγεις.

ΣΩ. Καὶ μὴν τό γε ἕτερον εἶδος τῶν ἡδονῶν, ὃ τῆς ψυχῆς αὐτῆς ἔφαμεν εἶναι, διὰ μνήμης πᾶν ἐστὶ γεγονός.

ΠΡΩ. Πῶς;

ΣΩ. Μνήμην, ὡς ἔοικεν, ὅ τί ποτ' ἔστι, πρότερον ἀναληπτέον. καὶ κινδυνεύει πάλιν ἔτι πρότερον αἴσθησιν μνήμης, εἰ μέλλει τὰ περὶ ταῦθ' ἡμῖν κατὰ τρόπον φανερά πη γενήσεσθαι.

So. Eum, qui contemplationis vitam eligit, nihil ita vivere prohibet. *Pro.* Seorsum a laetitia et molestia, dicis? *So.* Dictum enim in cuiusque vitae comparatione, virum contemplationi deditum nihil ulla ex parte vel gaudere vel angi. *Pro.* Omnino sic dictum. *So.* Nonne sic illi convenit? ac forte nil mirum esset, si vita haec ceterarum omnium divinissima sit. *Pro.* An absurdum est deos gaudere, vel contra tristari? *So.* Absurdum omnino. indecens enim utrumque est. at hoc deinceps investigemus, si quid ad hanc disputationem conferat: ac menti ad secundas victoriae sortes, si minus ad primas possimus, accommodabimus. *Pro.* Recte loqueris. *So.* Atqui alia species voluptatum, quam animae propriam assignavimus, memoria constat. *Pro.* Quo pacto? *So.* Primum, quid memoria sit, accipiendum videtur: immo ante eam quid sensus, si planius haec elucidare velimus.

ΠΡΩ. Πῶς φῄς;

ΣΩ. Θὲς τῶν περὶ τὸ σῶμα ἡμῶν ἑκάστοτε παθημάτων τὰ μὲν ἐν τῷ σώματι κατασβεννύμενα πρὶν ἐπὶ τὴν ψυχὴν διεξελθεῖν, ἀπαθῆ ἐκείνην ἐάσαντα, τὰ δὲ δι' ἀμφοῖν ἰόντα καί τινα ὥς περ σεισμὸν ἐντιθέντα ἴδιόν τε καὶ κοινὸν ἑκατέρῳ.

ΠΡΩ. Κείσθω.

ΣΩ. Τὰ μὲν δὴ μὴ δι' ἀμφοῖν ἰόντα ἐὰν τὴν ψυχὴν ἡμῶν φῶμεν λανθάνειν, τὰ δὲ δι' ἀμφοῖν μὴ λανθάνειν, ἆρ' ὀρθότατα ἐροῦμεν;

ΠΡΩ. Πῶς γὰρ οὔ;

ΣΩ. Τὸ τοίνυν λεληθέναι μηδαμῶς ὑπολάβῃς ὡς λέγω λήθης ἐνταῦθά που γένεσιν. ἔστι γὰρ λήθη μνήμης ἔξοδος, ἡ δ' ἐν τῷ λεγομένῳ νῦν οὔπω γέγονε· τοῦ δὲ μήτε ὄντος μήτε γεγονότος πως γίγνεσθαι φάναι τινὰ ἀποβολὴν ἄτοπον. ἦ γάρ;

ΠΡΩ. Τί μήν;

ΣΩ. Τὰ τοίνυν ὀνόματα μετάβαλε μόνον.

ΠΡΩ. Πῶς;

ΣΩ. Ἀντὶ μὲν τοῦ λεληθέναι τὴν ψυχήν, ὅταν ἀπαθὴς αὕτη γίγνηται τῶν σεισμῶν τῶν τοῦ σώματος, ἣν νῦν λήθην καλεῖς, ἀναισθησίαν ἐπονόμασον. 34

ΠΡΩ. Ἔμαθον.

Pro. Quo pacto inquis? *So.* Pone, ex omnibus corporis passionibus quasdam in corpore prius exstinctas, quam in animam transfluant, passione vacuam dimittentes: alias per utrumque diffusas et quandam quasi concussionem, tam propriam quam communem utrique, pariter inferentes. *Pro.* Ponantur. *So.* Et passiones per utrumque minime propagatas, si latere dixerimus animam, et per utrumque manantes innotescere animae, an recte dicemus? *Pro.* Certe. *So.* Ipsum ergo latere, nullo modo, ut dicere videor, oblivionis generationem esse existimes. Est enim oblivio memoriae exitus. ea vero in iis, quae modo dicebantur, nondum erat. Eius autem quod nec est nec fuit, iacturam fieri aliquam, absurdum. *Pro.* Absurdum. *So.* Nomina ergo duntaxat permuta. *Pro.* Quomodo? *So.* Pro eo quod latere animam diximus, quando absque passione corporei tumultus exsistit, quam nunc oblivionem vocare videris, insensationem, ut ita loquar, potius nominato. *Pro.* Teneo te.

ΣΩ. Τὸ δὲ ἐν ἐνὶ πάθει τὴν ψυχὴν καὶ τὸ σῶμα κοινῇ γιγνόμενον κοινῇ καὶ κινεῖσθαι, ταύτην δ' αὖ τὴν κίνησιν ὀνομάζων αἴσθησιν οὐκ ἀπὸ τρόπου φθέγγοι' ἄν.

ΠΡΩ. Ἀληθέστατα λέγεις.

ΣΩ. Οὐκοῦν ἤδη μανθάνομεν ὃ βουλόμεθα καλεῖν τὴν αἴσθησιν;

ΠΡΩ. Τί μήν;

ΣΩ. Σωτηρίαν τοίνυν αἰσθήσεως τὴν μνήμην λέγων ὀρθῶς ἄν τις λέγοι κατά γε τὴν ἐμὴν δόξαν.

ΠΡΩ. Ὀρθῶς γὰρ οὖν.

ΣΩ. Μνήμης δὲ ἀνάμνησιν ἆρ' οὐ διαφέρουσαν λέγομεν;

ΠΡΩ. Ἴσως.

ΣΩ. Ἆρ' οὖν οὐ τόδε;

ΠΡΩ. Τὸ ποῖον;

ΣΩ. Ὅταν ἃ μετὰ τοῦ σώματος ἔπασχέ ποθ' ἡ ψυχή, ταῦτ' ἄνευ τοῦ σώματος αὐτὴ ἐν ἑαυτῇ ὅτι μάλιστ' ἀναλαμβάνῃ, τότε ἀναμιμνήσκεσθαί που λέγομεν. ἦ γάρ;

ΠΡΩ. Πάνυ μὲν οὖν.

ΣΩ. Καὶ μὴν καὶ ὅταν ἀπολέσασα μνήμην εἴτε αἰσθήσεως εἴτε αὖ μαθήματος αὖθις ταύτην ἀναπολήσῃ πάλιν αὐτὴ ἐν ἑαυτῇ, καὶ ταῦτα ξύμπαντ' ἀναμνήσεις καὶ μνήμας που λέγομεν.

ΠΡΩ. Ὀρθῶς λέγεις.

So. Motum autem communi corporis et animae passione factum, si sensum vocaveris, haud ab re nominabis. *Pro.* Vera loqueris. *So.* An non percipimus iam, quid sensum vocari velimus? *Pro.* Percipimus. *So.* Sensus praeterea conservationem recte quis memoriam mea sententia nuncupabit. *Pro.* Recte nimium. *So.* Et a memoria reminiscentiam discrepare fatemur, necne? *Pro.* Forte. *So.* An non in hoc praecipue? *Pro.* Quonam? *So.* Quotiens quae cum corpore passa est aliquando anima, eadem sine corpore in seipsa resumens animadvertit, tunc reminisci eam asserimus. an non? *Pro.* Valde quidem. *So.* Quin etiam, quando memoriae passa iacturam, deinde vel sensu vel disciplina monente, eam iterum revocat in seipsa, reminisci putatur: atque haec iam memorias reminiscentiasque vocamus. *Pro.* Probe loqueris.

ΣΩ. Οὗ δὴ χάριν ἅπαντ' εἴρηται ταῦτα, ἔστι τόδε.

ΠΡΩ. Τὸ ποῖον;

ΣΩ. Ἵνα μὴ τὴν ψυχῆς ἡδονὴν χωρὶς σώματος ὅτι μάλιστα καὶ ἐναργέστατα λάβοιμεν, καὶ ἅμα ἐπιθυμίαν· διὰ γὰρ τούτων πως ταῦτα ἀμφότερα ἔοικε δηλοῦσθαι.

ΠΡΩ. Λέγωμεν τοίνυν, ὦ Σώκρατες, ἤδη τὸ μετὰ ταῦτα.

ΣΩ. Πολλά γε περὶ γένεσιν ἡδονῆς καὶ πᾶσαν τὴν μορφὴν αὐτῆς ἀναγκαῖον, ὡς ἔοικε, λέγοντας σκοπεῖν. καὶ γὰρ νῦν πρότερον ἔτι φαίνεται ληπτέον ἐπιθυμίαν εἶναι, τί ποτ' ἔστι καὶ ποῦ γίγνεται.

ΠΡΩ. Σκοπῶμεν τοίνυν· οὐδὲν γὰρ ἀπολοῦμεν.

ΣΩ. Ἀπολοῦμεν μὲν οὖν, καὶ ταῦτά γε, ὦ Πρώταρχε, εὑρόντες ὃ νῦν ζητοῦμεν, τὴν περὶ αὐτὰ ταῦτα ἀπορίαν.

ΠΡΩ. Ὀρθῶς ἡμύνω· τὸ δ' ἐφεξῆς τούτοις πειρώμεθα λέγειν.

ΣΩ. Οὐκοῦν νῦν δὴ πείνην τε καὶ δίψος καὶ πόλλ' ἕτερα τοιαῦτα ἔφαμεν εἶναί τινας ἐπιθυμίας;

ΠΡΩ. Σφόδρα γε.

ΣΩ. Πρὸς τί ποτε ἆρα ταὐτὸν βλέψαντες οὕτω πολὺ διαφέροντα ταῦθ' ἑνὶ προσαγορεύομεν ὀνόματι;

ΠΡΩ. Μὰ Δί' οὐ ῥᾴδιον ἴσως εἰπεῖν, ὦ Σώκρατες· ἀλλ' ὅμως λεκτέον.

So. Cuius autem gratia haec dicta sunt omnia, idem. *Pro.* Quidnam? *So.* Ne animae voluptatem absque corpore quam maxime atque perspicue capiamus, atque una concupiscentiam. per haec enim utraque ista declarata videntur. *Pro.* Pergamus iam ad reliqua, Socrates. *So.* Multa considerare decet, voluptatis originem omnemque formam eius investigantes. et nunc quidem primo videndum, quid est et ubi nascitur concupiscentia. *Pro.* Videamus iam, obsecro. nihil enim amittemus. *So.* Immo, o Protarche, cum quod modo quaerebamus, invenerimus, amittemus aliquid circa ista, videlicet dubitationem. *Pro.* Quam belle vicem reddidisti! at iam quae sequuntur expediamus. *So.* Nonne famem atque sitim et huiusmodi multa concupiscentias quasdam esse diximus? *Pro.* Maxime. *So.* Ad quidnam idem respicientes, res adeo diversas uno nomine nuncupamus? *Pro.* Per Iovem, haud facile dictu, o Socrates. dicendum tamen.

ΣΩ. Ἐκεῖθεν δὴ ἐκ τῶν αὐτῶν πάλιν ἀναλάβωμεν.

ΠΡΩ. Πόθεν δή;

ΣΩ. Διψῇ που λέγομεν ἑκάστοτέ τι;

ΠΡΩ. Πῶς δ' οὔ;

ΣΩ. Τοῦτο δέ γ' ἐστὶ κενοῦται;

ΠΡΩ. Τί μήν;

ΣΩ. Ἆρ' οὖν τὸ δίψος ἐστὶν ἐπιθυμία;

ΠΡΩ. Ναί, πώματός γε.

ΣΩ. Πώματος, ἢ πληρώσεως πώματος;

ΠΡΩ. Οἶμαι μὲν πληρώσεως.

ΣΩ. Ὁ κενούμενος ἡμῶν ἄρα, ὡς ἔοικεν, ἐπιθυμεῖ τῶν ἐναντίων ἢ πάσχει. κενούμενος γὰρ ἐρᾷ πληροῦσθαι.

ΠΡΩ. Σαφέστατά γε.

ΣΩ. Τί οὖν; ὁ τὸ πρῶτον κενούμενος ἔστιν ὁπόθεν εἴτ' αἰσθήσει πληρώσεως ἐφάπτοιτ' ἂν εἴτε μνήμῃ, τούτου ὃ μήτ' ἐν τῷ νῦν χρόνῳ πάσχει μήτ' ἐν τῷ πρόσθε πώποτ' ἔπαθεν;

ΠΡΩ. Καὶ πῶς;

ΣΩ. Ἀλλὰ μὴν ὅ γ' ἐπιθυμῶν τινὸς ἐπιθυμεῖ, φαμέν;

ΠΡΩ. Πῶς γὰρ οὔ;

ΣΩ. Οὐκ ἄρ' ὅ γε πάσχει, τούτου ἐπιθυμεῖ. διψῇ γάρ, τοῦτο δὲ κένωσις· ὁ δὲ ἐπιθυμεῖ πληρώσεως.

ΠΡΩ. Ναί.

So. Ab eisdem rursus exordiamur. *Pro.* Quibus? *So.* Dicimusne sitire aliquem? *Pro.* Dicimus. *So.* Hoc autem est exhaustum esse? *Pro.* Quidni? *So.* Et sitis concupiscentia est? *Pro.* Est. *So.* Potionisne? *Pro.* Potionis. *So.* An non repletionis potus? *Pro.* Huius certe. *So.* Vacuus igitur et exhaustus contraria eorum, quae patitur, appetit. nam cum vacuus sit, impleri cupit. *Pro.* Manifestum est omnino. *So.* Quid ergo? qui primo exhaustus est, num potest vel sensu vel memoria quadam eius repletionem attingere, quod nec praesenti in tempore nec aliquando passus est? *Pro.* Nullo modo. *So.* Sed eum qui cupit, aliquid cupere confitemur. *Pro.* Quidni? *So.* Non ergo quod patitur appetit. sitit enim. sitis autem indigentia est: is tamen repletionem affectat. *Pro.* Ita.

ΣΩ. Πληρώσεως ἄρα πῇ τι τῶν τοῦ διψῶντος ἂν ἐφάπτοιτο.

ΠΡΩ. Ἀναγκαῖον.

ΣΩ. Τὸ μὲν δὴ σῶμα ἀδύνατον· κενοῦται γάρ που.

ΠΡΩ. Ναί.

ΣΩ. Τὴν ψυχὴν ἄρα τῆς πληρώσεως ἐφάπτεσθαι λοιπόν, τῇ μνήμῃ δῆλον ὅτι· τῷ γὰρ ἂν ἔτ' ἄλλῳ ἐφάψαιτο;

ΠΡΩ. Σχεδὸν οὐδενί.

ΣΩ. Μανθάνομεν οὖν ὃ συμβέβηκε ἡμῖν ἐκ τούτων τῶν λόγων;

ΠΡΩ. Τὸ ποῖον;

ΣΩ. Σώματος ἐπιθυμίαν οὔ φησιν ἡμῖν οὗτος ὁ λόγος γίγνεσθαι.

ΠΡΩ. Πῶς;

ΣΩ. Ὅτι τοῖς ἐκείνου παθήμασιν ἐναντίαν ἀεὶ παντὸς ζώου μηνύει τὴν ἐπιχείρησιν.

ΠΡΩ. Καὶ μάλα.

ΣΩ. Ἡ δ' ὁρμή γε ἐπὶ τοὐναντίον ἄγουσα ἢ τὰ παθήματα δηλοῖ που μνήμην οὖσαν τῶν τοῖς παθήμασιν ἐναντίων.

ΠΡΩ. Πάνυ γε.

ΣΩ. Τὴν ἄρ' ἐπάγουσαν ἐπὶ τὰ ἐπιθυμούμενα ἀποδείξας μνήμην ὁ λόγος ψυχῆς ξύμπασαν τήν τε ὁρμὴν καὶ ἐπιθυμίαν καὶ τὴν ἀρχὴν τοῦ ζώου παντὸς ἀπέφηνεν.

So. Aliquid igitur eius quod appetit, expletionem attinget. *Pro.* Necesse. *So.* Corpus quidem nequit. nam exhaustum est. *Pro.* Certe. *So.* Restat, ut anima repletionem per memoriam consequatur. *Pro.* Patet. *So.* Nam quo alio consequeretur? *Pro.* Nullo ferme. *So.* An advertimus, quid nobis ex his rationibus efficiatur? *Pro.* Quid istud? *So.* Corporis cupiditatem esse ratio haec non dictat. *Pro.* Quo pacto? *So.* Quoniam passionibus eius contrarium conatum animalis omnis semper ostendit. *Pro.* Penitus. *So.* Impetus autem in contraria quam passiones trahens, memoriam contrariarum passionibus innuit. *Pro.* Omnino. *So.* Ratio itaque ostendens memoriam ad concupita rapientem, animae omnem impetum et cupidinem principatumque omnis viventis explicuit.

ΠΡΩ. Ὀρθότατα.

ΣΩ. Διψῆν ἄρα ἡμῶν τὸ σῶμα ἢ πεινῆν ἤ τι τῶν τοιούτων πάσχειν οὐδαμῇ ὁ λόγος αἱρεῖ.

ΠΡΩ. Ἀληθέστατα.

ΣΩ. Ἔτι δὴ καὶ τόδε περὶ ταὐτὰ ταῦτα κατανοήσωμεν. βίου γὰρ εἶδός τί μοι φαίνεται βούλεσθαι δηλοῦν ὁ λόγος ἡμῖν ἐν τούτοις αὐτοῖς.

ΠΡΩ. Ἐν τίσι καὶ ποίου πέρι βίου φράζεις;

ΣΩ. Ἐν τῷ πληροῦσθαι καὶ κενοῦσθαι καὶ πᾶσιν ὅσα περὶ σωτηρίαν τ' ἐστὶ τῶν ζώων καὶ τὴν φθοράν, καὶ εἴ τις τούτων ἐν ἑκατέρῳ γιγνόμενος ἡμῶν ἀλγεῖ, τότε δὲ χαίρει κατὰ τὰς μεταβολάς.

ΠΡΩ. Ἔστι ταῦτα.

ΣΩ. Τί δ' ὅταν ἐν μέσῳ τούτων γίγνηται;

ΠΡΩ. Πῶς ἐν μέσῳ;

ΣΩ. Διὰ μὲν τὸ πάθος ἀλγεῖ, μέμνηται δὲ τῶν ἡδέων γενομένων· παύοιτ' ἂν τῆς ἀλγηδόνος, πεπλήρωται δὲ μήπω· τί τότε; φῶμεν ἢ μὴ φῶμεν αὐτὸν
36 ἐν μέσῳ τῶν παθημάτων εἶναι;

ΠΡΩ. Φῶμεν μὲν οὖν.

ΣΩ. Πότερον ἀλγοῦνθ' ὅλως ἢ χαίροντα;

ΠΡΩ. Μὰ Δί', ἀλλὰ διπλῇ τινὶ λύπῃ λυπούμενον, κατὰ μὲν τὸ σῶμα ἐν τῷ παθήματι, κατὰ δὲ τὴν ψυχὴν προσδοκίας τινὶ πόθῳ.

Pro. Recte nimium. *So.* Sitire igitur vel esurire corpus nostrum, aut aliquid eiusmodi pati, nequaquam ratio haec admittit. *Pro.* Vera loqueris. *So.* Hoc praeterea circa ista considerabimus, quod haec ratio quandam vitae speciem in iis demonstrare velle videtur. *Pro.* In quibus? et de qua vita loqueris? *So.* In replendo inquam, et evacuando, et omnibus quae ad salutem sive perniciem animalium attinent. et si quis nostrum in alterutro constitutus affligitur, tunc secundum mutationes laetatur. *Pro.* Sic est. *So.* Quid, quotiens in horum medio permanet? *Pro.* Quomodo in medio? *So.* Ob passionem quippe tristatur, sed voluptatum interim praeteritarum meminit: cessat quidem tristitia, nondum tamen impletur: quid tunc dicendum? nonne in medio passionum esse? *Pro.* Dicendum. *So.* Utrum dolentem omnino, vel contra gaudentem? *Pro.* Non gaudentem, per Iovem, sed dupla potius affectum tristitia: secundum corpus in passione, secundum animam in exspectationis ardore.

ΣΩ. Πῶς, ὦ Πρώταρχε, τὸ διπλοῦν τῆς λύπης εἶπες; ἆρ' οὐκ ἔστι μὲν ὅτε τις ἡμῶν κενούμενος ἐν ἐλπίδι φανερᾷ τοῦ πληρωθήσεσθαι καθέστηκε, τοτὲ δὲ τοὐναντίον ἀνελπίστως ἔχει;

ΠΡΩ. Καὶ μάλα γε.

ΣΩ. Μῶν οὖν οὐχὶ ἐλπίζων μὲν πληρωθήσεσθαι τῷ μεμνῆσθαι δοκεῖ σοι χαίρειν, ἅμα δὲ κενούμενος ἐν τούτοις τοῖς χρόνοις ἀλγεῖν;

ΠΡΩ. Ἀνάγκη.

ΣΩ. Τότ' ἆρ' ἄνθρωπος καὶ τἆλλα ζῶα λυπεῖταί τε ἅμα καὶ χαίρει.

ΠΡΩ. Κινδυνεύει.

ΣΩ. Τί δ' ὅταν ἀνελπίστως ἔχῃ κενούμενος τεύξεσθαι πληρώσεως; ἆρ' οὐ τότε τὸ διπλοῦν γίγνοιτ' ἂν περὶ τὰς λύπας πάθος, ὃ σὺ νῦν δὴ κατιδὼν ᾠήθης ἁπλῶς εἶναι διπλοῦν;

ΠΡΩ. Ἀληθέστατα, ὦ Σώκρατες.

ΣΩ. Ταύτῃ δὴ τῇ σκέψει τούτων τῶν παθημάτων τόδε χρησώμεθα.

ΠΡΩ. Τὸ ποῖον;

ΣΩ. Πότερον ἀληθεῖς ταύτας τὰς λύπας τε καὶ ἡδονὰς ἢ ψευδεῖς εἶναι λέξομεν; ἢ τὰς μέν τινας ἀληθεῖς, τὰς δ' οὔ;

ΠΡΩ. Πῶς δ', ὦ Σώκρατες, ἂν εἶεν ψευδεῖς ἡδοναὶ ἢ λῦπαι;

So. Quonam modo, Protarche, dolorem duplum aiebas? nonne vacuus quispiam certam aliquando repletionem sperat: aliquando contra desperat? *Pro.* Maxime. *So.* Num, dum assequi sperat, ipsa recordatione gaudere videtur? simulque vacuus eo in tempore cruciari? *Pro.* Necesse. *So.* Tunc igitur et homo et animalia reliqua laetantur simul ac moerent. *Pro.* Apparet. *So.* At cum vacuus aliquis expletionem omnino desperat, nonne tunc passio duplex circa dolores exoritur, quam ipse paulo ante intuitus, simpliciter duplam opinabaris? *Pro.* Vera haec sunt. *So.* Hac tallum passionum disceptatione ad id utamur. *Pro.* Ad quid ais? *So.* Utrum voluptates istas atque molestias veras, an falsas: an partim veras, partim falsas dicere debeamus? *Pro.* Quo pacto, o Socrates, voluptates atque molestiae falsae esse possunt?

ΣΩ. Πῶς δέ, ὦ Πρώταρχε, φόβοι ἂν ἀληθεῖς ἢ ψευδεῖς, ἢ προσδοκίαι ἀληθεῖς ἢ μή, ἢ δόξαι ἀληθεῖς ἢ ψεύδεῖς;

ΠΡΩ. Δόξας μὲν ἔγωγ' ἄν που συγχωροίην, τὰ δ' ἕτερα ταῦτ' οὐκ ἄν.

ΣΩ. Πῶς φῄς; λόγον μέντοι τινὰ κινδυνεύομεν οὐ πάνυ σμικρὸν ἐπεγείρειν.

ΠΡΩ. Ἀληθῆ λέγεις.

ΣΩ. Ἀλλ' εἰ πρὸς τὰ παρεληλυθότα, ὦ παῖ πείνου τἀνδρός, προσήκοντα, τοῦτο σκεπτέον.

ΠΡΩ. Ἴσως τοῦτό γε.

ΣΩ. Χαίρειν τοίνυν δεῖ λέγειν τοῖς ἄλλοις μήπεσιν ἢ καὶ ὀτῳοῦν τῶν παρὰ τὸ προσῆκον λεγομένων.

ΠΡΩ. Ὀρθῶς.

ΣΩ. Λέγε δή μοι· θαῦμα γὰρ ἐμέ γ' ἔχει διὰ τέλους ἀεὶ περὶ τὰ αὐτὰ ἃ νῦν δὴ προὐθέμεθα ἀπορήματα.

ΠΡΩ. Πῶς δὴ φῄς;

ΣΩ. Ψευδεῖς, αἱ δ' ἀληθεῖς οὐκ εἰσὶν ἡδοναί;

ΠΡΩ. Πῶς γὰρ ἄν;

ΣΩ. Οὔτε δὴ ὄναρ οὔθ' ὕπαρ, ὡς φῄς, ἔστιν, οὔτ' ἐν μανίαις οὔτ' ἐν παραφροσύναις οὐδεὶς ἔσθ' ὅς τίς ποτε δοκεῖ μὲν χαίρειν, χαίρει δὲ οὐδαμῶς, οὐδ' αὖ δοκεῖ μὲν λυπεῖσθαι, λυπεῖται δ' οὔ.

So. Quomodo etiam, o Protarche, timores veri vel falsi? aut exspectationes verae seu minime verae? aut opiniones verae vel falsae? *Pro.* Opiniones equidem confiterer: sed haec reliqua minime. *So.* Quid ais? disputationem tamen haud brevem inceptare videmur. *Pro.* Vera narras. *So.* At si praecedentibus sit conveniens, o viri illius fili, considerandum est. *Pro.* Istud forte. *So.* Omne igitur supervacuum, et quicquid praeter propositum est, dimittendum. *Pro.* Recte. *So.* Dic itaque. continua nempe me admiratio tenet semper circa eas, quas nunc induximus, quaestiones. *Pro.* Quo pacto inquis? *So.* An non sunt ex voluptatum numero falsae quaedam, aliae verae? *Pro.* Quomodo id fieri potest? *So.* Neque igitur revera falsove laetari aut tristari dicitur, ut tu ais: neque inter furentes et insanos invenitur aliquis, qui gaudere videatur, cum non gaudeat, aut dolere, quando non doleat.

ΠΡΩ. Πάνθ' οὕτω ταῦτ', ὦ Σώκρατες, ἔχειν πάντες ὑπειλήφαμεν.

ΣΩ. Ἆρ' οὖν ὀρθῶς, ἢ σκεπτέον εἴτ' ὀρθῶς εἴτε μὴ ταῦτα λέγεται;

ΠΡΩ. Σκεπτέον, ὡς γ' ἐγὼ φαίην ἄν.

ΣΩ. Διορισώμεθα δὴ σαφέστερον ἔτι τὸ νῦν δὴ 37
λεγόμενον ἡδονῆς τε πέρι καὶ δόξης. ἔστι γάρ πού τι δοξάζειν ἡμῖν;

ΠΡΩ. Ναί.

ΣΩ. Καὶ ἥδεσθαι;

ΠΡΩ. Ναί.

ΣΩ. Καὶ μὴν καὶ τὸ δοξαζόμενόν ἐστί τι;

ΠΡΩ. Πῶς δ' οὔ;

ΣΩ. Καὶ τό γε ᾧ τὸ ἡδόμενον ἥδεται;

ΠΡΩ. Καὶ πάνυ γε.

ΣΩ. Οὐκοῦν τὸ δοξάζον, ἄν τε ὀρθῶς ἄν τε μὴ ὀρθῶς δοξάζῃ, τό γε δοξάζειν ὄντως οὐδέποτε ἀπόλλυσιν.

ΠΡΩ. Πῶς γὰρ ἄν;

ΣΩ. Οὐκοῦν καὶ τὸ ἡδόμενον, ἄν τε ὀρθῶς ἄν τε μὴ ὀρθῶς ἥδηται, τό γε ὄντως ἥδεσθαι δῆλον ὡς οὐδέποτε ἀπολεῖ.

ΠΡΩ. Ναί, καὶ τοῦθ' οὕτως ἔχει.

ΣΩ. Τῷ ποτὲ οὖν δὴ τρόπῳ δόξα ψευδής τε καὶ ἀληθὴς ἡμῖν φιλεῖ γίγνεσθαι, τὸ δὲ τῆς ἡδονῆς μόνον

Pro. Haec omnia sic se habere, o Socrates, omnes admisimus. *So.* Num recte? an forte disserendum est, rectene, vel non, ista dicantur? *Pro.* Disserendum quidem mea sententia. *So.* Distinguamus igitur evidentius, quod modo de voluptate atque opinione dictum est. Estne aliquid apud homines opinari? *Pro.* Est. *So.* Et laetari? *Pro.* Et laetari. *So.* Quin et opinione conceptum aliquid est? *Pro.* Cur non? *So.* Et hoc quo gaudens gaudet? *Pro.* Et hoc. *So.* Qui opinatur, sive recte seu non recte opinetur, ipsum tamen quod revera est opinari, non perdit. *Pro.* Quo enim modo? *So.* Gaudens etiam, sive recte gaudeat sive non, ipsum tamen quod revera gaudere est, haud amittit. *Pro.* Immo et haec ita se habent. *So.* Quo igitur pacto opinio vera et falsa fit, voluptas solummodo vera: cum

ἀληθές, δοξάζειν δ' ὄντως καὶ χαίρειν ἀμφότερα ὁμοίως εἴληφεν;

ΠΡΩ. Σκεπτέον.

ΣΩ. Ἆρα ὅτι δόξῃ μὲν ἐπιγίγνεσθον ψεῦδός τε καὶ ἀληθές, καὶ ἐγένετο οὐ μόνον δόξα διὰ ταῦτα ἀλλὰ καὶ ὁποία τις ἑκατέρα, σκεπτέον φῂς τοῦτ' εἶναι;

ΠΡΩ. Ναί.

ΣΩ. Πρὸς δέ γε τούτοις, εἰ καὶ τὸ παράπαν ἡμῖν τὰ μέν ἐστι ποῖ' ἄττα, ἡδονὴ δὲ καὶ λύπη μόνον ἅπερ ἐστί, ποιώ τινε δὲ οὐ γίγνεσθον, καὶ ταῦθ' ἡμῖν ὁμολογητέον.

ΠΡΩ. Δῆλον.

ΣΩ. Ἀλλ' οὐδὲν τοῦτό γε χαλεπὸν ἰδεῖν ὅτι καὶ ποιώ τινε. πάλαι γὰρ εἴπομεν ὅτι μεγάλαι τε καὶ σμικραὶ καὶ σφόδρα ἑκάτεραι γίγνονται, λῦπαί τε καὶ ἡδοναί.

ΠΡΩ. Παντάπασι μὲν οὖν.

ΣΩ. Ἂν δέ γε πονηρία τούτων, ὦ Πρώταρχε, προσγίγνηταί τινι, πονηρὰν μὲν φήσομεν οὕτω γίγνεσθαι δόξαν, πονηρὰν δὲ καὶ ἡδονήν;

ΠΡΩ. Ἀλλὰ τί μήν, ὦ Σώκρατες;

ΣΩ. Τί δ', ἂν ὀρθότης ἢ τοὐναντίον ὀρθότητί τινι τούτων προσγίγνηται; μῶν οὐκ ὀρθὴν μὲν δόξαν ἐροῦμεν, ἂν ὀρθότητα ἴσχῃ; ταὐτὸν δὲ ἡδονήν;

ΠΡΩ. Ἀναγκαῖον.

tamen opinari vere atque laetari utraque similiter acceperint? *Pro.* Considerandum hoc est. *So.* Nunquid ex eo, quod opinioni verum et falsum indita sunt? nec solum ob haec opinio facta est, sed qualia quaedam opinio utraque? hocne considerandum inquis? *Pro.* Ita. *So.* Praeterea investigandum est, an voluptas et dolor ea ipsa duntaxat quae sunt permaneant, nunquam vero qualia quaedam efficiantur. *Pro.* Patet. *So.* Verum haudquaquam difficile est, quod qualia quaedam fiant, inspicere. iampridem concessimus, voluptates atque molestias, magnas et parvas, vehementes remissasque fieri. *Pro.* Concessimus. *So.* Quod si cui ex iis pravitas adiiciatur, pravam sic opinionem, pravam itidem voluptatem effici confitebimur. *Pro.* Quid prohibet? *So.* Quid si rectitudo, vel contrarium rectitudinis, horum cuiquam admoveatur, num rectam opinionem, quae rectitudinem subiit, ac voluptatem similiter appellabimus? *Pro.* Necessario sequitur.

ΣΩ. Ἂν δέ γε ἁμαρτανόμενον τὸ δοξαζόμενον ᾖ, τὴν δόξαν τότε ἁμαρτάνουσάν γε οὐκ ὀρθὴν ὁμολογητέον οὐδ' ὀρθῶς δοξάζουσαν;

ΠΡΩ. Πῶς γὰρ ἄν;

ΣΩ. Τί δ', ἂν αὖ λύπην ἤ τινα ἡδονὴν περὶ τὸ ἐφ' ᾧ λυπεῖται ἢ τοὐναντίον ἁμαρτάνουσαν ἐφορῶμεν, ὀρθὴν ἢ χρηστὴν ἤ τι τῶν καλῶν ὀνομάτων αὐτῇ προσθήσομεν;

ΠΡΩ. Ἀλλ' οὐχ οἷόν τε, εἴ περ ἁμαρτήσεταί γε ἡδονή.

ΣΩ. Καὶ μὴν ἔοικέ γε ἡδονὴ πολλάκις οὐ μετὰ δόξης ὀρθῆς ἀλλὰ μετὰ ψεύδους ἡμῖν γίγνεσθαι.

ΠΡΩ. Πῶς γὰρ οὔ; καὶ τὴν μὲν δόξαν γε, ὦ Σώκρατες, ἐν τῷ τοιούτῳ καὶ τότε ἐλέγομεν ψευδῆ, τὴν 58
δ' ἡδονὴν αὐτὴν οὐδεὶς ἄν ποτε προσείποι ψευδῆ.

ΣΩ. Ἀλλὰ προθύμως ἀμύνεις τῷ τῆς ἡδονῆς, ὦ Πρώταρχε, λόγῳ τὰ νῦν.

ΠΡΩ. Οὐδέν γε, ἀλλ' ἃ περ ἀκούω λέγω.

ΣΩ. Διαφέρει δ' ἡμῖν οὐδέν, ὦ ἑταῖρε, ἡ μετὰ δόξης τε ὀρθῆς καὶ μετ' ἐπιστήμης ἡδονὴ τῆς μετὰ τοῦ ψεύδους καὶ ἀγνοίας πολλάκις ἑκάστοις ἡμῶν ἐγγιγνομένης;

ΠΡΩ. Εἰκὸς γοῦν μὴ σμικρὸν διαφέρειν.

So. Et si quod opinione comprehenditur sit fallax, nonne opinionem falsam potius quam rectam vocabimus? *Pro.* Immo. *So.* Item si voluptatem vel dolorem circa id, quo gaudemus vel angimur, aberrare cernamus, num rectam aut bonam voluptatem dicemus, aut aliquo praeclaro nomine honorabimus? *Pro.* At id fieri nequit, si quidem voluptas ipsa delinquat. *So.* Verumtamen saepenumero nobis voluptas non ex opinione falsa exoritur. *Pro.* Procul dubio. attamen opinionem, o Socrates, eiuscemodi falsam dicimus: voluptatem vero ipsam nemo utique falsam denominaret. *So.* Prompte nimium, o Protarche, voluptatis rationem in praesentia tueris. *Pro.* Minime: verum quae audio, loquor. *So.* Nihilne, o amice, apud nos differt voluptas ab opinione recta scientiaque proficiscens, ab ea quae falsam opinionem et ignorantiam sequitur? *Pro.* Consentaneum est, haud brevi quodam intervallo distare.

ΣΩ. Τῆς δὴ διαφορᾶς αὐτοῖν ἐπὶ θεωρίαν ἔλθωμεν.

ΠΡΩ. Ἄγε ὅπῃ σοι φαίνεται.

ΣΩ. Τῇδε δὴ ἄγω;

ΠΡΩ. Πῇ;

ΣΩ. Δόξα, φαμέν, ἡμῖν ἔστι μὲν ψευδής, ἔστι δὲ καὶ ἀληθής;

ΠΡΩ. Ἔστιν.

ΣΩ. Ἕπεται μὴν ταύταις, ὃ νῦν δὴ ἐλέγομεν, ἡδονὴ καὶ λύπη πολλάκις, ἀληθεῖ καὶ ψευδεῖ δόξῃ λέγω.

ΠΡΩ. Πάνυ γε.

ΣΩ. Οὐκοῦν ἐκ μνήμης τε καὶ αἰσθήσεως δόξα ἡμῖν καὶ τὸ διαδοξάζειν ἐγχειρεῖν γίγνεσθ' ἑκάστοτε;

ΠΡΩ. Καὶ μάλα.

ΣΩ. Ἆρ' οὖν ἡμᾶς ὧδε περὶ ταῦτα ἀναγκαῖον ἡγούμεθα ἴσχειν;

ΠΡΩ. Πῶς;

ΣΩ. Πολλάκις ἰδόντι τινὶ πόρρωθεν μὴ πάνυ σαφῶς τὰ καθορώμενα ξυμβαίνειν βούλεσθαι κρίνειν φαίης ἂν ταῦθ' ἃ περ ὁρᾷ;

ΠΡΩ. Φαίην ἄν.

ΣΩ. Οὐκοῦν τὸ μετὰ τοῦτο αὐτὸς αὑτὸν οὕτος ἀνέροιτ' ἂν ὧδε.

ΠΡΩ. Πῶς;

ΣΩ. Τί ποτ' ἄρ' ἔστι τὸ παρὰ τὴν πέτραν τοῦθ' ἑστάναι φανταζόμενον ὑπό τινι δένδρῳ; Ταῦτ' εἰπεῖν ἄν

So. Verum ad hanc ipsam distantiam perscrutandam deveniamus. *Pro.* Duc age, qua lubet. *So.* Ecce hac te duco. *Pro.* Quanam? *So.* Opinio quaedam vera est, quaedam falsa. *Pro.* Est. *So.* Has saepenumero voluptas dolorque sequitur. *Pro.* Sequitur. *So.* An non ex sensu ac memoria in nobis opinio nascitur, fitque ut opinione pro arbitrio disseramus? *Pro.* Praecipue. *So.* Nonne sic circa ista nos habere putandum? *Pro.* Quomodo? *So.* Faterisne, nonnunquam hominem procul aliqua confuse prospicientem, velle clarius obiecta discernere? *Pro.* Fateor equidem. *So.* Is igitur sic a se ipso quodammodo sciscitabitur. *Pro.* Quo pacto inquis? *So.* Quidnam illud est, quod iuxta saxum sub arbore procul apparet? An haec ille proferre

τις πρὸς ἑαυτὸν δοκεῖ σοι, τοιαῦτ' ἄττα κατιδὼν φαντασθέντα ἑαυτῷ ποτέ;

ΠΡΩ. Τί μήν;

ΣΩ. Ἆρ' οὖν μετὰ ταῦθ' ὁ τοιοῦτος ὡς ἀποκρινόμενος ἂν πρὸς αὑτὸν εἴποι τοῦτο, ὡς ἔστιν ἄνθρωπος, ἐπιτυχῶς εἰπών;

ΠΡΩ. Καὶ πάνυ γε.

ΣΩ. Καὶ παρενεχθείς γ' αὖ τάχ' ἂν ὡς ἔστι τινῶν ποιμένων ἔργον τὸ καθορώμενον ἀγαλμα προσείποι.

ΠΡΩ. Μάλα γε.

ΣΩ. Κἂν μέν τίς γ' αὐτῷ παρῇ, τά τε πρὸς αὑτὸν ῥηθέντα ἐντείνας εἰς φωνὴν πρὸς τὸν παρόντ' αὐτὰ ταῦτ' ἂν πάλιν φθέγξαιτο, καὶ λόγος δὴ γέγονεν οὕτως ὃ τότε δόξαν ἐκαλοῦμεν;

ΠΡΩ. Τί μήν;

ΣΩ. Ἂν δ' ἄρα μόνος ᾖ τοῦτο ταὐτὸν πρὸς αὑτὸν διανοούμενος, ἐνίοτε καὶ πλείω χρόνον ἔχων ἐν αὑτῷ πορεύεται.

ΠΡΩ. Πάνυ μὲν οὖν.

ΣΩ. Τί οὖν; ἆρα σοὶ φαίνεται τὸ περὶ τούτων γιγνόμενον ὅ περ ἐμοί;

ΠΡΩ. Τὸ ποῖον;

ΣΩ. Δοκεῖ μοι τότε ἡμῶν ἡ ψυχὴ βιβλίῳ τινὶ προσεοικέναι.

ΠΡΩ. Πῶς;

secum tibi videtur, dum eiusmodi quaedam aspicit, cuiusmodi sibi quandoque apparuerunt? *Pro.* Quidni? *So.* Deinde, veluti sibi ipsi respondens, Homo ille est, inquit, id quasi veritatem assecutus. *Pro.* Nimium. *So.* Rursus forte mutata sententia opus quoddam a pastoribus fabricatum esse asserit. *Pro.* Maxime. *So.* Hic, si quis illi adsit, quae animo secum ipse volverat in vocem fundens, eadem rursus praesenti diceret: ac sermo tunc fieret, quod ante opinionem vocavimus. *Pro.* Manifestum. *So.* At si solus sit, hoc idem secum ipse repetens, quanquam longum tempus servans in se ipso procedit. *Pro.* Prorsus. *So.* Quid ergo? idem ipse in iis, quae et ego, sentis? *Pro.* Quid istud? *So.* Videtur mihi tunc hominis anima libri cuiusdam persimilis. *Pro.*

39 ΣΩ. Ἡ μνήμη ταῖς αἰσθήσεσι ξυμπίπτουσα εἰς ταὐτόν, κἀκεῖνα ἃ περὶ ταῦτά ἐστι τὰ παθήματα, φαίνονταί μοι σχεδὸν οἷον γράφειν ἡμῶν ἐν ταῖς ψυχαῖς τότε λόγους· καὶ ὅταν μὲν ἀληθῆ γράψῃ, τοῦτο τὸ πάθημα δόξα τε ἀληθὴς καὶ λόγοι ἀπ' αὐτοῦ ξυμβαίνουσιν ἀληθεῖς ἐν ἡμῖν γιγνόμενοι· ψευδῆ δ' ὅταν ὁ τοιοῦτος παρ' ἡμῖν γραμματεὺς γράψῃ, τἀναντία τοῖς ἀληθέσιν ἀπέβη.

ΠΡΩ. Πάνυ μὲν οὖν δοκεῖ μοι, καὶ ἀποδέχομαι τὰ ῥηθέντα οὕτως.

ΣΩ. Ἀποδέχου δὴ καὶ ἕτερον δημιουργὸν ἡμῶν ἐν ταῖς ψυχαῖς ἐν τῷ τότε χρόνῳ γιγνόμενον.

ΠΡΩ. Τίνα;

ΣΩ. Ζωγράφον, ὃς μετὰ τὸν γραμματιστὴν τῶν λεγομένων εἰκόνας ἐν τῇ ψυχῇ τούτων γράφει.

ΠΡΩ. Πῶς δὴ τοῦτον αὖ καὶ πότε λέγομεν;

ΣΩ. Ὅταν ἀπ' ὄψεως ἢ τινος ἄλλης αἰσθήσεως τὰ τότε δοξαζόμενα καὶ λεγόμενα ἀπαγαγών τις τὰς τῶν δοξασθέντων καὶ λεχθέντων εἰκόνας ἐν αὑτῷ ὁρᾷ πως. ἢ τοῦτο οὐκ ἔστι γιγνόμενον παρ' ἡμῖν;

ΠΡΩ. Σφόδρα μὲν οὖν.

ΣΩ. Οὐκοῦν αἱ μὲν τῶν ἀληθῶν δοξῶν καὶ λόγων εἰκόνες ἀληθεῖς, αἱ δὲ τῶν ψευδῶν ψευδεῖς;

ΠΡΩ. Παντάπασιν.

So. Memoria in idem cum sensibus incidens, et illae quae circa ista passiones sunt, verba quaedam in anima quodammodo inscribere mihi videntur: cumque vera conscribunt, passionem huiusmodi veram opinionem dicimus, et orationes in nobis verae ab hoc ipso proficiscuntur: at cum scriba hic noster falsa resignat, contraria veris eveniunt. *Pro.* Omnino ita mihi videtur, et ea quae dicta sunt, libenter accipio. *So.* Accipe alium eorum, quae tunc fiunt in animis nostris, opificem. *Pro.* Quem? *So.* Pictorem, qui post ipsum scriptorem dictorum imagines in anima pingit. *Pro.* Quomodo hunc, et quando id agere dicendum? *So.* Quando ab aspectu sive alio sensu dicta et opinione percepta quis educens, dictorum et opinione perceptorum imagines in se ipso quodammodo contuetur. an hoc in nobis efficitur? *Pro.* Vehementer. *So.* Nonne verarum opinionum sermonumque imagines verae; falsae vero falsarum? *Pro.* Omnino.

ΣΩ. Εἰ δὴ ταῦτ' ὀρθῶς εἰρήκαμεν, ἔτι καὶ τόδε ἐπὶ τούτοις σκεψώμεθα.

ΠΡΩ. Τὸ ποῖον;

ΣΩ. Εἰ περὶ μὲν τῶν ὄντων καὶ τῶν γεγονότων ταῦθ' ἡμῖν οὕτω πάσχειν ἀναγκαῖον, περὶ δὲ τῶν μελλόντων οὔ.

ΠΡΩ. Περὶ ἁπάντων μὲν οὖν τῶν χρόνων ὡσαύτως.

ΣΩ. Οὐκοῦν αἵ γε διὰ τῆς ψυχῆς αὐτῆς ἡδοναὶ καὶ λῦπαι ἐλέχθησαν ἐν τοῖς πρόσθεν ὡς πρὸ τῶν διὰ τοῦ σώματος ἡδονῶν καὶ λυπῶν προγίγνοιντ' ἄν, ὥσθ' ἡμῖν ξυμβαίνει τὸ προχαίρειν τε καὶ τὸ προλυπεῖσθαι περὶ τὸν μέλλοντα χρόνον εἶναι γιγνόμενον;

ΠΡΩ. Ἀληθέστατα.

ΣΩ. Πότερον οὖν τὰ γράμματά τε καὶ ζωγραφήματα, ἃ σμικρῷ πρότερον ἐτίθεμεν ἐν ἡμῖν γίγνεσθαι, περὶ μὲν τὸν γεγονότα καὶ τὸν παρόντα χρόνον ἐστί, περὶ δὲ τὸν μέλλοντα οὐκ ἔστιν;

ΠΡΩ. Σφόδρα γε.

ΣΩ. Ἆρα σφόδρα λέγεις, ὅτι πάντ' ἐστὶ ταῦτ' ἐλπίδες εἰς τὸν ἔπειτα χρόνον οὖσαι, ἡμεῖς δ' αὖ διὰ παντὸς τοῦ βίου ἀεὶ γέμομεν ἐλπίδων;

ΠΡΩ. Παντάπασι μὲν οὖν.

ΣΩ. Ἄγε δή, πρὸς τοῖς νῦν εἰρημένοις καὶ τόδε ἀπόκριναι.

ΠΡΩ. Τὸ ποῖον;

So. Si modo recte haec diximus, hoc in iis praeterea cogitemus. *Pro.* Quid istud? *So.* Utrum circa praesentia atque praeterita hoc nobis accidere necesse sit, circa futura nequaquam? *Pro.* Eadem ratione circa tempora omnia. *So.* Nonne voluptates atque molestiae ipsius animae propriae in superioribus dictae sunt voluptates et dolores corporis antecedere? propterea que et praegaudere et praedolere nos ob futura contingit? *Pro.* Vera narras. *So.* Utrum inscriptiones atque picturae, quas paulo ante nobis imprimi volebamus, ad praesens praeteritumve respiciunt, ad posterum minime? *Pro.* Ad omnia. *So.* Num iccirco iis assentiris, quod haec omnia spes quaedam ad futurum tempus exsistunt, nosque per omnem vitam perpetua spe nutrimur? *Pro.* Prorsus. *So.* Age ad hoc praeter illa responde? *Pro.* Quid rogas?

ΣΩ. Δίκαιος ἀνὴρ καὶ εὐσεβὴς καὶ ἀγαθὸς πάντως ἄρ' οὐ θεοφιλής ἐστιν;

ΠΡΩ. Τί μήν;

ΣΩ. Τί δαί; ἄδικός τε καὶ παντάπασι πακὸς ἆρ' οὐ τοὐναντίον ἐκείνῳ;

ΠΡΩ. Πῶς δ' οὔ;

ΣΩ. Πολλῶν μὴν ἐλπίδων, ὡς ἐλέγομεν ἄρτι, πᾶς ἄνθρωπος γέμει;

ΠΡΩ. Τί δ' οὔ;

ΣΩ. Λόγοι μήν εἰσιν ἐν ἑκάστοις ἡμῶν, ἃς ἐλπίδας ὀνομάζομεν;

ΠΡΩ. Ναί.

ΣΩ. Καὶ δὴ καὶ τὰ φαντάσματα ἐζωγραφημένα, καί τις ὁρᾷ πολλάκις ἑαυτῷ χρυσὸν γιγνόμενον ἄφθονον καὶ ἐπ' αὐτῷ πολλὰς ἡδονάς· καὶ δὴ καὶ ἐνεζωγραφημένον αὐτὸν ἐφ' ἑαυτῷ χαίροντα σφόδρα καθορᾷ.

ΠΡΩ. Τί δ' οὔ;

ΣΩ. Τούτων οὖν πότερα φῶμεν τοῖς μὲν ἀγαθοῖς ὡς τὸ πολὺ τὰ γεγραμμένα παρατίθεσθαι ἀληθῆ διὰ τὸ θεοφιλεῖς εἶναι, τοῖς δὲ πακοῖς ὡς αὖ πολὺ τοὐναντίον, ἢ μὴ φῶμεν;

ΠΡΩ. Καὶ μάλα φατέον.

ΣΩ. Οὐκοῦν καὶ τοῖς πακοῖς ἡδοναί γε οὐδὲν ἧττον πάρεισιν ἐζωγραφημέναι, ψευδεῖς δὲ αὗται που.

ΠΡΩ. Τί μήν;

So. Vir iustus et pius et probus nonne Deo amicus est? *Pr* Quidni? *So.* Iniustus et improbus contra se habet? *Pro.* Co ira. *So.* Plurima tamen, ut dicebamus, unusquisque spe d citur. *Pro.* Sane. *So.* Sermones sunt in unoquoque nostru quas spes nominamus? *Pro.* Insunt. *So.* Quin etiam ph tasmata picta. nam cuique licet fingere, se cumulum auri i ximum possidere, oblectamentisque variis abundantem o suavitate perfundi. *Pro.* Nil prohibet. *So.* Num di dum, interna haec scripta bonis viris, quia Deo amici vera saepe evadere: malis saepenumero contra? *Pro.* cendum certe. *So.* Et malis viris oblectationes nihilominu sunt saepe confictae, ac denique falsae. *Pro.* Quidni ad

ΣΩ. Ψευδέσιν ἄρ' ἡδοναῖς τὰ πολλὰ οἱ πονηροὶ χαίρουσιν, οἱ δ' ἀγαθοὶ τῶν ἀνθρώπων ἀληθέσιν.

ΠΡΩ. Ἀναγκαιότατα λέγεις.

ΣΩ. Εἰσὶ δὴ κατὰ τοὺς νῦν λόγους ψευδεῖς ἐν ταῖς τῶν ἀνθρώπων ψυχαῖς ἡδοναί, μεμιμημέναι μέντοι τὰς ἀληθεῖς ἐπὶ τὰ γελοιότερα· καὶ λῦπαι δὲ ὡσαύτως.

ΠΡΩ. Εἰσίν.

ΣΩ. Οὐκοῦν ἦν δοξάζειν μὲν ὄντως ἀεὶ τῷ τὸ παράπαν δοξάζοντι, μὴ ἐπ' οὔσι δὲ μηδὲ ἐπὶ γεγονόσι μηδ' ἐπ' ἐσομένοις ἐνίοτε.

ΠΡΩ. Πάνυ γε.

ΣΩ. Καὶ ταῦτά γε ἦν, οἶμαι, τὰ ἀπεργαζόμενα δόξαν ψευδῆ τότε καὶ τὸ ψευδῶς δοξάζειν. ἦ γάρ;

ΠΡΩ. Ναί.

ΣΩ. Τί οὖν; οὐκ ἀνταποδοτέον ταῖς λύπαις τε καὶ ἡδοναῖς τὴν τούτων ἀντίστροφον ἕξιν ἐν ἐκείνοις;

ΠΡΩ. Πῶς;

ΣΩ. Ὡς ἦν μὲν χαίρειν ὄντως ἀεὶ τῷ τὸ παράπαν ὀπωσοῦν καὶ εἰκῇ χαίροντι, μὴ μέντοι ἐπὶ τοῖς οὖσι μηδ' ἐπὶ τοῖς γεγονόσιν ἐνίοτε, πολλάκις δὲ καὶ ἴσως πλειστάκις ἐπὶ τοῖς μηδὲ μέλλουσί ποτε γενήσεσθαι.

ΠΡΩ. Καὶ ταῦθ' οὕτως ἀναγκαῖον, ὦ Σώκρατες, ἔχειν.

ΣΩ. Οὐκοῦν ὁ αὐτὸς λόγος ἂν εἴη περὶ φόβων τε

So. Falsis igitur voluptatibus pravi ut plurimum gestiunt: boni homines veris aluntur. *Pro.* Necessarium penitus. *So.* Insunt ergo secundum hanc rationem falsae quaedam animis hominum voluptates, imitantes tamen veras, nimiumve ridiculae: ac dolores eodem pacto. *Pro.* Insunt utique. *So.* An licebat sic opinanti omnino, quae nec fuerunt nec sunt nec erunt, in se ipso formare? *Pro.* Licebat. *So.* Atque haec erant, quae tunc opinionem falsam et opinari falso efficiebant. an non? *Pro.* Erant. *So.* Nonne in illis reddendus est habitus aliquis voluptatibus molestiisque contra respondens? *Pro.* Quomodo? *So.* Quod licebat alicui revera laetari, quoquo modo vel temere gestienti, non tamen iis quae sunt aut ante fuerunt: plerumque etiam laetari in iis, quae nunquam evenient. *Pro.* Haec quoque, o Socrates, necessaria sunt. *So.* Et eadem ratio de timoribus et cupidini-

καὶ θυμῶν καὶ πάντων τῶν τοιούτων, ὡς ἔστι καὶ ψευδῆ πάντα τὰ τοιαῦτα ἐνίοτε;

ΠΡΩ. Πάνυ μὲν οὖν.

ΣΩ. Τί δαί; πονηρὰς δόξας καὶ χρηστὰς ἄλλως ἢ ψευδεῖς γιγνομένας ἔχομεν εἰπεῖν;

ΠΡΩ. Οὐκ ἄλλως.

ΣΩ. Οὐδ' ἡδονάς γ', οἶμαι, κατανοοῦμεν ὡς ἄλ-
41 λον τινὰ τρόπον εἰσὶ πονηραὶ πλὴν τῷ ψευδεῖς εἶναι.

ΠΡΩ. Πάνυ μὲν οὖν τοὐναντίον, ὦ Σώκρατες, εἴρηκας. σχεδὸν γὰρ τῷ ψεύδει μὲν οὐ πάνυ πονηρὰς ἄν τις λύπας τε καὶ ἡδονὰς θείη, μεγάλῃ δὲ ἄλλῃ καὶ πολλῇ συμπιπτούσας πονηρίᾳ.

ΣΩ. Τὰς μὲν τοίνυν πονηρὰς ἡδονὰς καὶ διὰ πονηρίαν οὔσας τοιαύτας ὀλίγον ὕστερον ἐροῦμεν, ἂν ἔτι δοκῇ νῷν· τὰς δὲ ψευδεῖς ἔτι κατ' ἄλλον τρόπον ἐν ἡμῖν πολλὰς καὶ πολλάκις ἐνούσας τε καὶ ἐγγιγνομένας λεκτέον. τούτῳ γὰρ ἴσως χρησόμεθα πρὸς τὰς κρίσεις.

ΠΡΩ. Πῶς γὰρ οὔκ; εἴ πέρ γε εἰσίν.

ΣΩ. Ἀλλ', ὦ Πρώταρχε, εἰσὶ κατά γε τὴν ἐμήν. τοῦτο δὲ τὸ δόγμα ἕως ἂν κῆται παρ' ἡμῖν, ἀδύνα-
5 τον ἀνέλεγκτον δή που γίγνεσθαι.

ΠΡΩ. Καλῶς.

ΣΩ. Προσιστώμεθα δὴ καθά περ ἀθληταὶ πρὸς τοῦτον αὖ τὸν λόγον.

bus, ceterisque huiusmodi, saepe scilicet illa falsa exsistere. *Pro.* Eadem profecto. *So.* Num opiniones ob aliud bonas vel pravas, quam quod verae vel falsae sint, appellamus? *Pro.* Ob hoc ipsum. *So.* Nec voluptates malas ob aliud, quam quia falsae? *Pro.* Omnino, o Socrates, contrarium protulisti. forte enim ob falsum solum voluptates et molestias valde malas esse haudquaquam asserere decet, in maximam ac multiplicem pravitatem inter incidentes. *So.* Malas utique voluptates, et propter pravitatem tales, paulo post, si placuerit, referemus: falsas autem in per alio modo, tum saepe tum multas in nobis et esse et ri dicendum est. hoc enim ad iudicandum fortasse nobis c fert. *Pro.* Quidni? modo sint. *So.* Atqui, o Protarche, ut fert opinio, sunt. Haec autem sententia, quamdiu apud manet, a redargutione procul esse impossibile est. *Pro.* Pr *So.* Aggrediamur iterum athletarum more hanc disputatio

ΠΡΩ. Ἴωμεν.

ΣΩ. Ἀλλὰ μὴν εἴπομεν, εἴ περ μεμνήμεθα, ὀλίγον ἐν τοῖς πρόσθεν, ὡς ὅταν αἱ λεγόμεναι ἐπιθυμίαι ἐν ἡμῖν ὦσι, δίχα ἄρα τότε τὸ σῶμα καὶ χωρὶς τῆς ψυχῆς τοῖς παθήμασι διείληπται.

ΠΡΩ. Μεμνήμεθα, καὶ προερρήθη ταῦτα.

ΣΩ. Οὐκοῦν τὸ μὲν ἐπιθυμοῦν ἦν ἡ ψυχὴ τῶν τοῦ σώματος ἐναντίων ἕξεων, τὸ δὲ τὴν ἀλγηδόνα ἢ τινα διὰ πάθος ἡδονὴν τὸ σῶμα ἦν τὸ παρεχόμενον;

ΠΡΩ. Ἦν γὰρ οὖν.

ΣΩ. Συλλογίζου δὴ τὸ γιγνόμενον ἐν τούτοις.

ΠΡΩ. Λέγε.

ΣΩ. Γίγνεται τοίνυν, ὁπόταν ᾖ ταῦθ', ἅμα παρακεῖσθαι λύπας τε καὶ ἡδονάς, καὶ τούτων αἰσθήσεις ἅμα παρ' ἀλλήλας ἐναντίων οὐσῶν γίγνεσθαι, ὃ καὶ νῦν δὴ ἐφάνη.

ΠΡΩ. Φαίνεται γοῦν.

ΣΩ. Οὐκοῦν καὶ τόδε εἴρηται καὶ συνωμολογημένον ἡμῖν ἔμπροσθε κεῖται;

ΠΡΩ. Τὸ ποῖον;

ΣΩ. Ὡς τὸ μᾶλλόν τε καὶ ἧττον ἄμφω τούτω δέχεσθον, λύπη τε καὶ ἡδονή, καὶ ὅτι τῶν ἀπείρων εἴτην.

ΠΡΩ. Εἴρηται· τί μήν;

ΣΩ. Τίς οὖν μηχανὴ ταῦτ' ὀρθῶς κρίνεσθαι;

Pro. Aggrediamur. *So.* In superioribus diximus, siquidem meminerimus, quando cupiditates divisim nobis inessent, tunc corpus passionibus ab anima discrepare. *Pro.* Recordamur, dictaque haec procul dubio sunt. *So.* Nonne cupiebat anima contrarium corporis habitum? receptaculum autem doloris et voluptatis, quae passione fit, erat corpus? *Pro.* Erat. *So.* Collige quod ex his sequitur. *Pro.* Dic. *So.* Quotiens ista concurrunt, congrediuntur quoque voluptates atque dolores, eorumque sensus, quae contraria sunt: quod profecto nunc patuit. *Pro.* Apparet. *So.* Hoc quoque nonne inter nos convenit? *Pro.* Quidnam? *So.* Utrumque magis minusve suscipere, voluptatem pariter atque dolorem, et ad genus infiniti referri? *Pro.* Convenit certe. *So.* Quaedam igitur coniectura horum recte iudicandorum nobis adest.

ΠΡΩ. Ποῖα δὴ καὶ πῶς;

ΣΩ. Εἰ τὸ βούλημα ἡμῖν τῆς κρίσεως τούτων ἐν τοιούτοις τισὶ διαγνῶναι βούλεται ἑκάστοτε, τίς τούτων πρὸς ἀλλήλας μείζων καὶ τίς ἐλάττων καὶ τίς μᾶλλον καὶ τίς σφοδροτέρα, λύπη τε πρὸς ἡδονὴν καὶ λύπη πρὸς λύπην καὶ ἡδονὴ πρὸς ἡδονήν.

ΠΡΩ. Ἀλλ' ἔστι ταῦτά τε τοιαῦτα καὶ ἡ βούλησις τῆς κρίσεως αὕτη.

ΣΩ. Τί οὖν; ἐν μὲν ὄψει τὸ πόρρωθεν καὶ ἐγ-
42 γύθεν ὁρᾶν τὰ μεγέθη τὴν ἀλήθειαν ἀφανίζει καὶ ψευ- 10
δῆ ποιεῖ δοξάζειν, ἐν λύπαις δ' ἆρα καὶ ἡδοναῖς οὐκ ἔστι ταὐτὸν τοῦτο γιγνόμενον;

ΠΡΩ. Πολὺ μὲν οὖν μᾶλλον, ὦ Σώκρατες.

ΣΩ. Ἐναντίον δὴ τὸ νῦν τῷ σμικρὸν ἔμπροσθε γέγονεν.

ΠΡΩ. Τὸ ποῖον λέγεις;

ΣΩ. Τότε μὲν αἱ δόξαι ψευδεῖς τε καὶ ἀληθεῖς αὐταὶ γιγνόμεναι τὰς λύπας τε καὶ ἡδονὰς ἅμα τοῦ παρ' αὐταῖς παθήματος ἀνεπίμπλασαν.

ΠΡΩ. Ἀληθέστατα. 20

ΣΩ. Νῦν δέ γε αὐταὶ διὰ τὸ πόρρωθέν τε καὶ ἐγγύθεν ἑκάστοτε μεταβαλλόμεναι θεωρεῖσθαι, καὶ ἅμα τιθέμεναι παρ' ἀλλήλας, αἱ μὲν ἡδοναὶ παρὰ τὸ λυ-

Pro. Ubinam, et quomodo? *So.* Nonne propositum in hoc iudicio nobis est, passim dignoscere, quaenam ex iis maior, quae minor, quae magis, quae intensior, voluptas scilicet ad molestiam, et ad molestiam molestia, ac voluptas iterum ad voluptatem? *Pro.* Haec quidem talia sunt, et istud iudicii nostri propositum. *So.* Quid vero? in aspectu, eminus aut cominus magnitudines inspicere, veritatem obscurat, falsaque opinari compellit: in doloribus autem et voluptatibus idem minime fit? *Pro.* Multo magis, o Socrates. *So.* Id utique, illi quod paulo ante narratum fuit, contrarium est. *Pro.* Quid ais? *So.* Tunc enim opiniones hae, falsae ac verae effectae, dolores una et voluptates passione sua prorsus implebant. *Pro.* Vera narras. *So.* Nunc autem hae ex eo quod passim transmutari eminus et cominus videantur, et ad se invicem comparentur, voluptates qui-

πηρὸν μείζους φαίνονται καὶ σφοδρότεραι, λῦπαι δ' αὖ διὰ τὸ παρ' ἡδονὰς τοὐναντίον ἐκείναις.

ΠΡΩ. Ἀνάγκη γίγνεσθαι τὰ τοιαῦτα διὰ ταῦτα.

ΣΩ. Οὐκοῦν ὅσῳ μείζους τῶν οὐσῶν ἑκάτεραι καὶ ἐλάττους φαίνονται, τοῦτο ἀποτεμόμενος ἑκατέρων τὸ φαινόμενον ἀλλ' οὐκ ὂν οὔτε αὐτὸ ὀρθῶς φαινόμενον ἐρεῖς, οὐδ' αὖ ποτὲ τὸ ἐπὶ τούτῳ μέρος τῆς ἡδονῆς καὶ λύπης γιγνόμενον ὀρθόν τε καὶ ἀληθὲς τολμήσεις λέγειν.

ΠΡΩ. Οὐ γὰρ οὖν.

ΣΩ. Τούτων τοίνυν ἑξῆς ὀψόμεθα, ἐὰν τῇδε ἀπαντῶμεν, ἡδονὰς καὶ λύπας ψευδεῖς ἔτι μᾶλλον ἢ ταύτας φαινομένας τε καὶ οὔσας ἐν τοῖς ζώοις.

ΠΡΩ. Ποίας δὴ καὶ πῶς λέγεις;

ΣΩ. Εἴρηταί που πολλάκις ὅτι τῆς φύσεως ἑκάστων διαφθειρομένης μὲν συγκρίσεσι καὶ διακρίσεσι καὶ πληρώσεσι καὶ κενώσεσι καί τισιν αὐξαις καὶ φθίσεσι λῦπαί τε καὶ ἀλγηδόνες καὶ ὀδύναι καὶ πάνθ', ὁπόσα τοιαῦτ' ὀνόματ' ἔχει, ξυμβαίνει γιγνόμενα.

ΠΡΩ. Ναί, ταῦτ' εἴρηται πολλάκις.

ΣΩ. Εἰς δέ γε τὴν αὐτῶν φύσιν ὅταν καθιστῆται, ταύτην αὖ τὴν κατάστασιν ἡδονὴν ἀπεδεξάμεθα παρ' ἡμῶν αὐτῶν.

dem ad dolores, maiores vehementioresque videntur, et dolores rursus ad voluptates contra. *Pro.* Talia quaedam necesse est ob eas causas fieri. *So.* Quod si quanto utraque maiora vel minora quam revera sint, apparent, tantundem ipse ademeris, nonne id, quod cum appareat quidem utrumque, non tamen sit, neque recte apparere dices, neque unquam eiusmodi voluptatis vel molestiae portiones rectas aut veras audebis asserere? *Pro.* Sic est. *So.* Post haec igitur inspiciamus, num hac ratione in medium afferamus voluptates atque molestias falsas multo magis, quam istae sint, quae et apparent in viventibus, et exsistunt. *Pro.* Quales dicis, et quomodo? *So.* Dictum est saepenumero, quod quorumlibet natura corrupta concretionibus sive discretionibus, repletionibus vel evacuationibus, incrementis quibusdam vel decrementis, dolores, molestiae, cruciatus ceteraque id genus exoriuntur. *Pro.* Saepe iam dictum. *So.* At cum in naturam suam restituuntur, restitutionem talem voluptatem circa nos posuimus.

ΠΡΩ. Ὀρθῶς.

ΣΩ. Τί δ', ὅταν περὶ τὸ σῶμα μηδὲν τούτων γιγνόμενον ἡμῶν ᾖ;

ΠΡΩ. Πότε δὲ τοῦτ' ἂν γένοιτ', ὦ Σώκρατες;

ΣΩ. Οὐδὲν πρὸς λόγον ἐστίν, ὦ Πρώταρχε, ὃ σὺ νῦν ἤρου τὸ ἐρώτημα.

ΠΡΩ. Τί δή;

ΣΩ. Διότι τὴν ἐμὴν ἐρώτησιν οὐ κωλύει ἐμὲ διερέσθαι σε πάλιν.

ΠΡΩ. Ποίαν;

ΣΩ. Εἰ δ' οὖν μὴ γίγνοιτ', ὦ Πρώταρχε, φήσω, τὸ τοιοῦτον, τί ποτε ἀναγκαῖον ἐξ αὐτοῦ συμβαίνειν ἡμῖν;

ΠΡΩ. Μὴ κινουμένου τοῦ σώματος ἐφ' ἑκάτερα φῄς;

ΣΩ. Οὕτως.

ΠΡΩ. Δῆλον δὴ τοῦτό γε, ὦ Σώκρατες, ὡς οὔτε
43 ἡδονὴ γίγνοιτ' ἂν ἐν τῷ τοιούτῳ ποτὲ οὔτ' ἄν τις λύπη.

ΣΩ. Κάλλιστ' εἶπες. ἀλλὰ γάρ, οἶμαι, τόδε λέγεις, ὡς ἀεί τι τούτων ἀναγκαῖον ἡμῖν ξυμβαίνειν, ὡς οἱ σοφοί φασιν· ἀεὶ γὰρ ἅπαντα ἄνω τε καὶ κάτω ῥεῖ.

ΠΡΩ. Λέγουσι γὰρ οὖν, καὶ δοκοῦσί γε οὐ φαύλως λέγειν.

ΣΩ. Πῶς γὰρ ἂν μὴ φαῦλοί γε ὄντες; ἀλλὰ γὰρ ὑπεκστῆναι τὸν λόγον ἐπιφερόμενον τοῦτον βούλομαι. τῇδ' οὖν διανοοῦμαι φεύγειν, καὶ σύ μοι ξύμφευγε.

Pro. Probe. *So.* Quid autem, cum circa nostrum corpus horum nihil accidit? *Pro.* At quando id contingit, o Socrates? *So.* Nihil ad rem, o Protarche, ista tua petitio. *Pro.* Curnam? *So.* Quia nihil impedies me, quod ante rogaveram, rursus interrogare. *Pro.* Quid illud? *So.* Nisi fiat, o Protarche, tale quid dicam, quid necesse est ex hoc nobis contingere? *Pro.* An id dicis, videlicet corpore in neutram partem exagitato? *So.* Id ipsum. *Pro.* Constat, o Socrates, neque voluptatem neque dolorem eo ipso in tempore percipi. *So.* Recte nimium respondisti. Verum, ut arbitror, id sentis, quod necesse sit ex iis unum aliquid semper nobis accidere, quemadmodum sapientes tradunt. cuncta quippe sursum deorsumve iugiter fluunt. *Pro.* Ferunt sane, nec male loqui videntur. *So.* Quomodo enim male? cum mali minime fuerint. Verum impendentem sermonem evitare volo. hac autem fugere cogito: tuque una mecum fugito.

ΠΡΩ. Λέγ' ὅπῃ.

ΣΩ. Ταῦτα μὲν τοίνυν οὕτως ἔστω, φῶμεν πρὸς τούτους, σὺ δ' ἀπόκριναι· πότερον ἀεὶ πάνθ' ὁπόσα πάσχει τι τῶν ἐμψύχων, ταῦτ' αἰσθάνεται τὸ πάσχον, καὶ οὔτ' αὐξανόμενοι λανθάνομεν ἡμᾶς αὐτοὺς οὔ τέ τι τῶν τοιούτων οὐδὲν πάσχοντες, ἢ πᾶν τοὐναντίον; ὀλίγου γὰρ τά γε τοιαῦτα λέληθε πάνθ' ἡμᾶς;

ΠΡΩ. Ἅπαν δή που τοὐναντίον.

ΣΩ. Οὐ τοίνυν καλῶς ἡμῖν εἴρηται τὸ νῦν δὴ ῥηθέν, ὡς αἱ μεταβολαὶ κάτω τε καὶ ἄνω γιγνόμεναι λύπας τε καὶ ἡδονὰς ἀπεργάζονται.

ΠΡΩ. Τί μήν;

ΣΩ. Ὧδ' ἔσται κάλλιον καὶ ἀνεπιληπτότερον τὸ λεγόμενον.

ΠΡΩ. Πῶς;

ΣΩ. Ὡς αἱ μὲν μεγάλαι μεταβολαὶ λύπας τε καὶ ἡδονὰς ποιοῦσιν ἡμῖν, αἱ δ' αὖ μέτριαί τε καὶ σμικραὶ τὸ παράπαν οὐδέτερα τούτων.

ΠΡΩ. Ὀρθότερον οὕτως ἢ ἐκείνως, ὦ Σώκρατες.

ΣΩ. Οὐκοῦν εἰ ταῦτα οὕτω, πάλιν ὁ νῦν δὴ ῥηθεὶς βίος ἂν ἥκοι.

ΠΡΩ. Ποῖος;

ΣΩ. Ὃν ἄλυπόν τε καὶ ἄνευ χαρμονῶν ἔφαμεν εἶναι.

ΠΡΩ. Ἀληθέστατα λέγεις.

Prp. Dic qua? *So.* Ista sane sic se habere iis dicamus. Tu vero responde: Utrum quicquid unquam patitur animal, idem et sentiat patiendo: neque dum crescimus, nos ipsos lateamus, neque dum aliquid aliud huiusmodi patimur? an contra omnino? ferme enim talia quaedam universa nos fugiunt. *Pro.* Contra omnino. *So.* Haud igitur recte dictum est a nobis, quod modo diximus, mutationes sursum deorsumve factas voluptates et dolores inferre. *Pro.* Cur non? *So.* Sic autem rectius ac tutius dicere licet. *Pro.* Quomodo? *So.* Mutationes quidem magnae voluptates doloresque afferunt: mediocres autem et exiguae minime. *Pro.* Rectius isto modo quam illo, o Socrates, dicitur. *So.* Enimvero si ista sic se habent, mox vita in superioribus narrata redibit. *Pro.* Quaenam? *So.* Quam absque moerore et laetitia ponebamus. *Pro.* Vera loqueris.

ΣΩ. Ἐκ δὴ τούτων τιθῶμεν τριττοὺς ἡμῖν βίους, ἕνα μὲν ἡδύν, τὸν δ' αὖ λυπηρόν, τὸν δ' ἕνα μηδέτερα. ἢ πῶς ἂν φαίης σὺ περὶ τούτων;

ΠΡΩ. Οὐκ ἄλλως ἔγωγε ἢ ταύτῃ, τρεῖς εἶναι τοὺς βίους.

ΣΩ. Οὐκοῦν οὐκ ἂν εἴη τὸ μὴ λυπεῖσθαί ποτε ταὐτὸν τῷ χαίρειν;

ΠΡΩ. Πῶς γὰρ ἄν;

ΣΩ. Ὁπόταν οὖν ἀκούσῃς ὡς ἥδιστον πάντων ἐστὶν ἀλύπως διατελεῖν τὸν βίον ἅπαντα, τί τόθ' ὑπολαμβάνεις λέγειν τὸν τοιοῦτον;

ΠΡΩ. Ἡδὺ λέγειν φαίνεται ἔμοιγε οὗτος τὸ μὴ λυπεῖσθαι.

ΣΩ. Τριῶν οὖν ὄντων ἡμῖν ὧν τινῶν βούλει, τίθει, καλλίοσιν ἵνα ὀνόμασι χρώμεθα, τὸ μὲν χρυσόν, τὸ δ' ἄργυρον, τρίτον δὲ μηδέτερα τούτων.

ΠΡΩ. Κεῖται.

ΣΩ. Τὸ δὲ μηδέτερα τούτων ἆσθ' ἡμῖν ὅπως θᾶτερα γένοιτ' ἄν, χρυσὸς ἢ ἄργυρος;

ΠΡΩ. Καὶ πῶς ἄν;

ΣΩ. Οὐδ' ἄρ' ὁ μέσος βίος ἡδὺς ἢ λυπηρὸς λεγόμενος ὀρθῶς ἂν ποτε οὔτ' εἰ δοξάζοι τις, δοξάζοιτο, οὔτ' εἰ λέγοι, λεχθείη, κατά γε τὸν ὀρθὸν λόγον.

ΠΡΩ. Πῶς γὰρ ἄν;

So. Ex iis triplicem vitam ponamus, suavem, tristem, neutram. An tu aliud sentis? *Pro.* Haud aliter quam ita, triplicem videlicet vitam esse. *So.* Non igitur idem erit non dolere, quod et laetari. *Pro.* Nequaquam. *So.* Quotiens ergo audies, omnium dulcissimum esse universam vitam sine moerore transigere, quid tunc sibi velle id dicentem existimas? *Pro.* Dulce esse significare ille mihi videtur id ipsum, quod dicitur non dolere. *So.* Pone tria quaedam, ut lubet, et ut pulchrioribus utamur nominibus, alterum aurum, argentum alterum, neutrum reliquum nominato. *Pro.* Ponantur. *So.* Quod horum neutrum est, potestne alterum ex iis fieri, vel argentum vel aurum? *Pro.* Nequit. *So.* Vita igitur media, si quando suavis vel moesta dicitur aut existimatur, nequaquam recte vel existimatur vel dicitur. *Pro.* Certe.

ΣΩ. Ἀλλὰ μήν, ὦ ἑταῖρε, λεγόντων γε ταῦτα καὶ 44
δοξαζόντων αἰσθανόμεθα.

ΠΡΩ. Καὶ μάλα.

ΣΩ. Πότερον οὖν καὶ χαίρειν οἴονται τότε, ὅταν μὴ λυπῶνται;

ΠΡΩ. Φασὶ γοῦν.

ΣΩ. Οὐκοῦν οἴονται τότε χαίρειν· οὐ γὰρ ἂν ἔλεγόν που.

ΠΡΩ. Κινδυνεύει.

ΣΩ. Ψευδῆ γε μὴν δοξάζουσι περὶ τοῦ χαίρειν, εἴ περ χωρὶς τοῦ μὴ λυπεῖσθαι καὶ τοῦ χαίρειν ἡ φύσις ἑκατέρου.

ΠΡΩ. Καὶ μὴν χωρίς γε ἦν.

ΣΩ. Πότερον οὖν αἱρώμεθα παρ' ἡμῖν ταῦτ' εἶναι, καθά περ ἄρτι, τρία, ἢ δύο μόνα, λύπην μὲν κακὸν τοῖς ἀνθρώποις, τὴν δ' ἀπαλλαγὴν τῶν λυπῶν, αὐτὸ τοῦτ' ἀγαθὸν ὄν, ἡδὺ προσαγορεύεσθαι;

ΠΡΩ. Πῶς δὴ νῦν τοῦτο, ὦ Σώκρατες, ἐρωτῶμεθα ὑφ' ἡμῶν αὐτῶν; οὐ γὰρ μανθάνω.

ΣΩ. Ὄντως γὰρ τοὺς πολεμίους Φιλήβου τοῦδε, ὦ Πρώταρχε, οὐ μανθάνεις.

ΠΡΩ. Λέγεις δὲ αὐτοὺς τίνας;

ΣΩ. Καὶ μάλα δεινοὺς λεγομένους τὰ περὶ φύσιν, οἳ τὸ παράπαν ἡδονὰς οὐ φασιν εἶναι.

ΠΡΩ. Τί μήν;

So. Attamen, o amice, aliquos ista loqui et opinari sentimus. *Pro.* Maxime. *So.* An igitur gaudere tunc, quando non moerent, existimant? *Pro.* Aiunt quidem. *So.* Nonne tunc gaudere putant? non enim pronunciarent. *Pro.* Apparet. *So.* Falso de laetitia opinantur: siquidem utriusque natura, gaudii scilicet et indolentiae, diversa est. *Pro.* Diversa profecto. *So.* Utrum eligemus penes nos haec esse, quemadmodum nuper, tria, vel duo duntaxat: dolorem quidem hominibus malum, absentiam autem tristium, ex hoc ipso bonam existentem, dulcem cognominari? *Pro.* Quomodo id, o Socrates, fiat, a nobis ipsis quaeramus. non enim intelligo. *So.* Revera adversarios huius, o Protarche, Philebi haud intelligis. *Pro.* Quosnam inquis? *So.* Eos, qui rerum naturam praecipue callere feruntur, qui voluptates funditus tollunt. *Pro.* Quidni?

ΣΩ. Λυπῶν ταύτας εἶναι πάσας ἀποφυγὰς ἃς νῦν οἱ περὶ Φίληβον ἡδονὰς ἐπονομάζουσιν.

ΠΡΩ. Τούτοις οὖν ἡμᾶς πότερα πείθεσθαι ξυμβουλεύεις, ἢ πῶς, ὦ Σώκρατες;

ΣΩ. Οὔκ, ἀλλ' ὡς περ μάντεσι προσχρῆσθαί τισι, μαντευομένοις οὐ τέχνῃ ἀλλά τινι δυσχερείᾳ φύσεως οὐκ ἀγεννοῦς, λίαν μεμισηκότων τὴν τῆς ἡδονῆς δύναμιν καὶ νενομικότων οὐδὲν ὑγιές, ὥστε καὶ αὐτὸ τοῦτο αὐτῆς τὸ ἐπαγωγὸν γοήτευμα ἀλλ' οὐχ ἡδονὴν εἶναι. τούτοις μὲν οὖν ταῦτ' ἂν προσχρήσαιο, ἀκεψάμενος ἔτι καὶ τἄλλ' αὐτῶν δυσχεράσματα· μετὰ δὲ ταῦτα αἵ γέ μοι δοκοῦσιν ἡδοναὶ ἀληθεῖς εἶναι, πεύσει, ἵνα ἐξ ἀμφοῖν τοῖν λόγοιν σκεψάμενοι τὴν δύναμιν αὐτῆς παραθώμεθα πρὸς τὴν κρίσιν.

ΠΡΩ. Ὀρθῶς λέγεις.

ΣΩ. Μεταδιώκωμεν δὴ τούτους ὥς περ ξυμμάχους, κατὰ τὸ τῆς δυσχερείας αὐτῶν ἴχνος. οἶμαι γὰρ τοιόνδε τι λέγειν αὐτούς, ἀρχομένους ποθὲν ἄνωθεν, ὡς εἰ βουληθεῖμεν ἀτενοῦν εἴδους τὴν φύσιν ἰδεῖν, οἷον τὴν τοῦ σκληροῦ, πότερον εἰς τὰ σκληρότατα ἀποβλέποντες οὕτως ἂν μᾶλλον συννοήσαιμεν ἢ πρὸς τὰ πολλο-

So. Dolorum effugia eas omnes vocant, quas Philebi sectatores nuncupant voluptates. *Pro.* His ne credamus, o Socrates, consulis? *So.* Nequaquam: sed tanquam vatibus quibusdam utamur, non arte, sed indignatione quadam non ingenerosae naturae vaticinantibus et in principio a voluptatis affectu nimium abhorrentibus, nihilque in ea sinceri esse volentibus, adeo ut ipsas quoque eius illecebras maleficam quandam illaqueationem potius quam voluptatem vocent. His ergo ad haec utere, considerans praeterea et reliqua, quibus ardentissime invehuntur. Post haec autem quas veras existimem voluptates, accipito, ut ex utriusque sermonibus vim eius considerantes, ad iudicandum denique comparemus. *Pro.* Recte inquis. *So.* Hos igitur, tanquam propugnatores, secundum indignationis illorum vestigium prosequamur. reor equidem tale quiddam eos innuere, altius atque longius ordientes, quod si velimus speciei cuiusque naturam cognoscere: velut duri naturam, utrum ad durissima respicientes, sic maxime cognosceremus, an ad exigue

στὰ σκληρότητι; δεῖ δή σε, ὦ Πρώταρχε, καθά περ ἐμοί, καὶ τούτοις τοῖς δυσχερέσιν ἀποκρίνεσθαι.

ΠΡΩ. Πάνυ μὲν οὖν, καὶ λέγω γε αὐτοῖς ὅτι πρὸς τὰ πρῶτα μεγέθει.

ΣΩ. Οὐκοῦν εἰ καὶ τὸ τῆς ἡδονῆς γένος ἰδεῖν ἦν τινά ποτε ἔχει φύσιν βουληθεῖμεν, οὐκ εἰς τὰς πολλοστὰς ἡδονὰς ἀποβλεπτέον ἀλλ' εἰς τὰς ἀκροτάτας καὶ σφοδροτάτας λεγομένας.

ΠΡΩ. Πᾶς ἄν σοι ταύτῃ συγχωροίη τὰ νῦν.

ΣΩ. Ἆρ' οὖν αἱ πρόχειροί γε, αἵ περ καὶ μέγισται τῶν ἡδονῶν, ὃ λέγομεν πολλάκις, αἱ περὶ τὸ σῶμά εἰσιν αὗται;

ΠΡΩ. Πῶς γὰρ οὔ;

ΣΩ. Πότερον οὖν μείζους εἰσὶ καὶ γίγνονται περὶ τοὺς κάμνοντας ἐν ταῖς νόσοις ἢ περὶ ὑγιαίνοντας; εὐλαβηθῶμεν δὲ μὴ προπετῶς ἀποκρινόμενοι πταίσωμεν.

ΠΡΩ. Πῇ;

ΣΩ. Τάχα γὰρ ἴσως φαῖμεν ἄν περὶ ὑγιαίνοντας.

ΠΡΩ. Εἰκός γε.

ΣΩ. Τί δ'; οὐχ αὗται τῶν ἡδονῶν ὑπερβάλλουσιν, ὧν ἄν καὶ ἐπιθυμίαι μέγισται προγίγνωνται;

ΠΡΩ. Τοῦτο μὲν ἀληθές.

ΣΩ. Ἀλλ' οὐχ οἱ πυρέττοντες καὶ ἐν τοιούτοις

dura. oportet te, o Protarche, iis indignantium interrogationibus, quemadmodum et mihi, respondere. *Pro.* Oportet sane: illisque respondeo, ad primas magnitudines suspiciendum. *So.* Si voluptatis genus quam naturam habeat, nosse velimus, non in parvas voluptates longeque a suprema remotas, verum in eas, quae supremae vehementissimaeque dicuntur, aspiciendum. *Pro.* Quilibet nunc ista tibi concederet. *So.* Nonne in promptu prae ceteris positae sunt, quae maximae voluptates sunt, ut saepe iam diximus, ipsae scilicet circa corpus? *Pro.* Quidni? *So.* Utrum vehementiores in aegrotantibus quam bene valentibus reperiuntur? caveamus obsecro, ne temere respondentes delinquamus. *Pro.* Quonam pacto? *So.* Forte enim in bene valentibus fateremur. *Pro.* Verisimile est. *So.* An non voluptates illae excedunt magnopere, quarum ardentes cupidines adsunt? *Pro.* Verum id est. *So.* Nonne febribus et huiusmodi morbis

νοσήμασιν ἐχόμενοι μᾶλλον διψῶσι καὶ ῥιγοῦσι καὶ πάνθ' ὁπόσα διὰ τοῦ σώματος εἰώθασι πάσχειν, μᾶλλόν τ' ἐνδείᾳ ξυγγίγνονται καὶ ἀποπληρουμένων μείζους ἡδονὰς ἴσχουσιν; ἢ τοῦτο οὐ φήσομεν ἀληθὲς εἶναι;

ΠΡΩ. Πάνυ μὲν οὖν νῦν ῥηθὲν φαίνεται.

ΣΩ. Τί οὖν; ὀρθῶς ἂν φαινοίμεθα λέγοντες ὡς εἴ τις τὰς μεγίστας ἡδονὰς ἰδεῖν βούλοιτο, οὐκ εἰς ὑγίειαν ἀλλ' εἰς νόσον ἰόντας δεῖ σκοπεῖν; ὅρα δέ, μή με ἡγῇ διανοούμενον ἐρωτᾶν σε εἰ πλείω γαίρουσιν οἱ σφόδρα νοσοῦντες τῶν ὑγιαινόντων, ἀλλ' οἷου μέγεθός με ζητεῖν ἡδονῆς, καὶ τὸ σφόδρα περὶ τοῦ τοιούτου ποῦ ποτὲ γίγνεται ἑκάστοτε. νοῆσαι γὰρ δεῖν φαμὲν ἥν τινα φύσιν ἔχει καὶ τίνα λέγουσιν οἱ φάσκοντες μηδ' εἶναι τὸ παράπαν αὐτήν.

ΠΡΩ. Ἀλλὰ σχεδὸν ἕπομαι τῷ λόγῳ σου.

ΣΩ. Τάχα, ὦ Πρώταρχε, οὐχ ἧττον δείξεις. ἀποκρινεῖ γάρ· ἐν ὕβρει μείζους ἡδονάς, οὐ πλείους λέγω, τῷ σφόδρα δὲ καὶ τῷ μᾶλλον ὑπερεχούσας ὁρᾷς ἢ ἐν τῷ σώφρονι βίῳ; λέγε δὲ προσέχων τὸν νοῦν.

ΠΡΩ. Ἀλλ' ἔμαθον ὃ λέγεις, καὶ πολὺ τὸ διαφέρον ὁρῶ. τοὺς μὲν γὰρ σώφρονάς που καὶ ὁ παροιμια-

affecti homines et sitiunt vehementer et algent, et quodcunque pati corpore consueverunt, magis admodum quam ceteri patiuntur? quo fit, ut magis indigeant, indigentiamque replentes vehementius delectentur. an verum hoc esse negabimus? *Pro.* Omnino, ut dictum est, apparet. *So.* Quid vero, num recte sentire videbimur, asserentes, si quis ingentissimas voluptates cernere velit, non ad sanitatem, sed ad morbum respiciendum Et vide, ne me hac mente rogare te censeas, pluribusne oblectationibus aegrotantes quam bene valentes deliniantur: sed magnitudinem et vehementiam voluptatis, ubinam fiat, interroga putato. perscrutandum quippe, qua constet natura, praedixim quamve dicant, qui nullo modo esse illam asseverarunt. *P* Teneo paene quod inquis. *So.* Forte nil minus, o Protarc ostendes. Responde modo. In lascivia et petulantia non plu inquam, sed vehementiores et intensione maiores volupta quam in vita temperata vides. Dic amabo, mentem adhib *Pro.* Percepi quid velis, et excessum cerno quamplurimum. Temperatos nempe proverbium, Nihil nimis praecipiens, i

ζόμενος ἐπίσχει λόγος ἑκάστοτε, ὁ τὸ μηδὲν ἄγαν παρακελεύομενος, ᾧ πείθονται· τὸ δὲ τῶν ἀφρόνων τε καὶ ὑβριστῶν μέχρι μανίας ἡ σφοδρὰ ἡδονὴ κατέχουσα περιβοήτους ἀπεργάζεται.

ΣΩ. Καλῶς· καὶ εἴ γε ταῦθ' οὕτως ἔχει, δῆλον ὡς ἔν τινι πονηρίᾳ ψυχῆς καὶ τοῦ σώματος, ἀλλ' οὐκ ἐν ἀρετῇ μέγισται μὲν ἡδοναί, μέγισται δὲ καὶ λῦπαι γίγνονται.

ΠΡΩ. Πάνυ μὲν οὖν.

ΣΩ. Οὐκοῦν τούτων τινὰς προελόμενον δεῖ σκοπεῖσθαι, τίνα ποτὲ τρόπον ἐχούσας ἐλέγομεν αὐτὰς εἶναι μεγίστας.

ΠΡΩ. Ἀνάγκη.

ΣΩ. Σκόπει δὴ τὰς τῶν τοιῶνδε νοσημάτων ἡδονάς, τίνα ποτὲ ἔχουσι τρόπον. 46

ΠΡΩ. Ποίων;

ΣΩ. Τὰς τῶν ἀσχημόνων, ἃς οὓς εἴπομεν δυσχερεῖς μισοῦσι παντελῶς.

ΠΡΩ. Ποίας;

ΣΩ. Οἷον τὰς τῆς ψώρας ἰάσεις τῷ τρίβειν, καὶ ὅσα τοιαῦτα, οὐκ ἄλλης δεόμενα φαρμάξεως. τοῦτο γὰρ δὴ τὸ πάθος ἡμῖν, ὦ πρὸς θεῶν, τί ποτε φῶμεν ἐγγίγνεσθαι; πότερον ἡδονὴν ἢ λύπην;

per continet, et huic illi obtemperant. intemperantes autem et dissolutos homines voluptatis fervor ad furorem usque occupans, immoderatis clamoribus exsultare compellit. *Pro.* Recte loqueris. *So.* Et si verum hoc est, patet, in quadam depravatione tum animae tum corporis, potius quam in virtute, vehementes voluptates vehementesque cruciatus consistere. *Pro.* Patet certe. *So.* An non aliquas e multis elicere decet, investigantes, qua ratione ingentes vocari debeant? *Pro.* Necesse est. *So.* Adverte itaque talium morborum voluptates, qua ratione se habeant. *Pro.* Qualium? *So.* Deformium voluptates, quas illi, quos indignantes vocavimus, penitus horrent. *Pro.* Quales, inquam? *So.* Velut in scabiei medela, quae fricando fit, ceterisque huiusmodi, haud alio pharmaco indigentibus. hanc passionem, pro dii immortales, voluptatemne, an dolorem potius nuncupabimus?

ΠΡΩ. Σύμμικτον τοῦτό γε, ὦ Σώκρατες, ἔοικε γίγνεσθαί τι κακόν.

ΣΩ. Οὐ μὲν δὴ Φιλήβου γε ἕνεκα παρεθέμην τὸν λόγον· ἀλλ' ἄνευ τούτων, ὦ Πρώταρχε, τῶν ἡδονῶν καὶ τῶν ταύταις ἑπομένων, ἂν μὴ κατοφθῶσι, σχεδὸν οὐκ ἄν ποτε δυναίμεθα διακρίνασθαι τὸ νῦν ζητούμενον.

ΠΡΩ. Οὐκοῦν ἰτέον ἐπὶ τὰς τούτων ξυγγενεῖς.

ΣΩ. Τὰς ἐν τῇ μίξει κοινωνούσας λέγεις;

ΠΡΩ. Πάνυ μὲν οὖν.

ΣΩ. Εἰσὶ τοίνυν μίξεις αἱ μὲν κατὰ τὸ σῶμα ἐν αὐτοῖς τοῖς σώμασιν, αἱ δ' αὐτῆς τῆς ψυχῆς ἐν τῇ ψυχῇ. τὰς δ' αὖ τῆς ψυχῆς καὶ τοῦ σώματος ἀνευρήσομεν λύπας ἡδοναῖς μιχθείσας τοτὲ μὲν ἡδονὰς τὰ ξυναμφότερα, τοτὲ δὲ λύπας ἐπικαλουμένας.

ΠΡΩ. Πῶς;

ΣΩ. Ὁπόταν ἐν τῇ καταστάσει τις ἢ τῇ διαφθορᾷ τἀναντία ἅμα πάθη πάσχῃ, ῥιγῶν ποτὲ θέρηται καὶ θερμαινόμενος ἐνίοτε ψύχηται, ζητῶν, οἶμαι, τὸ μὲν ἔχειν, τοῦ δ' ἀπαλλάττεσθαι, τὸ δὴ λεγόμενον πικρῷ γλυκὺ μεμιγμένον, μετὰ δυσαπαλλακτίας παρόν, ἀγωνάκτησιν καὶ ὕστερον ξύντασιν ἀγρίαν ποιεῖ.

ΠΡΩ. Καὶ μάλ' ἀληθὲς τὸ νῦν λεγόμενον.

Pro. Malum quiddam, o Socrates, mixtum hoc esse videtur. *So.* Non tamen Philebi gratia in hunc sermonem incidimus: sed quia, nisi hae voluptates, et quae hasce sequuntur, inspiciantur, nunquam ferme quod quaesitum nunc est, diiudicare valebimus. An non ad istarum cognatas pergendum est? *Pro.* Num eas inquis, quae in mixtione communicant? *So.* Has ipsas. Sunt igitur mixtiones, corporis quidem ipsius in corporibus, animae in anima. et dolores animae et corporis voluptatibus mixtos reperiemus: eamque utrorumque commixtionem interdum voluptatem, interdum vero dolorem cognominatam. *Pro.* Quonam pacto? *So.* Ut ecce, cum quis in restitutione vel corruptione simul contraria patitur, algens saepe calescit, et calens aliquando refrigescit: quaerens, ut arbitror, id assequi, illud abiicere: quod utique dicitur, amaro dulce permixtum, cum difficultate reiectionis assistens, molestiam, ac deinde ferum congressum conficit. *Pro.* Praecipue verum est quod in praesentia dicitur.

ΣΩ. Οὐκοῦν αἱ τοιαῦται μίξεις αἱ μὲν ἐξ ἴσων εἰσὶ λυπῶν τε καὶ ἡδονῶν, αἱ δ' ἐκ τῶν ἑτέρων πλειόνων.

ΠΡΩ. Πῶς γὰρ οὔ;

ΣΩ. Λέγε δὴ τὰς μέν, ὅταν πλείους λῦπαι τῶν ἡδονῶν γίγνωνται, τὰς τῆς ψώρας λεγομένας νῦν δὴ ταύτας εἶναι καὶ τὰς τῶν γαργαλισμῶν, ὁπόταν ἐντὸς τὸ ζέον ᾖ καὶ τὸ φλεγμαῖνον, τῇ τρίψει δὲ καὶ τῇ κνήσει μὴ ἐφικνῆταί τις, τὸ δ' ἐπιπολῆς μόνον διαχέῃ, τοτὲ φέροντες εἰς πῦρ αὐτὰ καὶ εἰς τοὐναντίον, ἀποῥίαις μεταβάλλοντες ἐνίοτε ἀμηχάνους ἡδονάς· τοτὲ δὲ τοὐναντίον τοῖς ἐντὸς πρὸς τὰς τῶν ἔξω λύπας ἡδονὰς ξυγκερασθείσας, εἰς ὁπότερ' ἂν ῥέψῃ, παρέσχοντο τῷ τὰ συγκεκριμένα βίᾳ διαχεῖν ἢ τὰ διακεκριμένα συγχεῖν καὶ ὁμοῦ λύπας ἡδοναῖς παρατιθέναι. 47

ΠΡΩ. Ἀληθέστατα.

ΣΩ. Οὐκοῦν ὁπόταν αὖ πλείων ἡδονὴ κατὰ τὰ τοιαῦτα πάντα ξυμμιχθῇ, τὸ μὲν ὑπομεμιγμένον τῆς λύπης γαργαλίζει τε καὶ ῥέμα ἀγανακτεῖν ποιεῖ, τὸ δ' αὖ τῆς ἡδονῆς πολὺ πλέον ἐγκεχυμένον συντείνει τε καὶ ἐνίοτε πηδᾶν ποιεῖ, καὶ παντοῖα μὲν χρώματα, παντοῖα δὲ σχήματα, παντοῖα δὲ πνεύματα ἀπεργαζόμενον πᾶσαν ἔκπληξιν καὶ βοὰς μετ' ἀφροσύνης ἐνεργάζεται.

So. Nonne harum mixtionum quaedam ex aequo utrinque, quaedam ex alterutro excedente conflantur? *Pro.* Nihil prohibet. *So.* Dic igitur, ex earum numero, quae doloris plus quam delectationis continent, eas esse, quae scabiem sequuntur et quae titillationes: quando quod intus est, fervet atque tumescit, neque perfricando aut exagitando quis attingit, quod vero circa cutem est solum, diffundit. tunc sane illa ferentes ad ignem, et in contrarium ambiguitate quadam saepenumero transmutantes inaestimabiles voluptates pariunt: aliquando contra, interioribus ad exteriorum molestias voluptatibus mixtas, in utram partem declinatio fiat, exhibent: ex eo quod commixta per violentiam diffundant, vel dispersa confundant, simulque voluptatibus dolores admoveant. *Pro.* Vera narras. *So.* Nonne iterum, cum voluptas amplior secundum talia universa commiscetur, tunc portio doloris innexa titillat, et levi quadam tristitia afficit: atque iterum voluptatis uberior pars infusa, provocat, et interdum prosilire compellit, et omniformes colores, omnigenas figuras, omnimodos spiritus cum omni incitamento, et exclamationes cum insania parit?

ΠΡΩ. Μάλα γε.

ΣΩ. Καὶ λέγειν τε, ὦ ἑταῖρε, αὐτόν τε περὶ ἑαυτοῦ ποιεῖ καὶ ἄλλον, ὡς ταύταις ταῖς ἡδοναῖς τερπόμενος οἷον ἀποθνήσκει· καὶ ταύτας γε δὴ παντάπασιν ἀεὶ μεταδιώκει τοσούτῳ μᾶλλον, ὅσῳ ἂν ἀκολαστότερός τε καὶ ἀφρονέστερος ὢν τυγχάνῃ. καὶ καλεῖ δὴ μεγίστας ταύτας, καὶ τὸν ἐν αὐταῖς ὅτι μάλιστ' ἀεὶ ζῶντα εὐδαιμονέστατον καταριθμεῖται.

ΠΡΩ. Πάντα, ὦ Σώκρατες, τὰ συμβαίνοντα πρὸς τῶν πολλῶν ἀνθρώπων εἰς δόξαν διεπέρανας.

ΣΩ. Περί γε τῶν ἡδονῶν, ὦ Πρώταρχε, τῶν ἐν τοῖς κοινοῖς παθήμασιν αὐτοῦ τοῦ σώματος τῶν ἐπιπολῆς τε καὶ ἐντὸς κερασθέντων· περὶ δὲ τῶν ἐν ψυχῇ, σώματι τἀναντία ξυμβάλλεται, λύπην τε ἅμα πρὸς ἡδονὴν καὶ ἡδονὴν πρὸς λύπην, ὥστ' εἰς μίαν ἀμφότερα κρᾶσιν ἰέναι, ταῦτ' ἔμπροσθε μὲν διήλθομεν, ὡς ὁπόταν αὖ κενῶται πληρώσεως ἐπιθυμεῖ, καὶ ἐλπίζων μὲν χαίρει, κενούμενος δὲ ἀλγεῖ, ταῦτα δὲ τότε μὲν οὐκ ἐμαρτυράμεθα, νῦν δὲ λέγομεν, ὡς ψυχῆς πρὸς σῶμα διαφερομένης ἐν πᾶσι τούτοις πλήθει ἀμηχάνοις οὖσι μίξις μία λύπης τε καὶ ἡδονῆς ξυμπίπτει γενομένη.

ΠΡΩ. Κινδυνεύεις ὀρθότατα λέγειν.

Pro. Summopere. *So.* Cogit praeterea, o amice, de se; tum ipsum, vel tum alium, exclamare, quod his voluptatibus delinitus ac liquescens propemodum moritur: eoque magis eiuscemodi voluptates sectatur quisque, quo intemperantior quis et imprudentior est. atque has insuper summas oblectationes praedicat, et eum, qui iis deliciis totam vitam mulcetur, beatissimum arbitratur. *Pro.* Omnia, quae apud multos in existimationem veniunt, o Socrates, collegisti. *So.* De voluptatibus, o Protarche, quae in communibus corporis passionibus extrinsecus intrinsecusve miscentur, est dictum. De iis vero, quae miscentur in anima, contraria quaedam ad corpus coniiciuntur, voluptatem scilicet cum dolore et dolorem cum voluptate in unam mixtionem concurrere. Et haec in superioribus percurrimus, quod quando exhauritur, repletionem cupit, et sperans gaudet, exhaustus angitur. Ista tunc quidem testimoniis minime confirmavimus: nunc vero dicimus, quod anima a corpore discrepante, in iis omnibus, quorum haud satis multitudo comprehenditur, mixtio una doloris et voluptatis emergit. *Pro.* Recte nimium loqui videris.

ΣΩ. Ἔτι τοίνυν ἡμῖν τῶν μίξεων λύπης τε καὶ ἡδονῆς λοιπὴ μία.

ΠΡΩ. Ποία, φῄς;

ΣΩ. Ἣν αὐτὴν τὴν ψυχὴν αὐτῇ πολλάκις λαμβάνειν σύγκρασιν ἔφαμεν.

ΠΡΩ. Πῶς οὖν δὴ τοῦτ' αὐτὸ λέγομεν;

ΣΩ. Ὀργὴν καὶ φόβον καὶ πόθον καὶ θρῆνον καὶ ἔρωτα καὶ ζῆλον καὶ φθόνον καὶ ὅσα τοιαῦτα, ἆρ' οὐκ αὐτῆς τῆς ψυχῆς τίθεσαι ταύτας λύπας τινάς;

ΠΡΩ. Ἔγωγε.

ΣΩ. Οὐκοῦν αὐτὰς ἡδονῶν μεστὰς εὑρήσομεν ἀμηχάνων; ἢ δεόμεθα ὑπομιμνήσκεσθαι τὸ ὅς τ' ἐφέηκε τοῖς θυμοῖς καὶ ταῖς ὀργαῖς τὸ

πολύφρονά περ χαλεπῆναι,

ὅς τε πολὺ γλυκίων μέλιτος καταλειβομένοιο, 48

καὶ τὰς ἐν τοῖς θρήνοις καὶ πόθοις ἡδονὰς ἐν λύπαις οὔσας ἀναμεμιγμένας;

ΠΡΩ. Οὔκ, ἀλλ' οὕτω ταῦτά γε καὶ οὐκ ἄλλως ἂν ξυμβαίνοι γιγνόμενα.

ΣΩ. Καὶ μὴν καὶ τάς γε τραγικὰς θεωρήσεις, ὅταν ἅμα χαίροντες κλάωσι, μέμνησαι;

ΠΡΩ. Τί δ' οὔ;

ΣΩ. Τὴν δ' ἐν ταῖς κωμῳδίαις διάθεσιν ἡμῶν τῆς

So. Una praeterea doloris voluptatisque congressio restat. *Pro.* Quaenam? *So.* Quam saepe ipsam in seipsa animam accipere diximus. *Pro.* Qua ratione istud asserimus? *So.* Iram, timorem, desiderium, lamentationem, amorem, aemulationem, invidiam, et huiusmodi reliqua, an non haec omnia dolores quosdam ipsius animae ponis? *Pro.* Equidem. *So.* Nonne dolores huiusmodi plenos miris quibusdam voluptatibus invenire licet? an forte in memoriam nobis illud reducere oportet, quod, quemadmodum apud Homerum accidit, virum vel prudentem irasci eo tamen pacto, ut eius affectus dulcior melle sit iugiter distillante, sic contingat in vita, ut aliquando irae dulcedo misceatur, et voluptates in lamentationibus atque desideriis tristitiae mixtae sint? *Pro.* Nequaquam: verum sic ista, nec aliter accidunt. *So.* Quin etiam meministi, eos qui tragicis spectaculis adstant, dum delectantur, saepe lugere? *Pro.* Memini. *So.* Et in comoediis animi nostri affectum ad oblecta-

ψυχῆς, ἆρ' οἶσθ' ὡς ἔσται κἂν τούτοις μίξις λύπης τε καὶ ἡδονῆς;

ΠΡΩ. Οὐ πάνυ κατανοῶ.

ΣΩ. Παντάπασι γὰρ οὐ ῥᾴδιον, ὦ Πρώταρχε, ἐν τούτῳ ξυννοεῖν τὸ τοιοῦτον ἑκάστοτε πάθος.

ΠΡΩ. Οὔκουν ὥς γ' ἔοικεν ἐμοί.

ΣΩ. Λάβωμέν γε μὴν αὐτὸ τοσούτῳ μᾶλλον, ὅσῳ σκοτεινότερόν ἐστιν, ἵνα καὶ ἐν ἄλλοις ῥᾷον καταμαθεῖν τις οἷός τ' ᾖ μίξιν λύπης τε καὶ ἡδονῆς.

ΠΡΩ. Λέγοις ἄν.

ΣΩ. Τό τοι νῦν δὴ ῥηθὲν ὄνομα φθόνου πότερα λύπην τινὰ ψυχῆς θήσεις, ἢ πῶς;

ΠΡΩ. Οὕτως.

ΣΩ. Ἀλλὰ μὴν ὁ φθονῶν γε ἐπὶ κακοῖς τοῖς τῶν πέλας ἡδόμενος ἀναφανήσεται.

ΠΡΩ. Σφόδρα γε.

ΣΩ. Κακὸν μὴν ἄγνοια καὶ ἦν δὴ λέγομεν ἀβελτέραν ἕξιν.

ΠΡΩ. Τί μήν;

ΣΩ. Ἐκ δὴ τούτων ἰδὲ τὸ γελοῖον ἥν τινα φύσιν ἔχει.

ΠΡΩ. Λέγε μόνον.

ΣΩ. Ἔστι δὴ πονηρία μέν τις τὸ κεφάλαιον, ἕξεώς τινος ἐπίκλην λεγομένη· τῆς δ' αὖ πάσης πονηρίας ἐστὶ

tionem simul atque moerorem declinare sensisti? *Pro.* Haud satis adverti. *So.* Non enim facile est, o Protarche, affectum huiusmodi ubique comprehendere. *Pro.* Non certe, ut mihi videtur. *So.* Ipsum igitur tanto magis accipiamus, quanto est obscurior: ut in ceteris facilius quis voluptatis tristitiaeque concursum percipere valeat. *Pro.* Dic iam. *So.* Invidiae nomen, paulo ante inductum, utrum dolorem quendam significare censes, necne? *Pro.* Censeo. *So.* Invidus tamen proximorum adversis laetari deprehenditur. *Pro.* Vehementer. *So.* Malum quidem ignorantia est, et, ut nunc loquimur, stolidus habitus. *Pro.* Quidni? *So.* Ex his aspice, ridiculum ipsum quam naturam habeat. *Pro.* Dic modo. *So.* Est utique summatim depravatio quaedam, habitus alicuius denominata. et ex omni genere im-

τοὐναντίον πάθος ἔχον ἢ τὸ λεγόμενον ὑπὸ τῶν ἐν Δελφοῖς γραμμάτων.

ΠΡΩ. Τὸ γνῶθι σαυτόν λέγεις, ὦ Σώκρατες;

ΣΩ. Ἔγωγε. τοὐναντίον μὴν ἐκείνῳ δῆλον ὅτι τὸ μηδαμῇ γιγνώσκειν αὐτὸν λεγόμενον ὑπὸ τοῦ γράμματος ἂν εἴη.

ΠΡΩ. Τί μήν;

ΣΩ. Ὦ Πρώταρχε, πειρῶ δὴ αὐτὸ τοῦτο τριχῇ τέμνειν.

ΠΡΩ. Πῇ φῄς; οὐ γὰρ μὴ δυνατὸς ὦ.

ΣΩ. Λέγεις δὴ δεῖν ἐμὲ τοῦτο διελέσθαι τὰ νῦν;

ΠΡΩ. Λέγω, καὶ δέομαί γε πρὸς τῷ λέγειν.

ΣΩ. Ἆρ' οὖν οὐ τῶν ἀγνοούντων αὐτοὺς κατὰ τρία ἀνάγκη τοῦτο τὸ πάθος πάσχειν ἕκαστον;

ΠΡΩ. Πῶς;

ΣΩ. Πρῶτον μὲν κατὰ χρήματα, δοξάζειν εἶναι πλουσιώτερον ἢ κατὰ τὴν αὐτῶν οὐσίαν.

ΠΡΩ. Πολλοί γοῦν εἰσὶ τὸ τοιοῦτον πάθος ἔχοντες.

ΣΩ. Πλείους δέ γε, οἳ μείζους καὶ καλλίους αὑτοὺς δοξάζουσι, καὶ πάνθ' ὅσα κατὰ τὸ σῶμα εἶναι διαφερόντως τῆς οὔσης αὐτοῖς ἀληθείας.

ΠΡΩ. Πάνυ γε.

ΣΩ. Πολὺ δὲ πλεῖστοί γε, οἶμαι, περὶ τὸ τρίτον

probitatis ea est, quae contrariam conditionem habet, quam Delphica scripta praeceperint. *Pro.* Inquis, o Socrates, praeceptum hoc, Nosce te ipsum? *So.* Aio. Oppositum huic esset, si forte praeciperetur, Nullo modo te ipsum nosce. *Pro.* Esset. *So.* O Protarche, conare nunc id trifariam distribuere. *Pro.* Dic tu. ego enim nequeo. *So.* Ais ergo, me nunc istud dividere oportere? *Pro.* Aio equidem, et quod maius est, obsecro. *So.* Nonne quisque ex iis, qui se ipsos ignorant, secundum tria id necessario patitur? *Pro.* Quomodo? *So.* Primo enim secundum pecunias. opulentiorem quippe, quam sit, aliquando se ipsum existimat. *Pro.* Multi quidem ita decipiuntur. *So.* Plures etiam, qui maiores formosioresque se putant, et quaecunque ad corpus attinent, supra quam veritas patiatur, habere. *Pro.* Plures profecto. *So.* Plurimi denique, qui animi dotes

εἶδος τούτων ἐν ταῖς ψυχαῖς διημαρτήκασιν, ἀρετὴν δοξάζοντες βελτίους ἑαυτούς, οὐκ ὄντες.

ΠΡΩ. Σφόδρα μὲν οὖν.

49 ΣΩ. Τῶν ἀρετῶν δ' ἆρ' οὐ σοφίας πέρι τὸ πλῆθος πάντως ἀντεχόμενον μεστὸν ἐρίδων καὶ δοξοσοφίας ἐστὶ ψευδοῦς;

ΠΡΩ. Πῶς δ' οὔ;

ΣΩ. Κακὸν μὲν δὴ πᾶν ἄν τις τὸ τοιοῦτον εἰπὼν ὀρθῶς ἂν εἴποι πάθος.

ΠΡΩ. Σφόδρα γε. 10

ΣΩ. Τοῦτο τοίνυν ἔτι διαιρετέον, ὦ Πρώταρχε, δίχα, εἰ μέλλομεν τὸν παιδικὸν ἰδόντες φθόνον ἄτοπον ἡδονῆς καὶ λύπης ὄψεσθαι μίξιν.

ΠΡΩ. Πῶς οὖν τέμνωμεν δίχα λέγεις;

ΣΩ. Πάντες ὁπόσοι ταύτην τὴν ψευδῆ δόξαν περὶ ἑαυτῶν ἀνοήτως δοξάζουσι, καθά περ ἁπάντων ἀνθρώπων, καὶ τούτων ἀναγκαιότατον ἕπεσθαι τοῖς μὲν ῥώμην αὐτῶν καὶ δύναμιν, τοῖς δέ, οἶμαι, τοὐναντίον.

ΠΡΩ. Ἀνάγκη.

ΣΩ. Ταύτῃ τοίνυν δίελε, καὶ ὅσοι μὲν αὐτῶν εἰσὶ 20 μετ' ἀσθενείας τοιοῦτοι καὶ ἀδύνατοι καταγελώμενοι τιμωρεῖσθαι, γελοίους τούτους φάσκων εἶναι τἀληθῆ φθέγξει· τοὺς δὲ δυνατοὺς τιμωρεῖσθαι φοβεροὺς καὶ

maiores, quam habeant, habere se putant. *Pro.* Et maxime quidem. *So.* Quantum vero ad virtutes animi pertinet, nonne vulgus, sapientiam prorsus sibi vendicans, plenum est contentionibus falsaque sapientiae ipsius opinione? *Pro.* Quidni? *So.* Si quis ergo passionem hanc omnem malum quiddam vocarit, recte nimium appellabit. *Pro.* Maxime. *So.* Hoc iterum, o Protarche, bifariam partiendum, si debemus ridiculam invidiam cognoscentes, miram voluptatis et molestiae mixtionem inspicere. *Pro.* Quomodo bifariam partiendum? *So.* Ita. Quicunque hanc falsam de se opinionem stulte praesumunt, quemadmodum et omnibus hominibus, sic et iis etiam accidat necesse est, ut quidam eorum robur ac potentiam in iis quae profitentur, possideant, quidam vero nequaquam. *Pro.* Necessarium est. *So.* Hac ergo ratione distingue, quicunque ex iis imbecilles sunt, neque ulcisci iniurias neque sibi ipsis opem ferre valent, merito ridiculi nuncupantur: qui vero possunt,

ἰσχυροὺς καὶ ἐχθροὺς προσαγορεύων ὀρθότατον τούτων σαυτῷ λόγον ἀποδώσεις. ἄγνοια γὰρ ἡ μὲν τῶν ἰσχυρῶν ἐχθρά τε καὶ αἰσχρά· βλαβερὰ γὰρ καὶ τοῖς πέλας αὐτή τε καὶ ὅσαι εἰκόνες αὐτῆς εἴσιν· ἡ δ' ἀσθενὴς ἡμῖν τὴν τῶν γελοίων εἴληχε τάξιν τε καὶ φύσιν.

ΠΡΩ. Ὀρθότατα λέγεις. ἀλλὰ γὰρ ἡ τῶν ἡδονῶν καὶ λυπῶν μίξις ἐν τούτοις οὔ πώ μοι καταφανής.

ΣΩ. Τὴν τοίνυν τοῦ φθόνου λαβὲ δύναμιν πρῶτον.

ΠΡΩ. Λέγε μόνον.

ΣΩ. Λύπη τις ἄδικός ἐστί που καὶ ἡδονή;

ΠΡΩ. Τοῦτο μὲν ἀνάγκη.

ΣΩ. Οὐκοῦν ἐπὶ μὲν τοῖς τῶν ἐχθρῶν κακοῖς οὔτ' ἄδικον οὔτε φθονερόν ἐστι τὸ χαίρειν;

ΠΡΩ. Τί μήν;

ΣΩ. Τὰ δέ γε τῶν φίλων ὁρῶντας ἔστιν ὅτε κακὰ μὴ λυπεῖσθαι, χαίρειν δὲ ἆρ' οὐκ ἄδικόν ἐστιν;

ΠΡΩ. Πῶς δ' οὔ;

ΣΩ. Οὐκοῦν τὴν ἄγνοιαν εἴπομεν ὅτι κακὸν πᾶσιν;

ΠΡΩ. Ὀρθῶς.

ΣΩ. Τὴν οὖν τῶν φίλων δοξοσοφίαν καὶ δοξοκαλίαν καὶ ὅσα νῦν δὴ διήλθομεν, ἐν τρισὶ λέγοντες εἴδεσι γίγνεσθαι, γελοῖα μὲν ὁπόσ' ἀσθενῆ, μισητὰ δ' ὁπόσα ἐῤῥωμένα; ἢ μὴ φῶμεν ὃ περ εἶπον ἄρτι,

terribiles et robusti et hostiles iure vocantur. Ignorantia enim potentum robustorumque hominum hostilis atque teterrima res est. haec enim, et quaecunque eius similia, proximis omnibus noxia. sin autem imbecillis ignorantiæ sit, ridiculorum naturam subit. *Pro.* Recte loqueris. attamen voluptatis dolorisque concursus nondum in iis nobis patuit. *So.* Livoris primum vim accipe. *Pro.* Dic. *So.* Tristitia quaedam et laetitia iniusta est? *Pro.* Necessarium hoc est. *So.* Adversariorum malis laetari nec iniustum nec invidum est. *Pro.* Non. *So.* Malis autem amicorum laetari potius, quam tristari, nonne invidi est atque iniusti? *Pro.* Est. *So.* Ignorantiam omnibus malam esse diximus. *Pro.* Et recte quidem. *So.* Amicorum igitur praesumptionem sapientiae atque pulchritudinis, et quodcunque paulo ante diximus tribus in speciebus fieri, ridicula quidem cum imbecillia, odiosa vero cum valida: hunc, inquam, amicorum habitum

τὴν τῶν φίλων ἔξιν ταύτην ὅταν ἔχῃ τις τὴν ἀβλαβῆ τοῖς ἄλλοις, γελοίαν εἶναι;

ΠΡΩ. Πάνυ γε.

ΣΩ. Κακὸν δὲ οὐχ ὁμολογοῦμεν αὐτήν, ἄγνοιάν γε οὖσαν, εἶναι;

ΠΡΩ. Σφόδρα γε.

ΣΩ. Χαίρομεν δὲ ἢ λυπούμεθα, ὅταν ἐπ' αὐτῇ γελῶμεν;

50 ΠΡΩ. Δῆλον ὅτι χαίρομεν.

ΣΩ. Ἡδονὴν δὲ ἐπὶ τοῖς τῶν φίλων κακοῖς, οὐ 19
φθόνον ἔφαμεν εἶναι τὸν τοῦτ' ἀπεργαζόμενον;

ΠΡΩ. Ἀνάγκη.

ΣΩ. Γελῶντας ἄρα ἡμᾶς ἐπὶ τοῖς τῶν φίλων γελοίοις φησὶν ὁ λόγος, κεραννύντας ἡδονὴν φθόνῳ, λύπῃ τὴν ἡδονὴν ξυγκεραννύναι· τὸν γὰρ φθόνον ὡμολογῆσθαι λύπην τῆς ψυχῆς ἡμῖν πάλαι, τὸ δὲ γελᾶν ἡδονήν, ἅμα δὲ γίγνεσθαι τοῦτο ἐν τούτοις τοῖς χρόνοις.

ΠΡΩ. Ἀληθῆ.

ΣΩ. Μηνύει δὴ νῦν ὁ λόγος ἡμῖν ἐν θρήνοις τε καὶ ἐν τραγῳδίαις, μὴ τοῖς δράμασι μόνον ἀλλὰ καὶ 20
τῇ τοῦ βίου ξυμπάσῃ τραγῳδίᾳ καὶ κωμῳδίᾳ, λύπας ἡδοναῖς ἅμα κεράννυσθαι, καὶ ἐν ἄλλοις δὴ μυρίοις.

ΠΡΩ. Ἀδύνατον μὴ ὁμολογεῖν ταῦτ', ὦ Σώκρατες, εἰ καί τις φιλονεικοῖ πάνυ πρὸς τἀναντία.

nonne fatemur, cum quis habet innoxium aliis, esse ridiculum? *Pro.* Fatemur sane, *So.* Hunc quoque, cum ignorantia sit, malum esse? *Pro.* Certe. *So.* Laetamurne. an tristamur, dum hunc irridemus? *Pro.* Laetamur plane. *So.* Voluptatem vero in amicorum malis, nonne a livore proficisci praediximus? *Pro.* Certe. *So.* Nos igitur in amicorum rebus ridiculis subridentes, miscere voluptatem dolori, dum invidiae laetitiam addimus, ratio ista concludit. livorem quippe tristitiam quandam animae iamdudum esse constitit: derisionem vero laetitiam: simulque haec eo in tempore congredi patuit. *Pro.* Vera loqueris. *So.* Ratio igitur nobis haec dictat, nos non modo in ipsis spectaculis res gestas repraesentantibus et in aliis multis eodem pacto, sed in totius vitae quadam veluti tragoedia atque comoedia, dolores voluptatibus immiscere. *Pro.* Impossibile est, ista tibi, o Socrates, non concedere, etiamsi quis alteri parti potissimum adstipularetur.

ΣΩ. Ὀργὴν μὴν καὶ πόθον καὶ θρῆνον καὶ φόβον καὶ ἔρωτα καὶ ζῆλον καὶ φθόνον προυθέμεθα καὶ ὁπόσα τοιαῦτα, ἐν οἷς ἔφαμεν εὑρήσειν μιγνύμενα τὰ νῦν πολλάκις λεγόμενα. ἦ γάρ;

ΠΡΩ. Ναί.

ΣΩ. Μανθάνομεν οὖν ὅτι θρήνου πέρι καὶ φθόνου καὶ ὀργῆς πάντ' ἐστὶ τὰ νῦν δὴ διαπερανθέντα;

ΠΡΩ. Πῶς γὰρ οὐ μανθάνομεν;

ΣΩ. Οὐκοῦν πολλὰ ἔτι τὰ λοιπά;

ΠΡΩ. Καὶ πάνυ γε.

ΣΩ. Διὰ δὴ τί μάλισθ' ὑπολαμβάνεις με δεῖξαί σοι τὴν ἐν τῇ κωμῳδίᾳ μίξιν; ἆρ' οὐ πίστεως χάριν ὅτι τήν γε ἐν τοῖς φόβοις καὶ ἔρωσι καὶ τοῖς ἄλλοις ῥᾴδιον κρᾶσιν ἐπιδεῖξαι; λαβόντα δὲ τοῦτο παρὰ σαυτῷ ἀφεῖναί με μηκέτι ἐπ' ἐκεῖνα ἰόντα δεῖν μηκύνειν τοὺς λόγους, ἀλλ' ἁπλῶς λαβεῖν τοῦτο, ὅτι καὶ σῶμα ἄνευ ψυχῆς καὶ ψυχὴ ἄνευ σώματος καὶ κοινῇ μετ' ἀλλήλων ἐν τοῖς παθήμασι μεστά ἐστι συγκεκραμένης ἡδονῆς λύπαις; νῦν οὖν λέγε, πότερα ἀφίης με ἢ μέσας ποιήσεις νύκτας; εἰπὼν δὲ σμικρὰ οἶμαί σου τεύξεσθαι μεθεῖναί με· τούτων γὰρ ἁπάντων αὔριον ἐθελήσω σοι

So. Iram, desiderium, lamentationem, metum, amorem, aemulationem, invidiam, proposuimus, ceteraque huiusmodi: in quibus ea, quae iam saepe repetimus, coire nos diximus reperturos, an non? *Pro.* Ita. *So.* Num advertimus, de lamentatione, ira atque invidia superiora pertractavisse? *Pro.* Quidni adverterimus? *So.* Multa igitur restant? *Pro.* Multa. *So.* Ob quam vero potissimum causam mixtum in comoediis affectum declarasse me tibi existimas? nonne fidei gratia? quia ipsa in amoribus timoribusque et aliis mixtio facilius ostendi potest. Quam tu ex te ipso dinosceris et quae dicta sunt, servans, me dimitte: nec me cogas, ad illa singulatim ordine descendentem, in longum disputationem producere. verum simpliciter id accipito, et animam absque corpore, et absque anima corpus, et mutuum etiam utrorumque congressum in omnibus perturbationibus voluptatis et doloris habere concursum. Dic ergo, num me dimittas, aut ad multam noctem detineas. reor enim, te, si pauca quaedam dixero, me dimissurum. nam horum omnium crasti-

λόγον δοῦναι, τὰ νῦν δὲ ἐπὶ τὰ λοιπὰ βούλομαι στέλλεσθαι πρὸς τὴν κρίσιν ἣν Φίληβος ἐπιτάττει.

ΠΡΩ. Καλῶς εἶπες, ὦ Σώκρατες· ἀλλ' ὅσα λοιπὰ ἡμῖν, διέξελθε ὅπῃ σοι φίλον.

ΣΩ. Κατὰ φύσιν τοίνυν μετὰ τὰς μιχθείσας ἡδονὰς ὑπὸ δή τινος ἀνάγκης ἐπὶ τὰς ἀμίκτους πορευοίμεθ' ἂν ἐν τῷ μέρει.

ΠΡΩ. Κάλλιστ' εἶπες.

51 ΣΩ. Ἐγὼ δὴ πειράσομαι μεταβαλὼν σημαίνειν ἡμῖν αὐτάς. τοῖς γὰρ φάσκουσι λυπῶν εἶναι παῦλαν πάσας τὰς ἡδονὰς οὐ πάνυ πως πείθομαι, ἀλλ' ὃ περ εἶπον, μάρτυσι καταχρῶμαι πρὸς τὸ τινὰς ἡδονὰς εἶναι δοκούσας, οὔσας δ' οὐδαμῶς, καὶ μεγάλας ἑτέρας τινὰς ἅμα καὶ πολλὰς φαντασθείσας, εἶναι δ' αὐτὰς συμπεφυρμένας ὁμοῦ λύπαις τε καὶ ἀναπαύσεσιν ὀδυνῶν τῶν μεγίστων περί τε σώματος καὶ ψυχῆς ἀπορίας.

ΠΡΩ. Ἀληθεῖς δ' αὖ τίνας, ὦ Σώκρατες, ὑπολαμβάνων ὀρθῶς τις διανοοῖτ' ἄν;

ΣΩ. Τὰς περί τε τὰ καλὰ λεγόμενα χρώματα καὶ περὶ τὰ σχήματα, καὶ τῶν ὀσμῶν τὰς πλείστας, καὶ τὰς τῶν φθόγγων, καὶ ὅσα τὰς ἐνδείας ἀναισθήτους ἔχοντα καὶ ἀλύπους τὰς πληρώσεις αἰσθητὰς καὶ ἡδείας καθαρὰς λύπῶν παραδίδωσιν.

num tibi sermonem polliceor. In praesentia vero ad iudicium, quod Philebus instituit, pergere cupio. *Pro.* Praeclare inquis, o Socrates: et iccirco quae restant, utcunque tibi placuerit, enarrato. *So.* Secundum naturam quidem post mixtas voluptates necessitate quadam ad puras quodammodo deveniemus. *Pro.* Recte nimium. *So.* Conabor equidem permutando nobis eas significare. Dicentibus, voluptates omnes dolorum sedationes esse, haud prorsus assentior. ceterum, ut dixi, iis quasi testibus utor ad ostendendum, plerasque videri, cum non sint, voluptates: nec non adversus eas, quae cum ingentes multaeque appareant, mixtae tamen tristitiae sunt, et in sedatione quadam ingentium dolorum circa corporis animaeque defectum versantur. *Pro.* Quas denique voluptates veras, o Socrates, merito censere quis debet? *So.* Eas utique, quae circa decoros colores atque figuras, et odores plerosque et harmonias consistunt: et quaecunque indigentias habent sensibus occultas ac sine molestia: repletiones vero patentes et suaves et tristitia vacuas exhibent.

ΠΡΩ. Πῶς δὴ ταῦτ', ὦ Σώκρατες, αὖ λέγομεν οὕτως;

ΣΩ. Πάνυ μὲν οὖν οὐκ εὐθὺς δῆλά ἐστιν ἃ λέγω, πειρατέον μὴν δηλοῦν. σχημάτων τε γὰρ κάλλος οὐχ ὅ περ ἂν ὑπολάβοιεν οἱ πολλοὶ πειρῶμαι νῦν λέγειν, οἷον ζώων ἢ τινων ζωγραφημάτων, ἀλλ' εὐθύ τι λέγω, φησὶν ὁ λόγος, καὶ περιφερὲς καὶ ἀπὸ τούτων δὴ τά τε τοῖς τόρνοις γιγνόμενα ἐπίπεδά τε καὶ στερεὰ καὶ τὰ τοῖς κανόσι καὶ γωνίαις, εἴ μου μανθάνεις. ταῦτα γὰρ οὐκ εἶναι πρός τι καλὰ λέγω, καθά περ ἄλλα, ἀλλ' ἀεὶ καλὰ καθ' αὑτὰ πεφυκέναι καί τινας ἡδονὰς οἰκείας ἔχειν, οὐδὲν ταῖς τῶν κνήσεων προσφερεῖς· καὶ χρώματα δὴ τοῦτον τὸν τύπον ἔχοντα καλὰ καὶ ἡδονάς, ἀλλ' ἆρα μανθάνομεν, ἢ πῶς;

ΠΡΩ. Πειρῶμαι μέν, ὦ Σώκρατες· πειράθητι δὲ καὶ σὺ σαφέστερον ἔτι λέγειν.

ΣΩ. Λέγω δὴ τὰς τῶν φθόγγων τὰς λείας καὶ λαμπράς, τὰς ἕν τι καθαρὸν ἰείσας μέλος, οὐ πρὸς ἕτερον καλὰς ἀλλ' αὐτὰς καθ' αὑτὰς εἶναι, καὶ τούτων ξυμφύτους ἡδονὰς ἑπομένας.

ΠΡΩ. Ἔστι γὰρ οὖν καὶ τοῦτο.

ΣΩ. Τὸ δὲ περὶ τὰς ὀσμὰς ἧττον μὲν τούτων θεῖον

Pro. Qua ratione, o Socrates, ista sic dicimus? *So.* Certe quae loquor haud statim perspicua sunt: verumtamen explicare conandum. Figurarum enim pulchritudinem, non ut plerique forsitan intelligerent, utputa animalium vel picturarum quarundam, dico: sed rectum quiddam et circulare: et ab iis ea, quae tornis fiunt, plana vel solida, et quae canonibus, id est, regulis atque angulis construuntur; si modo haec tenes. Ista siquidem nequaquam ad aliquid aliud respicientia, quemadmodum cetera, pulchra dico, sed pulchra semper suapte natura, voluptates proprias nullo modo motuum delectationibus convenientes habentia. colores item eadem ratione pulchros atque gratos esse. Sed nunquid intelligimus, vel quid superest? *Pro.* Annitor equidem, o Socrates: verum ipse quoque lucidius explicare nitere. *So.* Dico praeterea et vocum oblectamenta perspicua nimium atque suavia, unam aliquam puram penitus concinentia melodiam, ad nihil aliud comparata, sed natura perpulchra, et innatas afferentia voluptates. *Pro.* Hoc quoque verum est. *So.* Genus autem voluptatum odores sequentium minus divi-

γένος ἡδοκῶν· τὸ δὲ μὴ συμμεμίχθαι ἐν αὐταῖς ἀναγκαίους λύπας, καὶ ὅπῃ τοῦτο καὶ ἐν ὅτῳ τυγχάνει γεγονὸς ἡμῖν, τοῦτ' ἐκείνοις τίθημι ἀντίστροφον ἅπαν. ἀλλ', εἰ καταγοεῖς, ταῦτα εἴδη δύο λεγομένων ἡδονῶν.

ΠΡΩ. Κατανοῶ.

52a ΣΩ. Ἔτι δὴ τοίνυν τούτοις προσθῶμεν τὰς περὶ τὰ μαθήματα ἡδονάς, εἰ ἄρα δοκοῦσιν ἡμῖν αὗται πείνας μὲν μὴ ἔχειν τοῦ μανθάνειν μηδὲ διὰ μαθημάτων πείνην ἀλγηδόνας ἐξ ἀρχῆς γενομένας.

ΠΡΩ. Ἀλλ' οὕτω ξυνδοκεῖ. 10

ΣΩ. Τί δαί; μαθημάτων πληρωθεῖσιν ἐὰν ὕστερον ἀποβολαὶ διὰ τῆς λήθης γίγνωνται, καθορᾷς τινὰς ἐν αὐταῖς ἀλγηδόνας;

ΠΡΩ. Οὔ τι φύσει γε, ἀλλ' ἔν τισι λογισμοῖς τοῦ παθήματος, ὅταν τις στερηθεὶς λυπηθῇ διὰ τὴν χρείαν.

ΣΩ. Καὶ μήν, ὦ μακάριε, νῦν γε ἡμεῖς αὐτὰ τὰ τῆς φύσεως μόνον παθήματα χωρὶς τοῦ λογισμοῦ διαπεραίνομεν.

ΠΡΩ. Ἀληθῆ τοίνυν λέγεις, ὅτι χωρὶς λύπης ἡμῖν λήθη γίγνεται ἑκάστοτε ἐν τοῖς μαθήμασιν. 20

ΣΩ. Ταύτας τοίνυν τὰς τῶν μαθημάτων ἡδονὰς ἀμίκτους τε εἶναι λύπαις ῥητέον καὶ οὐδαμῶς τῶν πολλῶν ἀνθρώπων ἀλλὰ τῶν σφόδρα ὀλίγων.

ΠΡΩ. Πῶς γὰρ οὐ ῥητέον;

num est, quod autem ipsis necessarii dolores nequaquam miscentur, et ubicunque et in quocunque id inesse contingit, hoc illis omne oppositum ponerem. Atque ita duas voluptatum species, modo intelligas, collegimus. *Pro.* Intelligo. *So.* Istis item disciplinarum voluptates addamus: si et istae famem discendi nequaquam continere videntur, neque propter disciplinarum aviditatem a principio dolores inferre. *Pro.* Assentior. *So.* Quid vero, si quis doctrina imbutus, inde obliviscatur, nonne tristitiam quandam sequi vides? *Pro.* Non natura quidem: sed quadam passionis cogitatione, cum quis orbatus propter indigentiam tristatur. *So.* Ceterum, o beate, nos in praesentia non opinionis, sed naturae passiones tractamus. *Pro.* Vere asseris, quod doctrinae oblivio absque tristitia fiat. *So.* Voluptates igitur disciplinarum, doloris expertes, nec multorum hominum, sed paucorum admodum esse fatendum. *Pro.* Fatendum procul dubio.

ΣΩ. Οὐκοῦν ὅτε μετρίως ἤδη διακεκρίμεθα χωρὶς τάς τε καθαρὰς ἡδονὰς καὶ τὰς σχεδὸν ἀκαθάρτους ὀρθῶς ἂν λεχθείσας, προσθῶμεν τῷ λόγῳ, ταῖς μὲν σφοδραῖς ἡδοναῖς ἀμετρίαν, ταῖς δὲ μὴ τοὐναντίον ἐμμετρίαν· καὶ τὸ μέγα καὶ τὸ σφοδρὸν αὖ, καὶ πολλάκις καὶ ὀλιγάκις γιγνομένας τοιαύτας, τῆς τοῦ ἀπείρου γ' ἐκείνου καὶ ἧττον καὶ μᾶλλον διά τε σώματος καὶ ψυχῆς φερομένου προσθῶμεν αὐταῖς εἶναι γένους, τὰς δὲ μὴ τῶν ἐμμέτρων.

ΠΡΩ. Ὀρθότατα λέγεις, ὦ Σώκρατες.

ΣΩ. Ἔτι τοίνυν πρὸς τούτοις μετὰ ταῦτα τόδε αὐτῶν διαθετέον.

ΠΡΩ. Τὸ ποῖον;

ΣΩ. Τί ποτε χρὴ φάναι πρὸς ἀλήθειαν εἶναι τὸ καθαρόν τε καὶ εἰλικρινὲς ἢ τὸ σφόδρα τε καὶ τὸ πολὺ καὶ τὸ μέγα καὶ τὸ ἱκανόν;

ΠΡΩ. Τί ποτ' ἄρ', ὦ Σώκρατες, ἐρωτᾷς βουλόμενος;

ΣΩ. Μηδέν, ὦ Πρώταρχε, ἐπιλείπειν ἐλέγχων ἡδονῆς τε καὶ ἐπιστήμης, εἰ τὸ μὲν ἆρ' αὐτῶν ἑκατέρου καθαρόν ἐστι, τὸ δ' οὐ καθαρόν, ἵνα καθαρὸν ἑκάτερον ἰὸν εἰς τὴν κρίσιν ἐμοὶ καὶ σοὶ καὶ ξυνάπασι τοῖσδε ῥᾴω παρέχῃ τὴν κρίσιν.

So. Postquam voluptates puras ab impuris secrevimus, addenda est iam vehementibus voluptatibus immoderatio, remissioribus moderatio. easque etiam, quae intensius, remissius, magnum, parvum, raro, crebro suscipiunt, ad infiniti genus, quod per animam corpusque secundum magis minusve discurrit, referre decet: quae vero ista non capiunt, ad commensurati genus potius referendae. *Pro.* Recte inquis, o Socrates. *So.* Post haec id insuper circa voluptates instituendum. *Pro.* Quid istud? *So.* Utrum dicendum sit conferre ad veritatem purum ipsum atque sincerum, an vehemens, multum, magnum, sufficiens? *Pro.* Quid tibi vis, dum ista rogas, o Socrates? *So.* Nihil, o Protarche, in ipsa disceptatione voluptatis et scientiae praetermittere vellem: siquidem utriusque illorum portio quaedam pura, quaedam impura est: ut utrumque purum in iudicium veniens et mihi et tibi et istis denique cunctis ad iudicandum se apertum expeditumque praebeat.

ΠΡΩ. Ὀρθότατα.

ΣΩ. Ἴθι δή, περὶ πάντων, ὅσα καθαρὰ γένη λέγομεν, οὕτωσὶ διανοηθῶμεν· προελόμενοι πρῶτον. αὖ-
3 τῶν ἕν τι διασκοπῶμεν.

ΠΡΩ. Τί οὖν προελώμεθα;

ΣΩ. Τὸ λευκὸν ἐν τοῖς πρῶτον, εἰ βούλει, θεασώμεθα γένος.

ΠΡΩ. Πάνυ μὲν οὖν.

ΣΩ. Πῶς οὖν ἂν λευκοῦ καὶ τίς καθαρότης ἡμῖν εἴη; πότερα τὸ μέγιστόν τε καὶ πλεῖστον ἢ τὸ ἀκρα- 10
τέστατον, ἐν ᾧ χρώματος μηδεμία μοῖρα ἄλλη μηδενὸς ἂν εἴη;

ΠΡΩ. Δῆλον ὅτι τὸ μάλιστ' εἰλικρινὲς ὄν.

ΣΩ. Ὀρθῶς. ἆρ' οὖν οὐ τοῦτο ἀληθέστατον, ὦ Πρώταρχε, καὶ ἅμα δὴ κάλλιστον τῶν λευκῶν πάντων θήσομεν, ἀλλ' οὐ τὸ πλεῖστον οὐδὲ τὸ μέγιστον;

ΠΡΩ. Ὀρθότατά γε.

ΣΩ. Σμικρὸν ἄρα καθαρὸν λευκὸν μεμιγμένου πολλοῦ λευκοῦ λευκότερον ἅμα καὶ κάλλιον καὶ ἀληθέστερον ἐὰν φῶμεν γίγνεσθαι, παντάπασιν ἐροῦμεν ὀρθῶς. 20

ΠΡΩ. Ὀρθότατα μὲν οὖν.

ΣΩ. Τί οὖν; οὐ δή που πολλῶν δεησόμεθα παραδειγμάτων τοιούτων ἐπὶ τὸν τῆς ἡδονῆς περὶ λόγον, ἀλλ' ἀρκεῖ νοεῖν ἡμῖν αὐτόθεν, ὡς ἄρα καὶ ξύμπασα

Pro. Scite. *So.* Age igitur de omnibus, quae genera pura vocamus, in hunc modum cogitemus, unum aliquod ex illis primum in medium inducentes. *Pro.* Quid potissimum eliciemus? *So.* Album, si vis, primo genus consideremus. *Pro.* Volo equidem. *So.* Quomodo ita albi, et quae puritas erit? Utrum quod maximum quiddam est ac plurimum? an quod ita sincerum, ut nihil in eo coloris alterius insit? *Pro.* Constat plane, quod praecipue sincerum est. *So.* Probe. nonne hoc verissimum, o Protarche, et pulcherrimum alborum omnium affirmabimus, non autem quod plurimum aut maximum? *Pro.* Recte. *So.* Si ergo quod parvum purumque album est, mixto multoque albo albius pulchriusque et verius esse dicamus, recte penitus asseremus? *Pro.* Recte procul dubio. *So.* Nunquid exemplis huiusmodi pluribus ad iudicandam voluptatem egebimus? an potius hinc nosse sufficiet, quod universa voluptas parva quam ma-

ἡδονὴ σμικρὰ μεγάλης καὶ ὀλίγη πολλῆς καθαρὰ λύπης ἡδίων καὶ ἀληθεστέρα καὶ καλλίων γίγνοιτ' ἄν.

ΠΡΩ. Σφόδρα μὲν οὖν, καὶ τό γε παράδειγμα ἱκανόν.

ΣΩ. Τί δὲ τὸ τοιόνδε; ἆρα περὶ ἡδονῆς οὐκ ἀκηκόαμεν ὡς ἀεὶ γένεσίς ἐστιν, οὐσία δὲ οὐκ ἔστι τὸ παράπαν ἡδονῆς; κομψοὶ γὰρ δή τινες αὖ τοῦτον τὸν λόγον ἐπιχειροῦσι μηνύειν ἡμῖν, οἷς δεῖ χάριν ἔχειν.

ΠΡΩ. Τί δή;

ΣΩ. Διαπεραναῦμαί σοι τοῦτ' αὐτὸ ἐπανερωτῶν, ὦ Πρώταρχε φίλε.

ΠΡΩ. Λέγε καὶ ἐρώτα μόνον.

ΣΩ. Ἐστὸν δή τινε δύο, τὸ μὲν αὐτὸ καθ' αὑτό, τὸ δὲ ἀεὶ ἐφιέμενον ἄλλου.

ΠΡΩ. Πῶς τοῦτο καὶ τίνε λέγεις;

ΣΩ. Τὸ μὲν σεμνότατον ἀεὶ πεφυκός, τὸ δ' ἐλλιπὲς ἐκείνου.

ΠΡΩ. Λέγ' ἔτι σαφέστερον.

ΣΩ. Παιδικά που καλὰ κἀγαθὰ τεθεωρήκαμεν ἅμα καὶ ἐραστὰς ἀνδρείους αὐτῶν.

ΠΡΩ. Σφόδρα γε.

ΣΩ. Τούτοις τοίνυν ἐοικότα δυοῖν οὖσι δεῖ ἄλλα ζήτει κατὰ πάνθ' ὅσα λέγομεν εἶναι τὸ τρίτον ἑτέρῳ.

ΠΡΩ. Λέγε σαφέστερον, ὦ Σώκρατες, ὅ τι λέγεις.

gna, pauca quam multa, modo a dolore remota sit, suavior est et verior ac denique pulchrior? *Pro.* Exemplum id unicum sat est. *So.* Quid vero ad hoc? an audivimus, voluptatis quidem generationem semper, essentiam vero nunquam exsistere? modesti enim quidam et faceti viri hoc ferunt, eisque gratia habenda est. *Pro.* Quid tum? *So.* Visne id interrogando percurram? *Pro.* Dic, et interroga modo. *So.* Sunt igitur duo quaedam; unum quidem secundum seipsum, alterum semper aliud appetens. *Pro.* Qua ratione? et quae ista esse dicis? *So.* Hoc suapte natura summopere venerandum; illud vero deficiens. *Pro.* Exprime clarius. *So.* Vidimus saepenumero pulchra quaedam bonaque obiecta, et quosdam insuper, qui ea nimium affectarent. *Pro.* Vidimus. *So.* Istis ergo duobus exsistentibus; duo quaedam alia consimilia quaere, per omnia quaecunque dicimus alteri tertium esse. *Pro.* Profer obsecro, Socrates, clarius adhuc, quod sentis.

ΣΩ. Οὐδέν τι ποικίλον, ὦ Πρώταρχε· ἀλλ' ὁ λόγος ἐρεσχελεῖ νῷν, λέγει δ' ὅτι τὸ μὲν ἕνεκά του τῶν ὄντων ἔστ' ἀεί, τὸ δ' οὗ χάριν ἑκάστοτε τὸ τινὸς ἕνεκα γιγνόμενον ἀεὶ γίγνεται.

ΠΡΩ. Μόγις ἔμαθον διὰ τὸ πολλάκις λεχθῆναι.

54 ΣΩ. Τάχα δ' ἴσως, ὦ παῖ, μᾶλλον μαθησόμεθα προελθόντος τοῦ λόγου.

ΠΡΩ. Τί γὰρ οὔ;

ΣΩ. Δύο δὴ τάδε ἕτερα λάβωμεν.

ΠΡΩ. Ποῖα;

ΣΩ. Ἓν μέν τι γένεσιν πάντων, τὴν δὲ οὐσίαν ἕτερον ἕν.

ΠΡΩ. Δύ' ἀποδέχομαί σου ταῦτα, οὐσίαν καὶ γένεσιν.

ΣΩ. Ὀρθότατα. πότερον οὖν τούτων ἕνεκα ποτέρου, τὴν γένεσιν οὐσίας ἕνεκα φῶμεν ἢ τὴν οὐσίαν εἶναι γενέσεως ἕνεκα;

ΠΡΩ. Τοῦτο ὃ προσαγορεύεται οὐσία, εἰ γενέσεως ἕνεκα τοῦτ' ἔστιν ὅ πέρ ἐστι, νῦν πυνθάνει;

ΣΩ. Φαίνομαι.

ΠΡΩ. Πρὸς θεῶν ἆρ' ἂν ἐπανερωτᾷς με;

ΣΩ. Τοιόνδε τι λέγω, ὦ Πρώταρχέ μοι, πότερα πλοίων ναυπηγίαν ἕνεκα φῆς γίγνεσθαι μᾶλλον ἢ πλοῖα

So. Nihil varium, o Protarche: sed iocamur. Dicimus autem, quod ex iis quae sunt, aliquid semper est alterius gratia: aliquid vero, cuius gratia semper id, quod alterius gratia fit, efficitur. *Pro.* Vix tandem ob crebram repetitionem percepi. *So.* Forte etiam procedente disputatione clarius comprehendemus. *Pro.* Quidni? *So.* Duo haec altera iterum assumamus. *Pro.* Quaenam? *So.* Alterum quidem omnium generationem, essentiam alterum. *Pro.* Equidem duo haec abs te accipio, essentiam et generationem. *So.* Recte. Utrum autem horum alterius gratia dicimus? generationemne essentiae gratia? vel essentiam, in quantum essentia nuncupatur, hoc est secundum id quod existit, gratia generationis? An percipis? *Pro.* Videor. Sed per deos quid me interrogas? *So.* Eiusmodi aliquid, o Protarche, interrogo, num fabricatio navium navigli gratia sit? an contra

ἕνεκα ναυπηγίας; καὶ πάνθ' ὁπόσα τοιαῦτ' ἐστί, λέγω τοῦτ' αὐτό, ὦ Πρώταρχε.

ΠΡΩ. Τί οὖν οὐκ αὐτὸς ἀπεκρίνω σαυτῷ, ὦ Σώκρατες;

ΣΩ. Οὐδὲν ὅ τι οὔ· σὺ μέντοι τοῦ λόγου συμμέτεχε.

ΠΡΩ. Πάνυ μὲν οὖν.

ΣΩ. Φημὶ δὴ γενέσεως μὲν ἕνεκα φάρμακά τε καὶ πάντα ὄργανα καὶ πᾶσαν ὕλην παρατίθεσθαι πᾶσιν, ἑκάστην δὲ γένεσιν ἄλλην ἄλλης οὐσίας τινὸς ἑκάστης ἕνεκα γίγνεσθαι, ξύμπασαν δὲ γένεσιν οὐσίας ἕνεκα γίγνεσθαι ξυμπάσης.

ΠΡΩ. Σαφέστατα μὲν οὖν.

ΣΩ. Οὐκοῦν ἡδονή γε, εἴ περ γένεσίς ἐστιν, ἕνεκά τινος οὐσίας ἐξ ἀνάγκης γίγνοιτ' ἄν.

ΠΡΩ. Τί μήν;

ΣΩ. Τό γε μὴν οὗ ἕνεκα τὸ ἕνεκά του γιγνόμενον ἀεὶ γίγνοιτ' ἄν, ἐν τῇ τοῦ ἀγαθοῦ μοίρᾳ ἐκεῖνό ἐστι· τὸ δὲ τινὸς ἕνεκα γιγνόμενον εἰς ἄλλην, ὦ ἄριστε, μοῖραν θετέον.

ΠΡΩ. Ἀναγκαιότατον.

ΣΩ. Ἆρ' οὖν ἡδονή γε εἴ περ γένεσίς ἐστιν, εἰς ἄλλην ἢ τὴν τοῦ ἀγαθοῦ μοῖραν αὐτὴν τιθέντες ὀρθῶς θήσομεν;

navigium fabricationis navium? et de omnibus, quaecunque talia sunt, idem dico. *Pro.* Cur non ipse, o Socrates, tibi ipsi respondes? *So.* Nihil prohibet. attamen tu quoque concurre. *Pro.* Immo. *So.* Generationis gratia inquam, pharmaca et organa omnia omnemque materiam omnibus adhiberi: singulas autem generationes singularum essentiarum, universam denique universae essentiae gratia. *Pro.* Perspicue admodum. *So.* Nonne et voluptas, si quidem generatio est, alicuius essentiae gratia necessario fiet? *Pro.* Quidni? *So.* Quod tale est, ut eius gratia fiat, quod semper alterius gratia fit, in boni sorte locatur: quod vero alterius gratia, in aliam sortem, o vir optime, reducendum videtur. *Pro.* Necessarium id omnino. *So.* Quamobrem si voluptas generatio est, ad aliam quam boni sortem merito referemus.

ΠΡΩ. Ὀρθότατα μὲν οὖν.

ΣΩ. Οὐκοῦν, ὃ περ ἀρχόμενος εἶπον τούτου τοῦ λόγου, τῷ μηνύσαντι τῆς ἡδονῆς πέρι τὸ γένεσιν μέν, οὐσίαν δὲ μηδ' ἡντινοῦν αὐτῆς εἶναι, χάριν ἔχειν δεῖ. δῆλον γὰρ ὅτι οὗτος τῶν φασκόντων ἡδονὴν ἀγαθὸν εἶναι καταγελᾷ.

ΠΡΩ. Σφόδρα γε.

ΣΩ. Καὶ μὴν ὁ αὐτὸς οὗτος ἑκάστοτε καὶ τῶν ἐν ταῖς γενέσεσιν ἀποτελουμένων καταγελάσεται.

ΠΡΩ. Πῶς δὴ καὶ ποίων λέγεις;

ΣΩ. Τῶν ὅσοι ἐξιώμενοι ἢ πείνην ἢ δίψαν ἤ τι τῶν τοιούτων, ὅσα γένεσις ἐξιᾶται, χαίρουσι διὰ τὴν γένεσιν ἅτε ἡδονῆς οὔσης αὐτῆς, καί φασι ζῆν οὐκ ἂν δέξασθαι μὴ διψῶντές τε καὶ πεινῶντες καὶ τἆλλα, ἅ τις ἂν εἴποι, πάντα τὰ ἑπόμενα τοῖς τοιούτοις παθήμασι μὴ πάσχοντες.

ΠΡΩ. Ἔοικασι γοῦν.

ΣΩ. Οὐκοῦν τῷ γίγνεσθαί γε τοὐναντίον ἅπαντες τὸ φθείρεσθαι φαῖμεν ἄν.

ΠΡΩ. Ἀναγκαῖον.

ΣΩ. Τὴν δὴ φθορὰν καὶ γένεσιν αἱροῖτ' ἂν ὑ τοῦθ' αἱρούμενος, ἀλλ' οὐ τὸν τρίτον ἐκεῖνον βίον, τὸν ἐν ᾧ μήτε χαίρειν μήτε λυπεῖσθαι, φρονεῖν δ' ἦν [δυνατὸν] ὡς οἷόν τε καθαρώτατα.

Pro. Merito certe. *So.* Nonne, ut in principio disputationis huius praedixi, dicenti, voluptatis quidem generationem, essentiam vero nullam exsistere, habenda gratia est? constat enim hunc voluptatem bonum praedicantes penitus derisurum. *Pro.* Magnopere. *So.* Quin etiam iste idem eos, qui generationi impensius student, ridebit atque despiciet. *Pro.* Quo pacto, et quales ais? *So.* Eos, qui dum famem sitimque restinguunt, vel aliquid aliud ex iis, quae generatio curat ac sedat, generatione laetantur, quasi ipsa voluptas sit: aiuntque, vitam se minime electuros, nisi sitiant et esuriant, atque aliis quae ista sequuntur, afficiantur. *Pro.* Videntur sane. *So.* Eius autem quod fieri est, contrarium, destrui ipsum cuncti fatemur. *Pro.* Necessario. *So.* Corruptionem generationemque eligit, quisquis haec expetit: non autem tertiam illam vitam, quam et laetitia et tristitia vacuam, intelligentiae vero, quoad fieri potest, purissime compotem proposuimus.

ΠΡΩ. Πολλή τις, ὡς ἔοικεν, ὦ Σώκρατες, ἀλογία ξυμβαίνει γίγνεσθαι, ἐάν τις τὴν ἡδονὴν ὡς ἀγαθὸν ἡμῖν τιθῆται.

ΣΩ. Πολλή, ἐπεὶ καὶ τῇδε ἔτι λέγωμεν.

ΠΡΩ. Πῇ;

ΣΩ. Πῶς οὐκ ἄλογόν ἐστι μηδὲν ἀγαθὸν εἶναι μηδὲ καλὸν μήτε ἐν σώμασι μήτ' ἐν πολλοῖς ἄλλοις πλὴν ἐν ψυχῇ, καὶ ἐνταῦθα ἡδονὴν μόνον, ἀνδρίαν δὲ ἢ σωφροσύνην ἢ νοῦν ἤ τι τῶν ἄλλων ὅσ' ἀγαθὰ εἴληχε ψυχή, μηδὲν τοιοῦτον εἶναι; πρὸς τούτοις δὲ ἔτι τὸν μὴ χαίροντα, ἀλγοῦντα δὲ ἀναγκάζεσθαι φάναι κακὸν εἶναι τότε ὅταν ἀλγῇ, κἂν ᾖ ἄριστος πάντων, καὶ τὸν χαίροντα αὖ, ὅσῳ μᾶλλον χαίρει, τότε ὅταν χαίρῃ, τοσούτῳ διαφέρειν πρὸς ἀρετήν.

ΠΡΩ. Πάντ' ἐστὶ ταῦτα, ὦ Σώκρατες, ὡς δυνατὸν ἀλογώτατα.

ΣΩ. Μὴ τοίνυν ἡδονῆς μὲν πάντως ἐξέτασιν πᾶσαν ἐπιχειρῶμεν ποιήσασθαι, νοῦ δὲ καὶ ἐπιστήμης οἷον φειδόμενοι σφόδρα φανῶμεν· γενναίως δέ, εἴ πῃ τι σαθρὸν ἔχει, πᾶν περικρούωμεν, ἕως ὅ τι καθαρώτατόν ἐστ' αὐτῶν φύσει, τοῦτο κατιδόντες εἰς τὴν κρίσιν χρώμεθα τὴν κοινὴν τοῖς τε τούτων καὶ τοῖς τῆς ἡδονῆς μέρεσιν ἀληθεστάτοις.

Pro. A ratione procul, o Socrates, erit, quicunque voluptatem nobis bonum asseverabit. *So.* Procul admodum: quandoquidem et hac praeterea ratione ostendere licet. *Pro.* Qua? *So.* Cur enim non absurdum sit, cum nihil bonum decorumve sit, sive in corpore, sive in aliis ullis, praeterquam in anima, in ea tamen solummodo voluptatem bonum vocare: fortitudinem vero, temperantiam, intelligentiam, ac reliqua, quaecunque bona sortitus est animus, minime? Ac praeterea hominem voluptatis expertem, dolore vero affectum, malum tunc, dum dolet, asserere, licet omnium optimus sit: et eum contra, qui voluptatibus delinitur, quo magis gaudit, eo virtute praestantiorem dicere? *Pro.* Haec, o Socrates, omnia supra quam dici possit, absurda sunt. *So.* Ne tamen voluptatis universae examinationem penitus persequi, mentem vero et scientiam praetermittere videamur: age iam, si quid sordidum adiacet illis, excutiamus, donec ad purissimam eorum naturam denique penetrantes, et ipsam inspicientes, ad ipsum iudicium tum horum, tum voluptatis partibus verissimis, uti possimus.

ΠΡΩ. Ὀρθῶς.

ΣΩ. Οὐκοῦν ἡμῖν τὸ μέν, οἶμαι, δημιουργικόν ἐστι τῆς περὶ τὰ μαθήματα ἐπιστήμης, τὸ δὲ περὶ παιδείαν καὶ τροφήν; ἢ πῶς;

ΠΡΩ. Οὕτως.

ΣΩ. Ἐν δὴ ταῖς χειροτεχνικαῖς διανοηθῶμεν πρῶτα εἰ τὸ μὲν ἐπιστήμης αὐτῶν μᾶλλον ἐχόμενον, τὸ δὲ ἧττον ἔνι, καὶ δεῖ τὰ μὲν ὡς καθαρώτατα νομίζειν, τὰ δ' ὡς ἀκαθαρτότερα.

ΠΡΩ. Οὐκοῦν χρή.

ΣΩ. Τὰς τοίνυν ἡγεμονικὰς διαληπτέον ἑκάστων αὐτῶν χωρίς;

ΠΡΩ. Ποίας καὶ πῶς;

ΣΩ. Οἷον πασῶν που τεχνῶν ἄν τις ἀριθμητικὴν χωρίζῃ καὶ μετρητικὴν καὶ στατικήν, ὡς ἔπος εἰπεῖν φαῦλον τὸ καταλειπόμενον ἑκάστης ἂν γίγνοιτο.

ΠΡΩ. Φαῦλον μὲν δή.

ΣΩ. Τὸ γοῦν μετὰ ταῦτ' εἰκάζειν λείποιτ' ἄν καὶ τὰς αἰσθήσεις καταμελετᾶν ἐμπειρίᾳ καί τινι τριβῇ, ταῖς τῆς στοχαστικῆς προσχρωμένους δυνάμεσιν, ἃς πολ-
56 λοὶ τέχνας ἐπονομάζουσι, μελέτῃ καὶ πόνῳ τὴν ῥώμην ἀπειργασμένας.

ΠΡΩ. Ἀναγκαιότατα λέγεις.

ΣΩ. Οὐκοῦν μεστὴ μέν που μουσικὴ πρῶτον, τὸ

Pro. Scite. *So.* Nonne aliud nobis scientiam circa doctrinas, aliud circa educationem vel nutritionem exhibet? *Pro.* Sic est. *So.* In iis facultatibus primum, quae manibus utuntur, investigemus, utrum in illis aliquid secundum scientiam magis, aliud minus insit: oporteatque aliquid purissimum, impurius aliquid arbitrari. *Pro.* Decet profecto. *So.* Praecipuas utique ex singulis discernendum. *Pro.* Quales, et quo pacto? *So.* Ut ecce si quis ab omnibus artibus segregaret numerandi dimetiendique et ponderandi peritiam, vile quiddam, ut ita dicam, esset, quae uniuscuiusque restaret. *Pro.* Vile profecto. *So.* Residuum quippe imaginatione quadam ac sensuum experientia et exercitatione coniecturisque incederet, quas plerique artes vocant, cum et labore vim adeptas. *Pro.* Necessaria prorsus inducis. An non ubi musica iis plena est, concentum primo contu

ξύμφωνον ἁρμόττουσα οὐ μέτρῳ ἀλλὰ μελέτης στοχασμῷ· καὶ ξύμπασα αὐτῆς αὐλητική, τὸ μέτρον ἑκάστης χορδῆς τῷ στοχάζεσθαι φερομένης θηρεύουσα, ὥστε πολὺ μεμιγμένον ἔχειν τὸ μὴ σαφές, σμικρὸν δὲ τὸ βέβαιον.

ΠΡΩ. Ἀληθέστατα.

ΣΩ. Καὶ μὴν ἰατρικήν τε καὶ γεωργίαν καὶ κυβερνητικὴν καὶ στρατηγικὴν ὡσαύτως εὑρήσομεν ἐχούσας.

ΠΡΩ. Καὶ πάνυ γε.

ΣΩ. Τεκτονικὴν δέ γε, οἶμαι, πλείστοις μέτροις τε καὶ ὀργάνοις χρωμένην, τὰ πολλὴν ἀκρίβειαν αὐτῇ πορίζοντα τεχνικωτέραν τῶν πολλῶν ἐπιστημῶν παρέχεται.

ΠΡΩ. Πῇ;

ΣΩ. Κατά τε ναυπηγίαν καὶ κατ' οἰκοδομίαν καὶ ἐν πολλοῖς ἄλλοις τῆς ξυλουργικῆς. κανόνι γάρ, οἶμαι, καὶ τόρνῳ χρῆται καὶ διαβήτῃ καὶ στάθμῃ καί τινι προσαγώγίῳ κεκομψευμένῳ.

ΠΡΩ. Καὶ πάνυ γε, ὦ Σώκρατες, ὀρθῶς λέγεις.

ΣΩ. Θῶμεν τοίνυν διχῇ τὰς λεγομένας τέχνας, τὰς μὲν μουσικῇ ξυνεπομένας ἐν τοῖς ἔργοις ἐλάττονος ἀκριβείας μετισχούσας, τὰς δὲ τεκτονικῇ πλείονος.

ΠΡΩ. Κείσθω.

perat non mensura, sed diligentiae potius coniectura: et universa eius pulsandi facultas mensuram chordae cuiusque coniectura motae perquirit. adeo ut obscuritatem plurimam mixtam habeat, stabilitatem vero perpaucam. *Pro.* Verissime. *So.* Quin etiam medicinam, agriculturam, gubernatoriam, militarem, similiter institutas esse reperiemus. *Pro.* Quam maxime. *So.* Architecturam vero mensurae plurimae et instrumenta, quibus frequentius utitur, ut perspicacem maxime, ita maxime prae multis facultatibus artificiosam efficiunt. *Pro.* Quonam pacto? *So.* In ipsa profecto navium et domorum constructione, multisque aliis ad lignarium fabrum quodammodo pertinentibus, utitur amussi regulaque, torno, circino, filo, perpendiculo, instrumento quoque ad dirigenda ligna idoneo. *Pro.* Recte admodum, o Socrates, inquis. *So.* Ponamus igitur eas quae dicuntur artes, in ordine duplici: musicam quidem in operibus sectantes, perspicaciae minoris participes: architecturae vero pedissequas aliquanto maioris. *Pro.* Ponamus.

ΣΩ. Τούτων δὲ ταύτας ἀκριβεστάτας εἶναι τέχνας, ἃς νῦν δὴ πρώτας εἴπομεν.

ΠΡΩ. Ἀριθμητικὴν φαίνει μοι λέγειν καὶ ὅσας μετὰ ταύτης τέχνας ἐφθέγξω νῦν δή.

ΣΩ. Πάνυ μὲν οὖν. ἀλλ', ὦ Πρώταρχε, ἆρ' οὐ διττὰς αὖ καὶ ταύτας λεκτέον; ἢ πῶς;

ΠΡΩ. Ποίας δὴ λέγεις;

ΣΩ. Ἀριθμητικὴν πρῶτον ἆρ' οὐκ ἄλλην μέν τινα τὴν τῶν πολλῶν φατέον, ἄλλην δ' αὖ τὴν τῶν φιλοσοφούντων;

ΠΡΩ. Πῇ ποτὲ διορισάμενος οὖν ἄλλην, τὴν δὲ ἄλλην θείη τις ἂν ἀριθμητικήν;

ΣΩ. Οὐ σμικρὸς ὅρος, ὦ Πρώταρχε. οἱ μὲν γάρ που μονάδας ἀνίσους καταριθμοῦνται τῶν περὶ ἀριθμόν, οἷον στρατόπεδα δύο καὶ βοῦς δύο καὶ δύο τὰ σμικρότατα ἢ καὶ τὰ πάντων μέγιστα· οἱ δ' οὐκ ἄν ποτε αὐτοῖς συνακολουθήσειαν, εἰ μὴ μονάδα μονάδος ἑκάστης τῶν μυρίων μηδεμίαν ἄλλην ἄλλης διαφέρουσάν τις θήσει.

ΠΡΩ. Καὶ μάλα γ' εὖ λέγεις οὐ σμικρὰν διαφορὰν τῶν περὶ ἀριθμὸν τεινταζόντων, ὥστε λόγον ἔχειν δύ' αὐτὰς εἶναι.

ΣΩ. Τί δὲ λογιστικὴ καὶ μετρητικὴ ἢ κατὰ τεκτο-

So. Harum omnium perspicacissimas, quas paulo ante primas vocavimus. *Pro.* Numerandi peritiam, et quas cum illa supra iunxisti, innuere nunc mihi videris. *So.* Prorsus. sed num, o Protarche, has iterum duplices affirmare, an aliter debemus? *Pro.* Quas inquis? *So.* Arithmeticam primo, nonne aliam vulgarium, aliam philosophantium? *Pro.* Quanam ratione quis partiens, aliam atque aliam arithmeticam asseret? *So.* Haud exigua discrepantia, o Protarche. Illi porro unitates inaequales eorum quae secundum numerum sunt, dinumerant, veluti duos exercitus, boves duos, duo quae minima, duo etiam quae maxima: hi vero nunquam eos sequerentur. nisi quis partium unitatem aliam ab alia unitate nullo discrepantem posuerit. *Pro* Quam optime loqueris, dum multam infers diversitatem eorum qui circa numerum versantur: adeo ut decens sit, in duo quae dam dividere. *So.* Quid vero computandi et dimetiendi secun

νεκὴν καὶ κατ' ἐμπορικὴν τῆς κατὰ φιλοσοφίαν γεωμετρίας τε καὶ λογισμῶν καταμελετωμένων; πότερον ὡς 57
μίαν ἑκατέρα λεκτέον ἢ δύο τιθῶμεν;

ΠΡΩ. Τοῖς πρόσθ' ἑπόμενος ἔγωγ' ἂν δύο κατὰ τὴν ἐμὴν ψῆφον τιθείην ἑκατέραν τούτων.

ΣΩ. Ὀρθῶς. οὗ δ' ἕνεκα ταῦτα προηνεγκάμεθα εἰς τὸ μέσον, ἆρ' ἐννοεῖς;

ΠΡΩ. Ἴσως, ἀλλὰ σὲ βουλοίμην ἂν ἀποφήνασθαι τὸ νῦν ἐρωτώμενον.

ΣΩ. Δοκεῖ τοίνυν ἔμοιγε οὗτος ὁ λόγος οὐχ ἧττον ἢ ὅτε λέγειν αὐτὸν ἤρχόμεθα, ταῖς ἡδοναῖς ζητῶν ἀντίστροφον ἐνταῦθα προβεβηκέναι, σκοπῶν ἆρά ἐστί τις ἑτέρας ἄλλη καθαρωτέρα ἐπιστήμης ἐπιστήμη, καθάπερ ἡδονῆς ἡδονή.

ΠΡΩ. Καὶ μάλα σαφὲς τοῦτό γε, ὅτι ταῦθ' ἕνεκα τούτων ἐπικεχείρηκεν.

ΣΩ. Τί οὖν; ἆρ' οὐκ ἐν μὲν τοῖς ἔμπροσθεν ἐπ' ἄλλοις ἄλλην τέχνην οὖσαν ἀνευρίσκει σαφεστέραν καὶ ἀσαφεστέραν ἄλλης ἄλλην;

ΠΡΩ. Πάνυ μὲν οὖν.

ΣΩ. Ἐν τούτοις δὲ ἆρ' οὔ τινα τέχνην ὡς ὁμώνυμον φθεγξάμενος, εἰς δόξαν καταστήσας ὡς μιᾶς, πάλιν ὡς δυοῖν ἐπανερωτᾷ τοῦτοιν αὐτοῖν τὸ σαφὲς καὶ

dum architecturam mercaturamve facultas, itemque secundum philosophiam geometria ratiocinatioque diligens, utrum una quaedam, an duae potius artes? *Pro.* Priorem ego responsionem secutus, mea quidem sententia, duas esse ponerem. *So.* Probe. sed num intelligis, cuius gratia in medium haec induximus? *Pro.* Forsitan. attamen quod nunc quaesitum est, explanare te velim. *So.* Disputatio nostra, quae iamdiu proportionem quandam aequa divisionis conversione voluptatibus respondentem quaerit, videtur mihi nunc non minus, quam ab initio, assecuta fuisse quod quaerit, dum indagat, num sit scientia quaedam alia scientia purior, quemadmodum voluptate voluptas. *Pro.* Constat, horum gratia ista tractata fuisse. *So.* Quid autem, nonne in superioribus aliam artem in alia esse repertum est, clarioremque aliam, et obscuriorem aliam? *Pro.* Maxime. *So.* In iis autem an non artem quandam ratio velut aequivocam proferens, et quasi unam inuenta, rursus quasi duae sint, inqui-

τὸ καθαρὸν περὶ ταῦτα πότερον ἢ τῶν φιλοσοφούντων ἢ μὴ φιλοσοφούντων ἀκριβέστερον ἔχει;

ΠΡΩ. Καὶ μάλα δοκεῖ μοι τοῦτο διερωτᾶν.

ΣΩ. Τίν' οὖν, ὦ Πρώταρχε, αὐτῷ διδῶμεν ἀπόκρισιν;

ΠΡΩ. Ὦ Σώκρατες, εἰς θαυμαστὸν διαφορᾶς μέγεθος εἰς σαφήνειαν προεληλύθαμεν ἐπιστημῶν.

ΣΩ. Οὐκοῦν ἀποκρινούμεθα ῥᾷον;

ΠΡΩ. Τί μήν; καὶ εἰρήσθω γε ὅτι πολὺ μὲν αὗται τῶν ἄλλων τεχνῶν διαφέρουσι, τούτων δ' αὐτῶν αἱ περὶ τὴν τῶν ὄντως φιλοσοφούντων ὁρμὴν ἀμήχανον ἀκριβείᾳ τε καὶ ἀληθείᾳ περὶ μέτρα τε καὶ ἀριθμοὺς διαφέρουσιν.

ΣΩ. Ἔστω ταῦτα κατὰ σέ, καὶ σοὶ δὴ πιστεύοντες θαῤῥοῦντες ἀποκρινώμεθα τοῖς δεινοῖς περὶ λόγων ὑλικήν —

ΠΡΩ. Τὸ ποῖον;

ΣΩ. Ὡς εἰσὶ δύο ἀριθμητικαὶ καὶ δύο μετρητικαὶ καὶ ταύταις ἄλλαι τοιαῦται ξυνεπόμεναι συγγαί, τὴν διδυμότητα ἔχουσαι ταύτην, ὀνόματος δὲ ἑνὸς κεκοινωμέναι.

ΠΡΩ. Διδῶμεν τύχῃ ἀγαθῇ τούτοις, οὓς φῂς δεινοὺς εἶναι, ταύτην τὴν ἀπόκρισιν, ὦ Σώκρατες.

rit, num perspicuitas puritasque illarum penes philosophantes, aut non philosophantes, exsistat? *Pro.* Et maxime quidem id inquirere mihi videtur. *So.* Quale huic responsum, o Protarche, reddemus? *Pro.* O Socrates, ad miram scientiarum differentiam declarandam descendimus. *So.* An non responsio facilis? *Pro.* Quidni? asseramus itaque, has artes longo intervallo a ceteris discrepare. ab iis praeterea legitimorum philosophorum artes mirum in modum sinceritate et veritate circa mensuras numerosque differre. *So.* Sunto igitur ista ex tua sententia: nosque tibi credentes audacter importunis disputatoribus respondeamus. *Pro.* Quidnam? *So.* Duas arithmeticas esse ac duas metiendi artes, aliasque facultates harum comites plurimas, geminationem habentes huiusmodi, et in nomine uno communicantes. *Pro.* Demus secunda fortuna his, quos importunos vocasti, responsionem hanc, o Socrates.

ΣΩ. Ταύτας οὖν λέγομεν ἐπιστήμας ἀκριβεῖς μάλιστ' εἶναι;

ΠΡΩ. Πάνυ μὲν οὖν.

ΣΩ. Ἀλλ' ἡμᾶς, ὦ Πρώταρχε, ἀναίνοιτ' ἄν ἡ τοῦ διαλέγεσθαι δύναμις, εἴ τινα πρὸ αὐτῆς ἄλλην κρίναιμεν.

ΠΡΩ. Τίνα δὲ ταύτην αὖ δεῖ λέγειν; 58

ΣΩ. Δῆλον ὅτι ἣ πᾶσαν τὴν γε νῦν λεγομένην γνοίη. τὴν γὰρ περὶ τὸ ὂν καὶ τὸ ὄντως καὶ τὸ κατὰ ταὐτὸν ἀεὶ πεφυκὸς πάντως ἔγωγε οἶμαι ἡγεῖσθαι ξύμπαντας, ὅσοις νοῦ καὶ σμικρὸν προσήρτηται, μακρῷ ἀληθεστάτην εἶναι γνῶσιν. σὺ δὲ τί πῶς, ὦ Πρώταρχε, διακρίνοις ἄν;

ΠΡΩ. Ἤκουον μὲν ἔγωγε τοῦτ', ὦ Σώκρατες, ἑκάστοτε Γοργίου πολλάκις, ὡς ἡ τοῦ πείθειν πολὺ διαφέροι πασῶν τεχνῶν· πάντα γὰρ ὑφ' αὑτῇ δοῦλα δι' ἑκόντων ἀλλ' οὐ διὰ βίας ποιοῖτο, καὶ μακρῷ ἀρίστη πασῶν εἴη τῶν τεχνῶν· νῦν δ' οὔτε σοὶ οὔτε δὴ ἐκείνῳ βουλοίμην ἂν ἐναντία τίθεσθαι.

ΣΩ. Τὰ ὅπλα μοι δοκεῖς βουληθεὶς εἰπεῖν αἰσχυνθεὶς ἀπολιπεῖν.

ΠΡΩ. Ἔστω νῦν ταῦτα ταύτῃ, ὅπῃ σοι δοκεῖ.

ΣΩ. Ἆρ' οὖν αἴτιος ἐγὼ τοῦ μὴ καλῶς ὑπολαβεῖν σε;

ΠΡΩ. Τὸ ποῖον;

So. Hasne scientias quam maxime sinceras atque supremas asseveramus? *Pro.* Omnino. *So.* Veruntamen, o Protarche, nos disserendi facultas ipsa renueret, si quam ipsi aliam praeferremus. *Pro.* Quam rursus hanc dicere decet? *So.* Eam, quae omnem modo inductam peritiam noscit. hanc enim, cum circa id quod est et vere est et semper eodem modo se habet, versetur, arbitror omnes quibus modo aliquid sanae mentis adsit, longe omnium verissimam cognitionem esse protinus concessuros. Tu vero, o Protarche, quid sentis? *Pro.* Gorgiam saepe audivi dicentem, persuadendi facundiam artibus cunctis praecellere: quippe quae cuncta non vi, sed sponte sibi subiiciat; longeque omnium artium optima sit. Nunc vero nec tibi nec illi adversari velim. *So.* Arma mihi videris dicere voluisse, verum pudore adductus praetermisisse. *Pro.* Sunto haec, ut lubet. *So.* Egone in causa sum, ut minus bene acceperis? *Pro.* Quid?

ΣΩ. Οὐκ, ὦ φίλε Πρώταρχε, τοῦτ' ἔγωγε ἐζήτουν πω, τίς τέχνη ἢ τίς ἐπιστήμη πασῶν διαφέρει τῷ μεγίστη καὶ ἀρίστη καὶ πλεῖστα ὠφελοῦσα ἡμᾶς, ἀλλὰ τίς ποτε τὸ σαφὲς καὶ τἀκριβὲς καὶ τὸ ἀληθέστατον ἐπισκοπεῖ, κἂν ᾖ σμικρὰ καὶ σμικρὰ ὀνίνασα. τοῦτ' ἔστιν ὃ νῦν δὴ ζητοῦμεν. ἀλλ' ὅρα· οὐδὲ γὰρ ἀπεχθήσει Γοργίᾳ, τῇ μὲν ἐκείνου ὑπάρχειν τέχνῃ διδοὺς πρὸς χρείαν τοῖς ἀνθρώποις κρατεῖν, ἣ δ' εἶπον ἐγὼ νῦν πραγματείᾳ, καθά περ τοῦ λευκοῦ πέρι τότε ἔλεγον, κἂν εἰ σμικρόν, καθαρὸν δὲ εἴη, τοῦ πολλοῦ καὶ μὴ τοιούτου διαφέρειν τούτῳ γ' αὐτῷ τῷ ἀληθεστάτῳ, καὶ νῦν δὴ σφόδρα διανοηθέντες καὶ ἱκανῶς διαλογισάμενοι, μήτ' εἴς τινας ὠφελείας ἐπιστημῶν βλέψαντες μή τέ τινας εὐδοκιμίας, ἀλλ' εἴ τις πέφυκε τῆς ψυχῆς ἡμῶν δύναμις ἐρᾷν τε τοῦ ἀληθοῦς καὶ πάνθ' ἕνεκα τούτου πράττειν, ταύτην εἴπωμεν, διεξερευνησάμενοι τὸ καθαρὸν νοῦ τε καὶ φρονήσεως, εἰ ταύτην μάλιστα ἐκ τῶν εἰκότων ἐκτῆσθαι φαῖμεν ἂν ἢ τιν' ἑτέραν ταύτης κυριωτέραν ἡμῖν ζητητέον.

ΠΡΩ. Ἀλλὰ σκοπῶ, καὶ χαλεπόν, οἶμαι, συγχωρῆσαί τιν' ἄλλην ἐπιστήμην ἢ τέχνην τῆς ἀληθείας ἀντέχεσθαι μᾶλλον ἢ ταύτην.

So. Nondum, o amice Protarche, quae ars aut scientia omnes antecellat, eo quod maxima potissimaque et utilissima omnium, ex te quaesivi: verum quae perspicuum, sincerum, verissimum contempletur, quamvis parva sit ac minime utilis. hoc profecto est, quod modo quaerimus. At vide. nihil enim Gorgiam lacesses, si eius arti utilitatis laudem praestantiamque concedas, ei vero, quam ipse modo narravi, facultati veritatis praecellentiam tribuas: quemadmodum supra de albo dixeram, quod licet parvum, si tamen purum esset, multo et impuro secundum veritatis excessum praestaret. Et nunc quidem et sufficienter discutientes, ne respiciamus in ullas disciplinarum vel commendationes vel commoda: sed si qua ex natura sua vis animi veritatem amare inducit, eiusque gratia cuncta peragere, hanc diximus perscrutantes, puritate mentis et sapientiae, considerandum, an probabile sit, a disserendine scientia maxime possideri, vel aliam potius hac praestantiorem ista perquirere. *Pro.* Considero equidem, concedoque, difficile inveniri posse aliam vel artem vel scientiam veritati propinquiorem.

ΣΩ. Ἆρ' οὖν ἐννοήσας τὸ τοιόνδε εἴρηκας ὃ λέγεις νῦν, ὡς αἱ πολλαὶ τέχναι καὶ ὅσαι περὶ ταῦτα πεπόνηνται, πρῶτον μὲν δόξαις χρῶνται καὶ τὰ περὶ δόξας ζητοῦσι ξυντεταμένως; εἴτε καὶ περὶ φύσεως ἡγεῖταί τις ζητεῖν, οἴσθ' ὅτι τὰ περὶ τὸν κόσμον τόνδε, ὅπῃ τε γέγονε καὶ ὅπῃ πάσχει τι καὶ ὅπῃ ποιεῖ, ταῦτα ζητεῖ διὰ βίου; φαῖμεν ἂν ταῦτα, ἢ πῶς; 59

ΠΡΩ. Οὕτως.

ΣΩ. Οὐκοῦν οὐ περὶ τὰ ὄντα ἀεί, περὶ δὲ τὰ γιγνόμενα καὶ γενησόμενα καὶ γεγονότα ἡμῶν ὁ τοιοῦτος ἀνήρηται τὸν πόνον.

ΠΡΩ. Ἀληθέστατα.

ΣΩ. Τούτων οὖν τι σαφὲς ἂν φαῖμεν τῇ ἀκριβεστάτῃ ἀληθείᾳ γίγνεσθαι, ὧν μήτε ἔσχε μηδὲν πώποτε κατὰ ταὐτὰ μήθ' ἕξει μήτε εἰς τὸ νῦν παρὸν ἔχει;

ΠΡΩ. Καὶ πῶς;

ΣΩ. Περὶ οὖν τὰ μὴ κεκτημένα βεβαιότητα μηδ' ἡντινοῦν πῶς ἄν ποτε βέβαιον γίγνοιθ' ἡμῖν καὶ ὁτιοῦν;

ΠΡΩ. Οἶμαι μὲν οὐδαμῶς.

ΣΩ. Οὐδ' ἄρα νοῦς οὐδέ τις ἐπιστήμη περὶ αὐτά ἐστι τὸ ἀληθέστατον ἔχουσα.

ΠΡΩ. Οὔκουν εἰκός γε.

So. Nunquid tale quiddam cogitans, ista modo dixisti? quod videlicet artes multae, et quaecunque circa ista versantur, primo quidem opinionibus utuntur, et quae circa opiniones consistunt, ex instituto perquirunt: sive etiam quae ad naturam spectant, indaganda quis putet, puta quae circa mundum sunt, quomodo videlicet mundus factus est, quomodo patitur aliquid, quomodo agit, per omnem vitam scrutatur. fatemur haec, an non? *Pro.* Utique. *So.* Nec circa ea, quae semper exsistunt, sed quae fiebant fiuntque et fient iste versatur. *Pro.* Vera loqueris. *So.* Num ex iis, quae nunquam aut in praeterito aut futuro aut praesenti eodem modo se habent, aliquid exactissima veritate perspicuum esse dicemus? *Pro.* Non licet. *So.* Etenim in iis, quae nullam prorsus stabilitatem habent, quo pacto nos stabile quicquam assequeremur? *Pro.* Nulla, ut arbitror, ratione. *So.* Neque mens igitur, neque scientia ulla circa ista est, veritatem supremam habens. *Pro.* Consentaneum.

ΣΩ. Τὸν μὲν δὴ σὲ καὶ ἐμὲ καὶ Γοργίαν καὶ Φίληβον χρὴ συχνὰ χαίρειν ἐᾶν, τόδε δὲ διαμαρτύρασθαι τῷ λόγῳ.

ΠΡΩ. Τὸ ποῖον;

ΣΩ. Ὡς ἦ περὶ ἐκεῖνα ἔσθ' ἡμῖν τό τε βέβαιον καὶ τὸ καθαρὸν καὶ τὸ ἀληθὲς καὶ ὃ δὴ λέγομεν εἰλικρινὲς, περὶ τὰ ἀεὶ κατὰ τὰ αὐτὰ ὡσαύτως ἀμικτότατα ἔχοντα, ἢ δεύτερος ἐκείνων ὅ τι μάλιστά ἐστι ξυγγενές· τὰ δ' ἄλλα πάντα δευτερά τε καὶ ὕστερα λεκτέον.

ΠΡΩ. Ἀληθέστατα λέγεις.

ΣΩ. Τὰ δὴ τῶν ὀνομάτων περὶ τὰ τοιαῦτα κάλλιστα ἆρ' οὐ τοῖς καλλίστοις δικαιότατον ἀπονέμειν;

ΠΡΩ. Εἰκός γε.

ΣΩ. Οὐκοῦν νοῦς ἐστὶ καὶ φρόνησις ἃ γ' ἄν τις τιμήσειε μάλιστ' ὀνόματα;

ΠΡΩ. Ναί.

ΣΩ. Ταῦτ' ἄρα ἐν ταῖς περὶ τὸ ὂν ὄντως ἐννοίαις ἔστιν ἀπηκριβωμένα ὀρθῶς κείμενα καλεῖσθαι.

ΠΡΩ. Πάνυ μὲν οὖν.

ΣΩ. Καὶ μὴν ἃ γε εἰς τὴν κρίσιν ἐγὼ τότε παρεσχόμην, οὐκ ἄλλ' ἐστὶν ἢ ταῦτα τὰ ὀνόματα.

ΠΡΩ. Τί μήν, ὦ Σώκρατες;

ΣΩ. Εἶεν. τὸ μὲν δὴ φρονήσεώς τε καὶ ἡδονῆς πέρι πρὸς τὴν ἀλλήλων μίξιν εἴ τις φαίη καθαπερεὶ

So. Te igitur et me et Gorgiam atque Philebum valere sinamus: hoc autem ratione nunc asseramus. *Pro.* Quid istud? *So.* Quod illa nobis facultas firmitatem, puritatem, veritatem, sinceritatem continet, quae circa ea, quae semper eodem modo et simplicissima sunt, studet: aut quod secundo loco illis proximum. reliqua omnia posteriora dicenda. *Pro.* Vera nimium. *So.* Atqui illa nomina, quae circa talia quaedam pulcherrima omnium sunt, an non rebus quoque pulcherrimis assignanda? *Pro.* Par est. *So.* Mens et sapientia nomina sunt omnium pretiosissima? *Pro.* Sunt. *So.* Haec igitur intelligentiis eius, quod vere est, exactissima ratione perfecta atque tributa recte utique accommodantur. *Pro.* Prorsus. *So.* At quae ipse in iudicium supra produxi, non alia quam nomina haec extiterunt. *Pro.* Haud alia. *So.* Ceterum si quis voluptatis et sapientiae mixtionem nobis velut opificibus propositum esse,

δημιουργοῖς ἡμῖν, ἐξ ὧν ἢ ἐν οἷς δεῖ δημιουργεῖν τι, παρακεῖσθαι, καλῶς ἂν τῷ λόγῳ ἀπεικάζοι.

ΠΡΩ. Καὶ μάλα.

ΣΩ. Τὸ δὴ μετὰ ταῦτα ἆρ' οὐ μιγνύναι ἐπιχειρητέον;

ΠΡΩ. Τί μήν;

ΣΩ. Οὐκοῦν τάδε προεισποῦσι καὶ ἀναμνήσασιν ἡμᾶς αὐτοὺς ὀρθότερον ἂν ἔχοι;

ΠΡΩ. Τὰ ποῖα;

ΣΩ. Ἃ καὶ πρότερον ἐμνήσθημεν· εὖ δ' ἡ παροιμία δοκεῖ ἔχειν, τὸ καὶ δὶς καὶ τρὶς τό γε καλῶς 60
ἔχον ἐπαναπολεῖν τῷ λόγῳ δεῖν.

ΠΡΩ. Τί μήν;

ΣΩ. Φέρε δὴ πρὸς Διός· οἶμαι γὰρ οὕτωσί πως τὰ τότε λεχθέντα ῥηθῆναι.

ΠΡΩ. Πῶς;

ΣΩ. Φίληβός φησι τὴν ἡδονὴν σκοπὸν ὀρθὸν πᾶσι ζώοις γεγονέναι καὶ δεῖν πάντας τούτου στοχάζεσθαι, καὶ δὴ καὶ τἀγαθὸν τοῦτ' αὐτὸ εἶναι ξύμπασι, καὶ δύο ὀνόματα, ἀγαθὸν καὶ ἡδύ, ἑνί τινι καὶ φύσει μιᾷ τούτω ὀρθῶς τεθέντ' ἔχειν. Σωκράτης δὲ πρῶτον μὲν οὔ φησι τοῦτ' εἶναι, δύο δὲ καθάπερ τὰ ὀνόματα, καὶ τό τε ἀγαθὸν καὶ τὸ ἡδὺ διάφορον ἀλλήλων φύσιν ἔχειν, μᾶλλον δὲ μέτοχον εἶναι τῆς τοῦ ἀγαθοῦ μοίρας

ex quibus et in quibus confletur, dixerit, an sic merito comparabit? *Pro.* Et maxime quidem. *So.* Itaque deinceps miscere conandum. *Pro.* Conandum plane. *So.* Nonne haec prius admonere praestabit? *Pro.* Quae? *So.* Quae et antea memoravimus. praeclarum nempe proverbium illud, quo dicitur, quae pulchra sunt, et bis et ter repetenda esse. *Pro.* Quidni? *So.* Per Iovem. sic existimo superiora dicta fuisse. *Pro.* Quomodo? *So.* Philebus voluptatem inquit finem rectum cunctis animalibus esse, omniaque ad eam intendere oportere, atque id bonum ipsum universis exsistere: praeterea duo haec nomina, bonum et iucundum, eidem naturae congruere. Socrates autem primum id esse minime inquit: utque duo nomina sunt, bonum atque iucundum, duas etiam differentes esse naturas. quin etiam sapientiam magis quam voluptatem boni partici-

τὴν φρόνησιν ἢ τὴν ἡδονήν. οὐ ταῦτ' ἔστι τε καὶ ἦν τὰ τότε λεγόμενα, ὦ Πρώταρχε;

ΠΡΩ. Σφόδρα μὲν οὖν.

ΣΩ. Οὐκοῦν καὶ τόδε καὶ τότε καὶ νῦν ἡμῖν ὧν ξυνομολογοῖτο;

ΠΡΩ. Τὸ ποῖον;

ΣΩ. Τὴν τἀγαθοῦ διαφέρειν φύσιν τῷδε τῶν ἄλλων.

ΠΡΩ. Τίνι;

ΣΩ. Ὧι παρεῖη τοῦτ' ἀεὶ τῶν ζώων διὰ τέλους πάντως καὶ πάντῃ, μηδενὸς ἑτέρου ποτὲ ἔτι προσδεῖσθαι, τὸ δὲ ἱκανὸν τελεώτατον ἔχειν. οὐχ οὕτως;

ΠΡΩ. Οὕτω μὲν οὖν.

ΣΩ. Οὐκοῦν τῷ λόγῳ ἐπειράθημεν χωρὶς ἑκάτερον ἑκατέρου θέντες εἰς τὸν βίον ἑκάστων, ἄμικτον μὲν ἡδονὴν φρονήσει, φρόνησιν δὲ ὡσαύτως ἡδονῆς μηδὲ τὸ σμικρότατον ἔχουσαν;

ΠΡΩ. Ἦν ταῦτα.

ΣΩ. Μῶν οὖν ἡμῖν αὐτῶν τότε πότερον ἱκανὸν ἔδοξεν εἶναί τῳ;

ΠΡΩ. Καὶ πῶς;

ΣΩ. Εἰ δέ γε παρηνέχθημέν τι τότε, νῦν ὀρθότερον εἰπάτω, μνήμην καὶ φρόνησιν καὶ ἐπιστήμην καὶ ἀληθῆ δόξαν τῆς αὐτῆς ἰδέας τιθέ-

pem esse. Nonne haec, o Protarche, sunt quae dicebantur? *Pro* Maxime. *So.* Hoc quoque et tunc et in praesentia concession dignum? *Pro.* Quale? *So.* Ipsius boni naturam hoc praecipu ab aliis discrepare. *Pro.* Quonam? *So.* Cuicunque hoc ade ex viventibus semper et omnino et undique, id nullo alio ir diget, perfectamque sufficientiam continet. itane? *Pro.* Ita pro sus. *So.* An non ratione ipsa conati sumus, alterum seorsu ponentes ab altero, scilicet voluptatem seorsum a sapientia, que converso, ne minimum quidem participet, sic in vit cuiusque respicere? *Pro.* Certe. *So.* Visumne tunc nobis his alterutrum sufficiens esse? *Pro.* Et quo modo id videri buerit? *So.* Quod si quid forte tunc aberratum fuit, nunc tem resumens aliquis rectius asseveret: memoriam, scienti sapientiam, veram opinionem; eiusdemque ideae ponens,

μενος, καὶ σκοπῶν εἴ τις ἄνευ τούτων δέξαιτ' ἂν οἱ καὶ ὁτιοῦν εἶναι ἢ γίγνεσθαι, μὴ ὅτι δή γε ἡδοιήν, εἴθ' ὡς πλείστην εἴθ' ὡς σφοδροτάτην, εἰ μήτε ἀληθῶς δοξάζοι χαίρειν, μήτε τὸ παράπαν γιγνώσκοι τί ποτε πέπονθε πάθος, μήτ' αὖ μνήμην τοῦ πάθους μηδ' ὁντινοῦν χρόνον ἔχοι. ταὐτὰ δὲ λέγε καὶ περὶ φρονήσεως, εἴ τις ἄνευ πάσης ἡδονῆς καὶ τῆς βραχυτάτης δέξαιτ' ἂν φρόνησιν ἔχειν μᾶλλον ἢ μετά τινων ἡδονῶν, ἢ πάσας ἡδονὰς χωρὶς φρονήσεως μᾶλλον ἢ μετὰ φρονήσεως αὖ τινός.

ΠΡΩ. Οὐκ ἔστιν, ὦ Σώκρατες, ἀλλ' οὐδὲν δεῖ ταῦτά γε πολλάκις ἐπερωτᾶν.

ΣΩ. Οὐκοῦν τό γε τέλεον καὶ πᾶσιν αἱρετὸν καὶ 61
τὸ παντάπασιν ἀγαθὸν οὐδέτερον ἂν τούτων εἴη;

ΠΡΩ. Πῶς γὰρ ἄν;

ΣΩ. Τὸ τοίνυν ἀγαθὸν ἤτοι σαφῶς ἢ καί τινα τύπον αὐτοῦ λητέον, ἵν', ὅ περ ἐλέγομεν, δευτερεῖα ὅτῳ δώσομεν ἔχωμεν.

ΠΡΩ. Ὀρθότατα λέγεις.

ΣΩ. Οὐκοῦν ὁδὸν μέν τινα ἐπὶ τἀγαθὸν εἰλήφαμεν;

ΠΡΩ. Τίνα;

ΣΩ. Καθά περ εἴ τίς τινα ἄνθρωπον ζητῶν τὴν

sideransque utrum absque istis aliquis vel se vel alium esse quoquo modo, aut fieri sit electurus, nedum voluptatem seu plurimam seu vehementissimam sine iis eligere debeat. Siquidem his privatus neque revera gaudere se opinabitur, neque qua conditione affectus sit, noscet, neque affectus ipsius memoriam per tempus aliquod reservabit. Eadem quoque de sapientia dicas: Num quispiam procul ab omni vel minima voluptate sapientiam adipisci, quam cum voluptatibus quibusdam malit: aut voluptates omnes sine sapientia potius quam cum sapientia quadam? *Pro.* Nullus, o Socrates. veruntamen nil opus est haec totiens iam repetere. *So.* Quapropter horum neutrum perfectum et omnibus expetendum ac penitus bonum. *Pro.* Neutrum. *So.* Aut igitur bonum ipsum perspicue, aut figuram eius aliquam sumere decet: ut, quemadmodum diximus, cui potissimum secundae sortes tribuendae sint, videamus. *Pro.* Scite admodum loqueris. *So.* An non semitam ad bonum ipsum quandam ingressi sumus? *Pro.* Quam? *So.* Si quis hominem aliquem quae-

οἴκησιν πρῶτον ὀρθῶς, ἵν' οἰκεῖ, πύθοιτ' αὐτοῦ, μέγα τι δή που πρὸς τὴν εὕρεσιν ἂν ἔχοι τοῦ ζητουμένου.

ΠΡΩ. Πῶς δ' οὔ;

ΣΩ. Καὶ νῦν δή τις λόγος ἐμήνυσεν ἡμῖν, ὡς περ καὶ κατ' ἀρχάς, μὴ ζητεῖν ἐν τῷ ἀμίκτῳ βίῳ τἀγαθὸν ἀλλ' ἐν τῷ μικτῷ.

ΠΡΩ. Πάνυ γε.

ΣΩ. Ἐλπὶς μὴν πλείων ἐν τῷ μιχθέντι καλῶς τὸ ζητούμενον ἔσεσθαι φανερώτερον ἢ ἐν τῷ μή;

ΠΡΩ. Πολύ γε.

ΣΩ. Τοῖς δὴ θεοῖς, ὦ Πρώταρχε, εὐχόμενοι κεραννύωμεν, εἴτε Διόνυσος εἴθ' Ἥφαιστος εἴθ' ὅς τις θεῶν ταύτην τὴν τιμὴν εἴληχε τῆς συγκράσεως.

ΠΡΩ. Πάνυ μὲν οὖν.

ΣΩ. Καὶ μὴν καθά περ ἡμῖν οἰνοχόοις τισὶ παρεστᾶσι κρῆναι, μέλιτος μὲν ἂν ἀπεικάζοι τις τὴν τῆς ἡδονῆς, τὴν δὲ τῆς φρονήσεως νηφαντικὴν καὶ ἄοινον αὐστηροῦ καὶ ὑγιεινοῦ τινὸς ὕδατος· ἃς προθυμητέον ὡς κάλλιστα συμμιγνύναι.

ΠΡΩ. Πῶς γὰρ οὔ;

ΣΩ. Φέρε δὴ πρότερον· ἆρα πᾶσαν ἡδονὴν πάσῃ φρονήσει μιγνύντες τοῦ καλῶς ἂν μάλιστ' ἐπιτύχοιμεν;

ΠΡΩ. Ἴσως.

rens, domum quam inhabitat, primum didicerit, adminiculum sane ad eum inveniendum ingens habebit. *Pro.* Quidni? *So.* Ita et nos praesens atque superior ratio monuit, ne in simplici vita, sed mixta bonum ipsum indagaremus. *Pro.* Omnino. *So.* Spes attamen certior, in eo quod pulchre mixtum, quam in opposito, nos quod quaerimus reperturos. *Pro.* Certior sane. *So.* Misceamus igitur, o Protarche, diis ante voventes, sive Dionysius sive Vulcanus sive alius quispiam deorum sortitus est mixtionis officium. *Pro.* Ita prorsus agendum. *So.* Atqui nobis, tanquam vinum miscentibus quibusdam, fontes adstant. et melli quidem voluptatis fontem comparare quis potest: verum sapientiae fontem sine vini vi sobrium, aquae cuipiam acri atque etiam salubcrrimae. hos ergo liquores quam pulcherrime in unum confundere studeamus. *Pro.* Studendum certe. *So.* Dic age primum: si omnem voluptatem cum omni sapientia misceamus, num pulchre iunxerimus? *Pro.* Forsitan.

ΣΩ. Ἀλλ' οὐκ ἀσφαλές. ἢ δὲ ἀκινδυνότερον ἂν μιγνύοιμεν, δόξαν μοι δοκῶ τινὰ ἀποφήνασθαι ἄν.

ΠΡΩ. Λέγε τίνα.

ΣΩ. Ἦν ἡμῖν ἡδονή τε ἀληθῶς, ὡς οἰόμεθα, μᾶλλον ἑτέρας ἀλλὴ καὶ δὴ καὶ τέχνη τέχνης ἀκριβεστέρα;

ΠΡΩ. Πῶς γὰρ οὔ;

ΣΩ. Καὶ ἐπιστήμη δὴ ἐπιστήμης διάφορος, ἡ μὲν ἐπὶ τὰ γιγνόμενα καὶ ἀπολλύμενα ἀποβλέπουσα, ἡ δὲ ἐπὶ τὰ μήτε γιγνόμενα μήτε ἀπολλύμενα, κατὰ ταὐτὰ δὲ ὡσαύτως ὄντα ἀεί. ταύτην εἰς τὸ ἀληθὲς ἐπισκοπούμενοι ἡγησάμεθα ἐκείνης ἀληθεστέραν εἶναι.

ΠΡΩ. Πάνυ μὲν οὖν ὀρθῶς.

ΣΩ. Οὐκοῦν εἰ τἀληθέστατα τμήματα ἑκατέρας ἴδοιμεν πρῶτον ξυμμίξαντες, ἆρ' ἱκανὰ ταῦτα ξυγκεκραμένα τὸν ἀγαπητότατον βίον ἀπεργασάμενα παρέχειν ἡμῖν, ἢ τινος ἔτι προσδεόμεθα καὶ τῶν μὴ τοιούτων;

ΠΡΩ. Ἐμοὶ γοῦν δοκεῖ δρᾷν οὕτως. 62

ΣΩ. Ἔστω δή τις ἡμῖν φρονῶν ἄνθρωπος αὐτῆς περὶ δικαιοσύνης, ὅ τι ἔστι, καὶ λόγον ἔχων ἑπόμενον τῷ νοεῖν, καὶ δὴ καὶ περὶ τῶν ἄλλων ἁπάντων τῶν ὄντων ὡσαύτως διανοούμενος;

ΠΡΩ. Ἔστω γὰρ οὖν.

So. Verum minime tutum. quo tamen pacto securius misceamus, me nunc declaraturum confido. *Pro.* Dic quomodo. *So.* Patuitne in superioribus alia voluptas alia. rursusque scientia scientia esse sincerior? *Pro.* Patuit plane. *So.* Scientia quoque a scientia differens: et altera quidem circa illa quae et oriuntur et occidunt; altera circa ea quae neque fiunt neque intereunt, semperque secundum eadem eodem modo se habent. Atque hanc, ad veritatem ipsam respicientes, illa veriorem esse putamus. *Pro.* Recte admodum. *So.* Si utriusque portiones verissimas invicem connectamus, nunquid istarum mixtio sufficiens erit ad vitam nobis optabilissimam exhibendam? aut alio praeterea quodam alterius rationis egebimus? *Pro.* Mihi quidem sic videtur agendum. *So.* Esto igitur nobis vir quidam sapiens, qui norit quid ipsa iustitia sit, rationemque intelligentiae comitem habeat, nec non reliqua cuncta, quaecunque sunt, similiter calleat. *Pro.* Esto sane.

ΣΩ. Ἆρ' οὖν οὗτος ἱκανῶς ἐπιστήμης ἕξει κύκλου μὲν καὶ σφαίρας αὐτῆς τῆς θείας τὸν λόγον ἔχων, τὴν δὲ ἀνθρωπίνην ταύτην σφαῖραν καὶ τοὺς κύκλους τούτους ἀγνοῶν, καὶ χρώμενος ἐν οἰκοδομίᾳ καὶ τοῖς ἄλλοις ὁμοίως κανόσι καὶ τοῖς κύκλοις;

ΠΡΩ. Γελοίαν διάθεσιν ἡμῶν, ὦ Σώκρατες, ἐν ταῖς θείαις οὖσαν μόνον ἐπιστήμαις λέγομεν.

ΣΩ. Πῶς φῄς; ἦ τοῦ ψευδοῦς κανόνος ἅμα καὶ τοῦ κύκλου τὴν οὐ βέβαιον οὐδὲ καθαρὰν τέχνην ἐμβλητέον κοινῇ καὶ συγκρατέον;

ΠΡΩ. Ἀναγκαῖον γάρ, εἰ μέλλει τις ἡμῶν καὶ τὴν ὁδὸν ἑκάστοτε ἐξευρήσειν οἴκαδε.

ΣΩ. Ἦ καὶ μουσικήν, ἣν ὀλίγον ἔμπροσθεν ἔφαμεν στοχάσεώς τε καὶ μιμήσεως μεστὴν οὖσαν καθαρότητος ἐνδεῖν;

ΠΡΩ. Ἀναγκαῖον φαίνεται ἔμοιγε, εἴ πέρ γε ἡμῶν ὁ βίος ἔσται καὶ ὁπωσοῦν ποτὲ βίος.

ΣΩ. Βούλει δῆτα, ὥς περ θυρωρὸς ὑπ' ὄχλου τινὸς ὠθούμενος καὶ βιαζόμενος, ἡττηθεὶς ἀναπετάσας τὰς θύρας ἀφῶ πάσας τὰς ἐπιστήμας εἰσρεῖν καὶ μίγνυσθαι ὁμοῦ καθαρᾷ τὴν ἐνδεεστέραν;

ΠΡΩ. Οὔκουν ἔγωγε οἶδα, ὦ Σώκρατες, ὅ τί τις ἂν βλάπτοιτο πάσας λαβὼν τὰς ἄλλας ἐπιστήμας, ἔχων τὰς πρώτας.

So. Num iste sufficienti scientia praeditus erit, si circuli et sphaerae ipsius divinae rationem teneat, humanam vero hanc sphaeram et hos circulos prorsus ignoret, dum in architectura similibusque operibus canonibus, id est regulis circulisque utetur? *Pro.* Ridicula erit, o Socrates, cognitio nostra, si in divinis duntaxat versetur. *So.* Quid ais? num falsi canonis atque circuli impuram et instabilem artem inserere una et immiscere debemus? *Pro.* Necessarium hoc est, si modo quis nostrum vel viam, quae ducat domum, reperturus sit. *So.* An vero et musicam, quam paulo ante diximus conjecturis imitationeque plenam a puritate procul abesse? *Pro.* Necessarium id quoque: si quidem vita nostra aliquando vita futura sit. *So.* Vis ergo, tanquam ianitor turba pulsus atque coactus, ego nunc fores pandam, scientiasque omnes confluere iam et confundi sinam, cum pura passim deteriorem? *Pro.* Haud novi, o Socrates, laedi aliquem a scientiis aliis, qui primas habeat.

ΣΩ. Μεθίω δὴ τὰς ξυμπάσας δεῖν εἰς τὴν τῆς Ὁμήρου καὶ μάλα ποιητικῆς μισγαγκείας ὑποδοχήν;

ΠΡΩ. Πάνυ μὲν οὖν· μεθεῖνται.

ΣΩ. Καὶ πάλιν ἐπὶ τὴν τῶν ἡδονῶν πηγὴν ἰτέον. ὡς γὰρ διενοήθημεν αὐτὰς μιγνύναι, τὰ τῶν ἀληθῶν μόρια πρῶτον, οὐκ ἐξεγενήθη ἡμῖν, ἀλλὰ διὰ τὸ πᾶσαν ἀγαπᾶν ἐπιστήμην εἰς ταὐτὸν μεθεῖμεν ἀθρόας καὶ πρόσθε τῶν ἡδονῶν.

ΠΡΩ. Ἀληθέστατα λέγεις.

ΣΩ. Ὥρα δὴ βουλεύεσθαι νῷν καὶ περὶ τῶν ἡδονῶν, πότερα καὶ ταύτας πάσας ἀθρόας ἀφετέον ἢ καὶ τούτων πρώτας μεθετέον ἡμῖν ὅσαι ἀληθεῖς.

ΠΡΩ. Πολύ τι διαφέρει πρός γε ἀσφάλειαν πρώτας τὰς ἀληθεῖς ἀφεῖναι.

ΣΩ. Μεθείσθων δή. τί δὲ μετὰ ταῦτα; ἆρ' οὐκ εἰ μέν τινες ἀναγκαῖαι, καθά περ ἐκεῖ, ξυμμικτέον καὶ ταύτας;

ΠΡΩ. Τί δ' οὔ; τάς γε ἀναγκαίας δήπουθεν.

ΣΩ. Εἰ δέ γε καὶ καθά περ ναὶ τέχνας πάσας ἀβλαβές τε καὶ ὠφέλιμον ἦν ἐπίστασθαι διὰ βίου, καὶ 65
νῦν δὴ ταὐτὰ λέγωμεν περὶ τῶν ἡδονῶν, εἴ περ πάσας ἡδονὰς ἥδεσθαι διὰ βίου συμφέρον τε ἡμῖν ἐστὶ καὶ ἀβλαβὲς ἅπασι, πάσας ξυγκρατέον.

So. Permitto iam, cunctas in Homeri receptaculum quadam valde poetica mixtione confluere. *Pro.* Missae sunt omnino. *So.* Rursus ad voluptatum fontem proficiscendum videtur. quando enim ipsas miscere cogitavimus, verarum tamen portiones primum nobis eductae minime sunt: verum propter scientiae totius amorem in idem concurrere scientias universas prius quam voluptates permisimus. *Pro.* Vera loqueris. *So.* Verum tempus iam urget, ut de voluptatibus consultemus, utrum omnes coacervandae, an primae duntaxat ac verae sint admittendae. *Pro.* Permultum ad securitatem interest, primas verasque admittere. *So.* Harum ergo commercium admittatur. at quid deinceps? si quae necessariae sunt, quemadmodum et ibi, hae quoque in mixtionem excipiendae? *Pro.* Quid prohibet? *So.* Necessarias igitur quoquo modo accipiamus. Si autem, quemadmodum artes omnes nosse innocuum et conferens in vita esse constitit, ita nunc de voluptatibus constet, videlicet quod omnibus frui innoxium et utile sit, forte erunt omnes omnibus immiscendae. quid ad haec?

ΠΡΩ. Πῶς οὖν δὴ περὶ αὐτῶν τούτων λέγωμεν; καὶ πῶς ποιῶμεν;

ΣΩ. Οὐχ ἡμᾶς, ὦ Πρώταρχε, διερωτᾶν χρή, τὰς ἡδονὰς δὲ αὐτὰς καὶ τὰς φρονήσεις, διαπυνθανομένους τὸ τοιόνδε ἀλλήλων πέρι.

ΠΡΩ. Τὸ ποῖον;

ΣΩ. Ὦ φίλαι, εἴτε ἡδονὰς ὑμᾶς χρὴ προσαγορεύειν εἴτε ἄλλῳ ὁτῳοῦν ὀνόματι, μῶν οὐκ ἂν δέξαισθε οἰκεῖν μετὰ φρονήσεως πάσης ἢ χωρὶς τοῦ φρονεῖν; Οἶμαι μὲν πρὸς ταῦτα τόδ' αὐτὰς ἀναγκαιότατον εἶναι λέγειν.

ΠΡΩ. Τὸ ποῖον;

ΣΩ. Ὅτι, καθά περ ἔμπροσθεν ἐρρήθη, τὸ μόνον καὶ ἔρημον εἰλικρινὲς εἶναί τι γένος οὔτε πάνυ τι δυνατὸν οὔτ' ὠφέλιμον· πάντων γε μὴν ἡγούμεθα γενῶν ἄριστον ἓν ἀνθ' ἑνὸς συνοικεῖν ἡμῖν τὸ τοῦ γιγνώσκειν τὰ ἄλλα τε πάντα καὶ αὖ τὴν αὐτὴν ἡμῶν τελέως εἰς δύναμιν ἑκάστην.

ΠΡΩ. Καὶ καλῶς γε εἰρήκατε τὰ νῦν, φήσομεν.

ΣΩ. Ὀρθῶς. πάλιν τοίνυν μετὰ τοῦτο τὴν φρόνησιν καὶ τὸν νοῦν ἀνερωτητέον. Ἆρ' ἡδονῶν τι προσδεῖσθε ἐν τῇ ξυγκράσει; φαῖμεν ἂν αὖ τὸν νοῦν τε καὶ τὴν φρόνησιν ἀνερωτῶντες. Ποίων, φαῖεν ἂν ἴσως, ἡδονῶν;

Pro. Qua ratione de his loquemur? quid agemus? *So.* Non a nobis, Protarche, tale aliquid, sed ab ipsis voluptatibus scientiisque quaerendum. *Pro.* Quid istud? *So.* O amicae, (sive voluptates, sive alio quodam cognomento appellare vos deceat,) utrum eligitis cum omni sapientia congredi, an esse seorsum a sapientia? Reor equidem, hoc illas necessario responsuras. *Pro* Quid? *So.* Quod, quemadmodum in superioribus dictum est neque possibile multum neque utile est, genus alterum omnin seorsum ab altero esse. omnium vero generum optimum, unum uni comparetur, nobis fore putamus genus ipsum, qu tum cetera omnia, tum etiam singulae nostrae vires perfe cte noscantur. *Pro.* Et recte quidem respondisse illas meri confitebimur. *So.* Rursus igitur interrogandum restat me tem et sapientiam, cum in ipsa mixtione quodammodo volupt tibus egere dicamus, qualibus praecipue voluptatibus egea

ΠΡΩ. Εἰκός.

ΣΩ. Ὁ δέ γ' ἡμέτερος λόγος μετὰ τοῦτ' ἐστὶν ὅδε. Πρὸς ταῖς ἀληθέσιν ἐκείναις ἡδοναῖς, φήσομεν, ἆρ' ἔτι προσδεῖσθ' ὑμῖν τὰς μεγίστας ἡδονὰς ξυνοίκους εἶναι καὶ τὰς σφοδροτάτας; Καὶ πῶς, ὦ Σώκρατες; φαῖεν ἄν, αἵ γ' ἐμποδίσματά γε μυρία ἡμῖν ἔχουσι, τὰς ψυχὰς ἐν αἷς οἰκοῦμεν ταράττουσαι διὰ μανικὰς ἡδονάς, καὶ γίγνεσθαί τε ἡμᾶς τὴν ἀρχὴν οὐκ ἐῶσι τά τε γιγνόμενα ἡμῶν τέκνα ὡς τὸ πολύ, δι' ἀμέλειαν λήθην ἐμποιοῦσαι, παντάπασι διαφθείρουσιν; ἄλλας δὲ ἡδονὰς ἀληθεῖς καὶ καθαρὰς ἃς εἶπες, σχεδὸν οἰκείας ἡμῖν νόμιζε, καὶ πρὸς ταύταις τὰς μεθ' ὑγιείας καὶ τοῦ σωφρονεῖν, καὶ δὴ καὶ ξυμπάσης ἀρετῆς ὁπόσαι καθάπερ θεοῦ ὀπαδοὶ γιγνόμεναι αὐτῇ ξυνακολουθοῦσι πάντῃ, ταύτας μίγνυ· τὰς δ' ἀεὶ μετ' ἀφροσύνης καὶ τῆς ἄλλης κακίας ἑπομένας πολλή που ἀλογία τῷ νῷ μιγνύναι τὸν βουλόμενον ὅτι καλλίστην ἰδόντα καὶ ἀστασιαστοτάτην μίξιν καὶ κρᾶσιν ἐν ταύτῃ μαθεῖν πειρᾶσθαι, τί ποτε ἔν τε ἀνθρώπῳ καὶ τῷ παντὶ πέφυκεν ἀγαθὸν καὶ τίνα ἰδέαν αὐτὴν εἶναί ποτε μαντευτέον. Ἆρ' οὐκ ἐμφρόνως ταῦτα καὶ ἐχόντως ἑαυτὸν τὸν νοῦν 64

Pro. Merito. *So.* Nostra vero posthac interrogatio talis erit: Utrum praeter illas voluptates veras conveniat vobis vehementissimarum ingentissimarumque voluptatum commercium? Forte sic illae respondebunt: Non conveniunt, o Socrates, nobis huiusmodi voluptates. hae namque nobis impedimenta innumerabilia praebent. animas siquidem, quas incolimus, voluptates furiosae perturbant, nec adolescere nos permittunt, nostrasque progenies ut plurimum per negligentiam inferentes oblivionem omnino corrumpunt. Alias autem voluptates veras ac puras, quas ipse narrasti, ferme nobis domesticas arbitrare: ac praeter istas illas insuper, quae cum sanitate et temperantia ceterisque virtutibus capiuntur. Has enim, quae virtutis, tanquam deae cuiusdam, pedissequae sunt, libenter admittimus. quae vero cum dementia et alia improbitate congrediuntur, eas menti miscere absurdum est, quando quis velit, cernens quam pulcherrimam et concordem mixtionem atque temperiem, in ea perdiscere, quid in homine et universo suapte natura sit bonum, quamve ideam ipsius exsistere divinandum. An non sapienter, et tanquam

φήσομεν ὑπέρ τε ἑαυτοῦ καὶ μνήμης καὶ δόξης ὀρθῆς ἀποκρίνασθαι τὰ νῦν ῥηθέντα;

ΠΡΩ. Παντάπασι μὲν οὖν.

ΣΩ. Ἀλλὰ μὴν καὶ τόδε γε ἀναγκαῖον, καὶ οὐκ ἄλλως ἂν ποτε γένοιτο οὐδ' ἂν ἔν.

ΠΡΩ. Τὸ ποῖον;

ΣΩ. Ὡι μὴ μίξομεν ἀλήθειαν, οὐκ ἄν ποτε τοῦτ' ἀληθῶς γίγνοιτο οὐδ' ἂν γενόμενον εἴη.

ΠΡΩ. Πῶς γὰρ ἄν;

ΣΩ. Οὐδαμῶς. ἀλλ' εἴ τινος ἔτι προσδεῖ τῇ συγ- 10
κράσει ταύτῃ, λέγετε σύ τε καὶ Φίληβος. ἐμοὶ μὲν γὰρ καθαπερεὶ κόσμος τις ἀσώματος ἄρχων καλῶς ἐμψύχου σώματος ὁ νῦν λόγος ἀπειργάσθαι φαίνεται.

ΠΡΩ. Καὶ ἐμοὶ τοίνυν, ὦ Σώκρατες, οὕτω λέγε δεδόχθαι.

ΣΩ. Ἆρ' οὖν ἐπὶ μὲν τοῖς τοῦ ἀγαθοῦ νῦν ἤδη προθύροις καὶ τῆς οἰκήσεως ἐφεστάναι τῆς τοῦ τοιούτου λέγοντες ἴσως ὀρθῶς ἄν τινα τρόπον φαῖμεν;

ΠΡΩ. Ἐμοὶ γοῦν δοκεῖ.

ΣΩ. Τί δῆτα ἐν τῇ ξυμμίξει τιμιώτατον ἅμα καὶ 20
μάλιστ' αἴτιον εἶναι δόξειεν ἂν ἡμῖν τοῦ πᾶσι γεγονέναι προσφιλῆ τὴν τοιαύτην διάθεσιν; τοῦτο γὰρ ἰδόντες μετὰ τοῦτ' ἐπισκεψόμεθα, εἴθ' ἡδονῇ εἴτε τῷ

sui compotem ista mentem respondere et de ipsa et de memoria rectaque opinione dicemus? *Pro.* Omnino quidem. *So.* Atqui et hoc necessarium est: nec unquam aliter fieri posset. *Pro.* Quid istud? *So.* Cui veritatem non miscemus, nunquam id verum aut fieret aut factum esset. *Pro.* Quo enim modo? *So.* Nullo. verum si quid huic mixtioni ulterius deest, dicite quaeso ipse una atque Philebus. mihi enim tanquam mundus quidam incorporeus, animato corpori pulchre dominaturus, sermo hic peractus fuisse videtur. *Pro.* Mihi quoque, o Socrates, idem videri scito. *So.* Nonne si boni ipsius, et huius talis habitationis vestibulum nos nuper ingressos esse dicamus, forsitan recte quodam modo profitebimur? *Pro.* Mihi sane videtur. *So.* Quid in huiusmodi mixtione pretiosissimum atque maxime causa, quod constitutio ista omnibus gratissima sit, nobis esse videtur? Si enim id noverimus, disceptabimus inde, utrum vo-

νῷ προσφυέστερον καὶ οἰκειότερον ἐν τῷ παντὶ ξυνέστηκεν.

ΠΡΩ. Ὀρθῶς· τοῦτο γὰρ εἰς τὴν κρίσιν ἡμῖν ἐστὶ ξυμφορώτατον.

ΣΩ. Καὶ μὴν καὶ ξυμπάσης γε μίξεως οὐ χαλεπὸν ἰδεῖν τὴν αἰτίαν, δι' ἣν ἡ παντὸς ἀξία γίγνεται ἢ τιςοῦν ἢ τὸ παράπαν οὐδενός.

ΠΡΩ. Πῶς λέγεις;

ΣΩ. Οὐδείς που τοῦτο ἀνθρώπων ἀγνοεῖ.

ΠΡΩ. Τὸ ποῖον;

ΣΩ. Ὅτι μέτρου καὶ τῆς ξυμμέτρου φύσεως μὴ τυχοῦσα ἢ τιςοῦν καὶ ὁπωσοῦν ξύγκρασις πᾶσα ἐξ ἀνάγκης ἀπόλλυσι τά τε κερανννύμενα καὶ πρώτην ἑαυτήν. οὐδὲ γὰρ κρᾶσις, ἀλλά τις ἄκρατος ξυμπεφορημένη ἀληθῶς ἡ τοιαύτη γίγνεται ἑκάστοτε ὄντως τοῖς κεκτημένοις ξυμφορά.

ΠΡΩ. Ἀληθέστατα.

ΣΩ. Νῦν δὴ καταπέφευγεν ἡμῖν ἡ τἀγαθοῦ δύναμις εἰς τὴν τοῦ καλοῦ φύσιν. μετριότης γὰρ καὶ ξυμμετρία κάλλος δή που καὶ ἀρετὴ παντα̣χοῦ ξυμβαίνει γίγνεσθαι.

ΠΡΩ. Πάνυ μὲν οὖν.

ΣΩ. Καὶ μὴν ἀλήθειάν γε ἔφαμεν αὐτοῖς ἐν τῇ κράσει μεμίχθαι.

luptati vel menti cognatius ac propius in universo consistat. *Pro.* Scite. id enim ad iudicium nobis propositum maxime conferet. *So.* Atqui nequaquam inventu difficile est, quae causa sit, ob quam mixtio quaeque vel plurimi vel minimi facienda sit. *Pro.* Quo pacto inquis? *So.* Nemo hoc ignorat. *Pro.* Quid hoc tandem? *So.* Quod quaecunque et qualiscunque mixtio mensurae et commensurati naturae minime particeps ex necessitate quae mixta sunt, immo et se ipsam primo disperdit. neque enim temperies haec est, sed tanquam intemperatus quidam passim fortuitusque concursus nobis accidere solet. *Pro.* Vera loqueris. *So.* Nunc quidem nos ipsius boni potentia, in naturam pulchri se transferens, clam fugit. mensura enim commensuratioque pulchritudo plane ac virtus ubique fit. *Pro.* Prorsus. *So.* Quin etiam veritatem diximus ipsis in ea temperie commisceri.

ΠΡΩ. Πάνυ γε.

ΣΩ. Οὐκοῦν εἰ μὴ μιᾷ δυνάμεθα ἰδέᾳ τὸ ἀγαθὸν θηρεῦσαι, σὺν τρισὶ λαβόντες, κάλλει καὶ ξυμμετρίᾳ καὶ ἀληθείᾳ, λέγωμεν ὡς τοῦτο οἷον ἓν ὀρθότατ' ἂν αἰτιασαίμεθ' ἂν τῶν ἐν τῇ ξυμμίξει, καὶ διὰ τοῦτο ὡς ἀγαθὸν ὂν τοιαύτην αὐτὴν γεγονέναι.

ΠΡΩ. Ὀρθότατα μὲν οὖν.

ΣΩ. Ἤδη τοίνυν, ὦ Πρώταρχε, ἱκανὸς ἡμῖν γέγονοιτ' ἂν ὄστισοῦν κριτὴς ἡδονῆς τε πέρι καὶ φρονήσεως, ὁπότερον αὐτοῖν τοῦ ἀρίστου ξυγγενέστερόν τε καὶ τιμιώτερον ἐν ἀνθρώποις τέ ἐστι καὶ θεοῖς.

ΠΡΩ. Δῆλον μέν, ὅμως δ' οὖν τῷ λόγῳ ἐπεξελθεῖν βέλτιον.

ΣΩ. Καθ' ἓν ἕκαστον τοίνυν τῶν τριῶν πρὸς τὴν ἡδονὴν καὶ τὸν νοῦν κρίνωμεν. δεῖ γὰρ ἰδεῖν ποτέρῳ μᾶλλον ξυγγενὲς ἕκαστον αὐτῶν ἀπονεμοῦμεν.

ΠΡΩ. Κάλλους καὶ ἀληθείας καὶ μετριότητος πέρι λέγεις;

ΣΩ. Ναί. πρῶτον δέ γε ἀληθείας λαβοῦ, ὦ Πρώταρχε· καὶ λαβόμενος, βλέψας εἰς τρία, νοῦν καὶ ἀλήθειαν καὶ ἡδονήν, πολὺν ἐπισχὼν χρόνον, ἀπόκριναι σαυτῷ πότερον ἡδονὴ ξυγγενέστερον ἢ νοῦς ἀληθείᾳ.

Pro. Omnino. *So.* Quod nisi bonum ipsum una idea complecti possimus, saltem una cum tribus, pulchritudine, commensuratione, veritate comprehendentes, dicamus id universum velut unum, causam eorum, quae in mixtione sunt, esse, et propter hoc, tanquam quod bonum est, mixtionem fieri bonam. *Pro.* Recte nimium. *So.* Quisque iam, o Protarche, idoneus voluptatis et sapientiae esset iudex, utrum istorum optimo cognatius praestantiusque et apud homines et apud Deos esse contingat. *Pro.* Constat quidem: attamen ratione id quoque percurrere praestat. *So.* Secundum quodlibet igitur horum trium de voluptate et sapientia iudicemus. videndum enim, utri unumquodque trium cognatius asseramus. *Pro.* Num de pulchritudine, veritate mensuraque loqueris? *So.* Certe. Primum igitur veritatem sume. Protarche, cumque sumpseris, ad tria iam respice. mentem, veritatem et voluptatem: et postquam diu mature consideraveris, tibi ipsi responde, utrum voluptas an mens veritati propinquior.

ΠΡΩ. Τί δὲ χρόνου δεῖ; πολὺ γάρ, οἶμαι, διαφέρετον. ἡδονὴ μὲν γὰρ ἁπάντων ἀλαζονίστατον, ὡς δὲ λόγος, καὶ ἐν ταῖς ἡδοναῖς ταῖς περὶ τἀφροδίσια, αἳ δὴ μέγισται δοκοῦσιν εἶναι, καὶ τὸ ἐπιορκεῖν συγγνώμην εἴληφε παρὰ θεῶν, ὡς καθά περ παίδων τῶν ἡδονῶν νοῦν οὐδὲ τὸν ὀλίγιστον κεκτημένων· νοῦς δὲ ἤτοι ταὐτὸν καὶ ἀλήθειά ἐστιν ἢ πάντων ὁμοιότατόν τε καὶ ἀληθέστατον.

ΣΩ. Οὐκοῦν τὸ μετὰ τοῦτο τὴν μετριότητα ὡσαύτως σκέψαι, πότερον ἡδονὴ φρονήσεως ἢ φρόνησις ἡδονῆς πλείω κέκτηται;

ΠΡΩ. Εὔσκεπτόν γε καὶ ταύτην σκέψιν προβέβληκας. οἶμαι γὰρ ἡδονῆς μὲν καὶ περιχαρείας οὐδὲν τῶν ὄντων πεφυκὸς ἀμετρώτερον εὑρεῖν ἄν τινα, νοῦ δὲ καὶ ἐπιστήμης ἐμμετρώτερον οὐδ' ἂν ἕν ποτε.

ΣΩ. Καλῶς εἴρηκας. ὅμως δ' ἔτι λέγε τὸ τρίτον. νοῦς ἡμῖν κάλλους μετείληφε πλέον ἢ τὸ τῆς ἡδονῆς γένος, ὥστε εἶναι καλλίω νοῦν ἡδονῆς, ἢ τοὐναντίον;

ΠΡΩ. Ἆρ' οὖν φρόνησιν μὲν καὶ νοῦν, ὦ Σώκρατες, οὐδεὶς πώποτε οὔθ' ὑπαρ οὔτ' ὄναρ αἰσχρὸν οὔτε εἶδεν οὔτε ἐπενόησεν οὐδαμῇ οὐδαμῶς οὔτε γιγνόμενον οὔτε ὄντα οὔτε ἐσόμενον;

ΣΩ. Ὀρθῶς.

Pro. Quid diuturna meditatione opus est? permultum, ut arbitror, interest. Voluptas enim maxime omnium temeraria. fertur enim de venereis voluptatibus, quae ingentissimae omnium aestimantur, quod peierantibus illis dii prorsus ignoscunt, quasi pueri quidam sint, nullius intelligentiae compotes. Mens autem aut idem est quod veritas, aut omnium certe simillima atque verissima. *So.* An posthac mensuram illam moderationemque considerandum restat, voluptasne an sapientia eius sit capacior? *Pro.* Id quoque, quod nunc infers, exploratu perfacile est. Reor equidem, nihil voluptate eiusque exsultatione immoderatius inveniri posse: nihil contra mente et scientia moderatius. *So.* Praeclare. veruntamen tertium quoque responde: Mensne pulchritudinis magis est particeps, an ipsa voluptas? quidve pulchrius? an mens voluptate, an contra? *Pro.* Mentem quidem et sapientiam, Socrates, nemo unquam aut revera aut falso, deformem vel vidit vel aliquo pacto cogitavit, aut fuisse unquam aut esse aut deinde futuram. *So.* Recte.

ΠΡΩ. Ἡδονὰς δέ γέ που, καὶ ταῦτα σχεδὸν τὰς μεγίστας, ὅταν ἴδωμεν ἡδόμενον ὀντινοῦν, ἢ τὸ γελοῖον
66 ἐπ' αὐταῖς ἢ τὸ πάντων αἴσχιστον ἑπόμενον ὁρῶντες αὐτοί τε αἰσχυνόμεθα καὶ ἀφανίζοντες κρύπτομεν ὅτι μάλιστα, νυκτὶ πάντα τὰ τοιαῦτα διδόντες, ὡς φῶς οὐ δέον ὁρᾶν αὐτά.

ΣΩ. Πάντῃ δὴ φήσεις, ὦ Πρώταρχε, ὑπό τε ἀγγέλων πέμπων καὶ παροῦσι φράζων, ὡς ἡδονῆ κτῆμα οὐκ ἔστι πρῶτον οὐδ' αὖ δεύτερον, ἀλλὰ πρῶτον μέν πῃ περὶ μέτρον καὶ τὸ μέτριον καὶ καίριον καὶ 10
πάνθ' ὁπόσα χρὴ τοιαῦτα νομίζειν τὴν ἀΐδιον ῥῆσθαι φύσιν.

ΠΡΩ. Φαίνεται γοῦν ἐκ τῶν νῦν λεγομένων.

ΣΩ. Δεύτερον μὴν περὶ τὸ σύμμετρον καὶ καλὸν καὶ τὸ τέλεον καὶ ἱκανὸν καὶ πάνθ' ὁπόσα τῆς γενεᾶς αὖ ταύτης ἐστίν.

ΠΡΩ. Ἔοικε γοῦν.

ΣΩ. Τὸ τοίνυν τρίτον, ὡς ἡ ἐμὴ μαντεία, νοῦν καὶ φρόνησιν τιθεὶς οὐκ ἂν μέγα τι τῆς ἀληθείας παρεξέλθοις. 20

ΠΡΩ. Ἴσως.

ΣΩ. Ἆρ' οὖν οὐ τέταρτα, ἃ τῆς ψυχῆς αὐτῆς ἔθεμεν, ἐπιστήμας τε καὶ τέχνας καὶ δόξας ὀρθὰς λεχθεί-

Pro. Si quem vero voluptates, praesertim maximas, persequentem advertimus, vel quod ridiculae vel quod obscoenae sint, ipsi quidem erubescimus atque celamus, noctis tenebris talia concedentes, quasi sint diurni luminis indigna conspectu. *So.* Cunctis igitur, o Protarche, et per nuntios et voce praesenti declarato, quod voluptatis possessio neque primum est neque secundum bonum: sed primum circa mensuram et moderatum et opportunum et universa, quaecunque talia, sempiternam vocem approbationemque dixisse putandum. *Pro.* Apparet utique ex iis, quae modo sunt dicta. *So.* Secundum deinde circa commensuratum et pulchrum, perfectum atque sufficiens, et quotcunque huius ordinis sunt. *Pro.* Videtur. *So.* Tertium, ut ipse vaticinor, si mentem sapientiamque posueris, haud procul a veritate discedes. *Pro.* Forte. *So.* Quarta vero sunt, quae ipsius animae propria posuimus, scientiae et artes opinionesque re-

φας, ταῦτ' εἶναι τὰ πρὸς τοῖς τρισὶ τέταρτα, εἴ πῃ τοῦ ἀγαθοῦ μᾶλλον ἢ τῆς ἡδονῆς ξυγγενῆ;

ΠΡΩ. Τάχ' ἄν.

ΣΩ. Πέμπτας τοίνυν, ὡς ἡδονὰς ἔθεμεν ἀλύπους ὁρισάμενοι, καθαρὰς ἐπονομάσαντες τῆς ψυχῆς αὐτῆς ἐπιστήμας, ταῖς δὲ αἰσθήσεσιν ἑπομένας;

ΠΡΩ. Ἴσως.

ΣΩ. Ἕκτῃ δ' ἐν γενεᾷ, φησὶν Ὀρφεύς, καταπαύσατε κόσμον ἀοιδῆς, ἀτὰρ κινδυνεύει καὶ ὁ ἡμέτερος λόγος ἐν ἕκτῃ καταπεπαυμένος εἶναι κρίσει. τὸ δὴ μετὰ ταῦθ' ἡμῖν οὐδὲν λοιπὸν πλὴν ὥς περ κεφαλὴν ἀποδοῦναι τοῖς εἰρημένοις.

ΠΡΩ. Οὐκοῦν χρή.

ΣΩ. Ἴθι δή, τὸ τρίτον τῷ σωτῆρι τὸν αὐτὸν διαμαρτυράμενοι λόγον ἐπεξέλθωμεν.

ΠΡΩ. Ποῖον δή;

ΣΩ. Φίληβος ταγαθὸν ἐτίθετο ἡμῖν ἡδονὴν εἶναι πᾶσαν καὶ παντελῆ.

ΠΡΩ. Τὸ τρίτον, ὦ Σώκρατες, ὡς ἔοικας, ἔλεγες ἀρτίως τὸν ἐξ ἀρχῆς ἐπαναλαβεῖν δεῖν λόγον.

ΣΩ. Ναί, τὸ δέ γε μετὰ τοῦτο ἀκούωμεν. ἐγὼ γὰρ δὴ κατιδὼν ἃ περ νῦν δὴ διελήλυθα, καὶ δυσχεράνας τὸν Φιλήβου λόγον οὐ μόνον ἀλλὰ καὶ ἄλλων

ctae: quae ideo tribus illis statim succedunt, quia bono sunt quam voluptas cognatiora. *Pro.* Forsitan. *So.* Quinto loco pone voluptates eas, quas expertes molestiae definivimus, puras nominantes animae ipsius scientias, sensus autem sequentes. *Pro.* Fortassis. *So.* In sexta vero progenie, inquit Orpheus, cantilenae ornatum finite. Nostra quoque oratio in sexto iudicio finiri videtur. unde nihil deinceps nobis aliud restat, nisi ut dictis caput adhibeamus. *Pro.* Decet profecto. *So.* Tertio iam orationem eandem, conservatori deo vovent̄es, breviter perstringamus. *Pro.* Qualem inquis? *So.* Philebus quidem inquit, omnem penitus voluptatem nobis ipsum bonum esse. *Pro.* Tertium, o Socrates, modo nuncupasse videris orationem ipsam rursus repetere. *So.* Hoc ipsum. quod autem sequitur, audiamus. equidem, quod modo narravi, considerans orationem Philebi aliorumque innumerabilium, graviter ferens illique repu-

πολλάκις μυρίων, εἶπον ὡς ἡδονῆς γε νοῦς εἴη μακρῷ βέλτιόν τε καὶ ἄμεινον τῷ τῶν ἀνθρώπων βίῳ.

ΠΡΩ. Ἦν ταῦτα.

ΣΩ. Ὑποπτεύων δέ γε καὶ ἄλλα εἶναι πολλὰ εἶπον, ὡς εἰ φανείη τι τούτοιν ἀμφοῖν βέλτιον, ὑπὲρ τῶν δευτερείων νῷ πρὸς ἡδονὴν ξυνδιαμαχοίμην, ἡδονῇ δὲ καὶ δευτερείων στερήσοιτο.

ΠΡΩ. Εἶπες γὰρ οὖν.

ΣΩ. Καὶ μετὰ ταῦτά γε πάντων ἱκανώτατα τούτοιν οὐδέτερον ἱκανὸν ἐφάνη.

ΠΡΩ. Ἀληθέστατα.

ΣΩ. Οὐκοῦν παντάπασιν ἐν τούτῳ τῷ λόγῳ καὶ νοῦς ἀπήλλακτο καὶ ἡδονὴ μή τοι τἀγαθόν γε αὐτὸ μηδ' ἕτερον αὐτοῖν εἶναι στερομένοιν αὐταρκείας καὶ τῆς τοῦ ἱκανοῦ καὶ τελέου δυνάμεως;

ΠΡΩ. Ὀρθότατα.

ΣΩ. Φανέντος δέ γε ἄλλου τρίτου κρείττονος τούτοιν ἑκατέρου, μυρίῳ γ' αὖ νοῦς ἡδονῆς οἰκειότερον καὶ προσφυέστερον πέφανται γῦν τῇ τοῦ νικῶντος ἰδέᾳ.

ΠΡΩ. Πῶς γὰρ οὔ;

ΣΩ. Οὐκοῦν πέμπτον κατὰ τὴν κρίσιν, ἣν νῦν ὁ λόγος ἀπεφήνατο, γίγνοιτ' ἂν ἡ τῆς ἡδονῆς δύναμις.

ΠΡΩ. Ἔοικεν.

gnans, mentem inquam longe admodum meliorem potioremque voluptate vitae hominum esse. *Pro.* Dicta haec sunt. *So.* Suspicatus tamen esse et alia multa, intuli, quod si apparuerit aliquid amhobus hisce praestantius, pro mente ipsa adversus voluptatem de secunda sorte pugnarem, voluptasque secundis etiam honoribus spoliaretur. *Pro.* Haec quaque dixisti. *So.* Praeterea cum dixissem, bonum ipsum esse omnium sufficientissimum, neutrum ex iis tamen sufficiens esse constitit. *Pro.* Vera narras. *So.* Et cum in hac oratione mens et voluptas potestate sufficientiae perfectionisque carere visae fuissent, neutram esse bonum ipsum apparuit. *Pro.* Recte admodum. *So.* Quin etiam cum tertium quiddam utraque melius esse constiterit, mens utique longo quodam intervallo propinquior potiori superantique ideae, quam voluptas, eluxit. *Pro.* Quidni? *So.* Ergo nonne quintum gradum ex ea sententia, quam praesens iudicium protulit, voluptatis potentia sortietur? *Pro.* Videtur.

ΣΩ. Πρῶτον δέ γε οὐδ' ἂν οἱ πάντες βόες τε καὶ ἵπποι καὶ τἆλλα ξύμπαντα θηρία φῶσι τῷ τὸ χαίρειν διώκειν· οἷς πιστεύοντες, ὥς περ μάντεις ὄρνισιν, οἱ πολλοὶ κρίνουσι τὰς ἡδονὰς εἰς τὸ ζῆν ἡμῖν εὖ κρατίστας εἶναι, καὶ τοὺς θηρίων ἔρωτας οἴονται κυρίους εἶναι μάρτυρας μᾶλλον ἢ τοὺς τῶν ἐν Μούσῃ φιλοσάφῳ μεμαντευμένων ἑκάστοτε λόγων.

ΠΡΩ. Ἀληθέστατα, ὦ Σώκρατες, εἰρῆσθαί σοι νῦν ἤδη φαμὲν ἅπαντες.

ΣΩ. Οὐκοῦν καὶ ἀφίετέ με;

ΠΡΩ. Σμικρὸν ἔτι λοιπόν, ὦ Σώκρατες· οὐ γὰρ δή που σύ γε ἀπερεῖς πρότερος ἡμῶν. ὑπομνήσω δέ σε τὰ λειπόμενα.

So. Primum tamen voluptati locum boves darent et equi, et bruta denique universa, ex eo quod eius illecebris mancipata sunt: quibus plurimi fidem praestantes, haud secus quam augures avibus, voluptates ad bene vivendum potissimas omnium arbitrantur: ferarumque amores locupletiores testes asserunt, quam amores eorum, qui in philosophica musa ratione vaticinantur. *Pro.* Verissima, o Socrates, te narrasse cuncti fatemur. *So.* Nonne ergo me iam dimittis? *Pro.* Exiguum adhuc quiddam restat, o Socrates: non debes tanquam defatigatus prius quam nos deistere: ego vero quae restant, in memoriam tibi reducam.

PLATONIS
DIALOGORUM
PARTIS SECUNDAE
APPENDIX

ΘΕΑΓΗΣ

ΤΑ ΤΟΥ ΔΙΑΛΟΓΟΥ ΠΡΟΣΩΠΑ

ΔΗΜΟΔΟΚΟΣ, ΣΩΚΡΑΤΗΣ, ΘΕΑΓΗΣ.

DEMODOCUS, SOCRATES, THEAGES.

Ὦ Σώκρατες, ἐδεόμην ἄττα σοι ἰδιολογήσασθαι, εἰ 121
σχολή. κἂν ᾖ ἀσχολία δὲ μὴ πάνυ τις μεγάλη, ὅμως
ἐμοῦ ἕνεκεν ποίησαι σχολήν.

ΣΩ. Ἀλλὰ καὶ ἄλλως τυγχάνω σχολάζων, καὶ δὴ
σοῦ γε ἕνεκα καὶ πάνυ. ἀλλ' εἴ τι βούλει λέγειν, ἔξε-
στιν.

ΔΗ. Βούλει οὖν δεῦρο εἰς τὴν τοῦ Διὸς τοῦ ἐλευ-
θερίου στοὰν ἐκποδὼν ἀποχωρήσωμεν;

ΣΩ. Εἰ σοὶ δοκεῖ.

ΔΗ. Ἴωμεν δή, ὦ Σώκρατες. Πάντα τὰ φυτὰ
κινδυνεύει τὸν αὐτὸν τρόπον ἔχειν, καὶ τὰ ἐκ τῆς γῆς
φυόμενα καὶ τὰ ζῶα, τά τε ἄλλα καὶ ἄνθρωπος. καὶ
γὰρ ἐν τοῖς φυτοῖς ῥᾷστον ἡμῖν τοῦτο γίγνεται, ὅσοι
τὴν γῆν γεωργοῦμεν, τὸ παρασκευάσασθαι πάντα τὰ
πρὸ τοῦ φυτεύειν καὶ αὐτὸ τὸ φυτεῦσαι· ἐπειδὰν δὲ
τὸ φυτευθὲν βιῷ, μετὰ τοῦτο θεραπεία τοῦ φύντος καὶ

Indigebam, o Socrates, quaedam privatim tecum communicare, si quidem otium adsit, vel si sit negotium, neque id magnum: velim tamen mea causa te otium agere. *So.* Equidem otiosus sum; sed tui causa maxime. Si quid ergo dicere vis, licet. *De.* Vis ergo secedamus huc in proximam Iovis liberatoris porticum? *So.* Ut lubet. *De.* Eamus ergo, o Socrates. Omnes quidem plantae eodem se modo habere videntur, et quae quidem ex terra oriuntur, et animalia omnia, et homines ipsi. enimvero in plantis facillimum hoc est nobis, qui terram colimus, praeparare quidem omnia antequam plantemus, et ipsam etiam plantationem: postquam vero quod plantatum est, vivit, tunc cultus

πολλὴ καὶ χαλεπὴ καὶ δύσκολος γίγνεται. οὕτω δὲ ἔχειν ἔοικε καὶ τὸ περὶ τῶν ἀνθρώπων· ἀπὸ τῶν ἐμαυτοῦ ἐγὼ πραγμάτων τεκμαίρομαι καὶ ἐς τἄλλα. καὶ γὰρ ἐμοὶ ἡ τοῦ υἱέος τουτουΐ, εἴτε φυτείαν εἴτε παιδοποιίαν δεῖ αὐτὴν ὀνομάζειν, πάντων ῥᾴστη γέγονεν, ἡ δὲ τροφὴ δύσκολός τε καὶ ἀεὶ ἐν φάβῳ περὶ αὐτοῦ δεδιότι. τὰ μὲν οὖν ἄλλα πολλὰ ἂν εἴη λέγειν, ἡ δὲ νῦν παροῦσα ἐπιθυμία τούτῳ πάνυ με φοβεῖ· ἔστι μὲν γὰρ οὐκ ἀγεννής, σφαλερὰ δέ. ἐπιθυμεῖ γὰρ δὴ οὗτος ἡμῖν, ὦ Σώκρατες, ὥς φησι, σοφὸς γενέσθαι. δοκῶ γάρ μοι, τῶν ἡλικιωτῶν τινὲς αὐτοῦ καὶ δημοτῶν εἰς τὸ ἄστυ καταβαίνοντες, λόγους τινὰς ἀπομνημονεύοντες διατεῤῥάττουσιν αὐτόν· οὓς ἐζήλωκε καὶ πάλαι μοι πράγματα παρέχει, ἀξιῶν ἐπιμεληθῆναί με ἑαυτοῦ καὶ χρήματα τελέσαι τινὶ τῶν σοφιστῶν, ὅς τις αὐτὸν σοφὸν ποιήσει. ἐμοὶ δὲ τῶν μὲν χρημάτων καὶ ἔλαττον μέλει, ἡγοῦμαι δὲ τοῦτον οὐκ εἰς σμικρὸν κίνδυνον ἰέναι οἷ
122 σπεύδει. τέως μὲν οὖν αὐτὸν κατεῖχον παραμυθούμενος· ἐπειδὴ δὲ οὐκέτι οἷός τέ εἰμι, ἡγοῦμαι κράτιστον εἶναι πείθεσθαι αὐτῷ, ἵνα μὴ πολλάκις ἄνευ ἐμοῦ συγγενόμενός τῳ διαφθαρῇ. νῦν οὖν ἥκω ἐπ' αὐτὰ ταῦτα,

ipsius varius est et difficilis: eodemque modo et de hominibus videtur. Ex meis enim rebus cetera coniicio. Etenim haec mihi mei filii sive plantatio, seu filii generatio appellanda sit, omnium facillima exstitit: educatio autem difficilis, et semper in timore, maximum metum sui causa subeunti. Et alia quidem multa de hoc dici possent: praecipue vero cupiditas, quae huic nunc inest, vehementer me sollicitat. est enim non ingenerosa, verum talis, ut fallere possit. Capit enim hic, o Socrates, ut ipse ait, sapiens effici. Et ut mihi videtur, populares quidam eius aequales in urbem venientes suis sermonibus hunc vehementer incitaverunt, quos hic aemulari coepit, et mihi iampridem molestus est, fas esse putans, me illius curam suscipere, ac pecuniam sophistae alicui, qui ipsum sapientem reddat, praebere. Mihi autem pecuniarum minor est cura: verum hunc existimo ob hoc eius studium in periculum non mediocre incursurum. Hactenus igitur huic obstiti, consolans: sed postquam ulterius nequeo, operae pretium fore duco, ut sibi obtemperem, ne sine me frequenter cum aliis vivens corrumpatur. Nunc autem ad

ἵνα τῳ τούτων τῶν σοφιστῶν δοκούντων εἶναι συστήσω τουτονί. σὺ οὖν ἡμῖν εἰς καλὸν παρεφάνης, ᾧ ἂν ἐγὼ μάλιστ' ἐβουλόμην περὶ τῶν τοιούτων μέλλων πράξειν συμβουλεύσασθαι. ἀλλ' εἴ τι ἔχεις συμβουλεύειν ἐξ ὧν ἐμοῦ ἀκήκοας, ἔξεστί τε καὶ χρή.

ΣΩ. Ἀλλὰ μὲν δή, ὦ Δημόδοκε, καὶ λέγεταί γε συμβουλὴ ἱερὸν χρῆμα εἶναι. εἴ περ οὖν καὶ ἄλλη τίς οὖν ἐστὶν ἱερά, καὶ αὕτη ἂν εἴη περὶ ἧς σὺ νῦν συμβουλεύει· οὐ γὰρ ἔστι περὶ ὅτου θειοτέρου ἂν ἄνθρωπος βουλεύσαιτο ἢ περὶ παιδείας καὶ αὐτοῦ καὶ τῶν αὑτοῦ οἰκείων. πρῶτον μὲν οὖν ἐγώ τε καὶ σὺ συνομολογήσωμεν τί ποτε οἰόμεθα τοῦτ' εἶναι περὶ οὗ βουλευόμεθα. μὴ γὰρ πολλάκις ἐγὼ μὲν ἄλλο τι αὐτὸ ὑπολαμβάνω, σὺ δὲ ἄλλο, κἄπειτα πόρρω που τῆς συνουσίας αἰσθώμεθα γελοῖοι ὄντες, ἐγώ τε ὁ συμβουλεύων καὶ σὺ ὁ συμβουλευόμενος, μηδὲν τῶν αὐτῶν ἡγούμενοι.

ΔΗ. Ἀλλά μοι δοκεῖς ὀρθῶς λέγειν, ὦ Σώκρατες, καὶ ποιεῖν χρὴ οὕτως.

ΣΩ. Καὶ λέγω γε ὀρθῶς, οὐ μέντοι παντάπασί γε· σμικρὸν γάρ τι μετατίθεμαι. ἐννοῶ γὰρ μὴ καὶ ὁ μειρακίσκος οὗτος οὐ τούτου ἐπιθυμῇ οὗ ἡμεῖς αὐτὸν

hoc proficiscor, ut eum apud aliquem sophistarum sistam. Tu igitur peropportune nobis obviam factus es, quem quidem hac in re mihi consultorem maxime cupiebam. Itaque si quid habes, quod mihi in iis, quae audisti, consulere queas, licet et expedit. *So.* Ceterum, o Demodoce, consilium res sacra dicitur: quod si unquam ullum aliud, hoc est in primis, de quo quaeris. Non enim est divinius aliquid, de quo homo consulere queat, quam de institutione sui atque suorum. Primum igitur ego et tu conveniamus, quidnam putemus hoc esse, de quo consultamus; ne saepenumero ego quidem aliud illud existimem, tu item aliud, ac deinde longe dissentiamus: ridiculi quidem existentes ambo, et ego qui do, et tu qui postulas consilium, cum in nullo invicem consenserimus. *De.* Recte quidem mihi dicere videris, o Socrates: itaque faciendum censeo. *So.* Atqui recte quidem ex parte, non tamen omnino dicebam recte: nam paulisper id muto: dubito enim, ne forte hic adolescentulus alia quaedam, quam quae nos rebamur, cu-

πολλάκις μυρίων, εἶπον ὡς ἡδονῆς γε νοῦς εἴη μακρῷ βέλτιόν τε καὶ ἄμεινον τῷ τῶν ἀνθρώπων βίῳ.

ΠΡΩ. Ἦν ταῦτα.

ΣΩ. Ὑποπτεύων δέ γε καὶ ἄλλα εἶναι πολλὰ εἶπον, ὡς εἰ φανείη τι τούτοιν ἀμφοῖν βέλτιον, ὑπὲρ τῶν δευτερείων νῷ πρὸς ἡδονὴν ξυνδιαμαχοίμην, ἡδονῇ δὲ καὶ δευτερείων στερήσοιτο.

ΠΡΩ. Εἶπες γὰρ οὖν.

ΣΩ. Καὶ μετὰ ταῦτά γε πάντων ἱκανώτατα τούτοιν οὐδέτερον ἱκανὸν ἐφάνη.

ΠΡΩ. Ἀληθέστατα.

ΣΩ. Οὐκοῦν παντάπασιν ἐν τούτῳ τῷ λόγῳ καὶ νοῦς ἀπήλλακτο καὶ ἡδονὴ μή τοι ταγαθόν γε αὐτὸ μηδ' ἕτερον αὐτοῖν εἶναι στερομένοιν αὐταρκείας καὶ τῆς τοῦ ἱκανοῦ καὶ τελέου δυνάμεως;

ΠΡΩ. Ὀρθότατα.

ΣΩ. Φανέντος δέ γε ἄλλου τρίτου κρείττονος τούτοιν ἑκατέρου, μυρίῳ γ' αὖ νοῦς ἡδονῆς οἰκειότερον καὶ προσφυέστερον πέφανται νῦν τῇ τοῦ νικῶντος ἰδέᾳ.

ΠΡΩ. Πῶς γὰρ οὔ;

ΣΩ. Οὐκοῦν πέμπτον κατὰ τὴν κρίσιν, ἣν νῦν ὁ λόγος ἀπεφήνατο, γίγνοιτ' ἂν ἡ τῆς ἡδονῆς δύναμις.

ΠΡΩ. Ἔοικεν.

gnans, mentem inquam longe admodum meliorem potioremque voluptate vitae hominum esse. *Pro.* Dicta haec sunt. *So.* Suspicatus tamen esse et alia multa, intuli, quod si apparuerit aliquid amhobus hisce praestantius, pro mente ipsa adversus voluptatem de secunda sorte pugnarem, voluptasque secundis etiam honoribus spoliaretur. *Pro.* Haec quoque dixisti. *So.* Praeterea cum dixissem, bonum ipsum esse omnium sufficientissimum, neutrum ex iis tamen sufficiens esse constitit. *Pro.* Vera narras. *So.* Et cum in hac oratione mens et voluptas potestate sufficientiae perfectionisque carere visae fuissent, neutram esse bonum ipsum apparuit. *Pro.* Recte admodum. *So.* Quin etiam cum tertium quiddam utraque melius esse constiterit, mens utique longo quodam intervallo propinquior potiori superantique ideae, quam voluptas, eluxit. *Pro.* Quidni? *So.* Ergo nonne quintum gradum ex ea sententia, quam praesens iudicium protulit, voluptatis potentia sortietur? *Pro.* Videtur.

ΣΩ. Πρῶτον δέ γε οὐδ' ἂν οἱ πάντες βόες τε καὶ ἵπποι καὶ τἆλλα ξύμπαντα θηρία φῶσι τῷ τὸ χαίρειν διώκειν· οἷς πιστεύοντες, ὥς περ μάντεις ὄρνισιν, οἱ πολλοὶ κρίνουσι τὰς ἡδονὰς εἰς τὸ ζῆν ἡμῖν εὖ κρατίστας εἶναι, καὶ τοὺς θηρίων ἔρωτας οἴονται κυρίους εἶναι μάρτυρας μᾶλλον ἢ τοὺς τῶν ἐν Μούσῃ φιλοσάφῳ μεμαντευμένων ἑκάστοτε λόγων.

ΠΡΩ. Ἀληθέστατα, ὦ Σώκρατες, εἰρῆσθαί σοι νῦν ἤδη φαμὲν ἅπαντες.

ΣΩ. Οὐκοῦν καὶ ἀφίετέ με;

ΠΡΩ. Σμικρὸν ἔτι λοιπόν, ὦ Σώκρατες· οὐ γὰρ δή που σύ γε ἀπερεῖς πρότερος ἡμῶν. ὑπομνήσω δέ σε τὰ λειπόμενα.

So. Primum tamen voluptati locum boves darent et equi, et bruta denique universa, ex eo quod eius illecebris mancipata sunt: quibus plurimi fidem praestantes, haud secus quam augures avibus, voluptates ad bene vivendum potissimas omnium arbitrantur: ferarumque amores locupletiores testes asserunt, quam amores eorum, qui in philosophica musa ratione vaticinantur. *Pro.* Verissima, o Socrates, te narrasse cuncti fatemur. *So.* Nonne ergo me iam dimittis? *Pro.* Exiguum adhuc quiddam restat, o Socrates: non debes tanquam defatigatus prius quam nos desistere: ego vero quae restant, in memoriam tibi reducam.

PLATONIS

DIALOGORUM

PARTIS SECUNDAE

APPENDIX

ΘΕΑΓΗΣ

ΤΑ ΤΟΥ ΔΙΑΛΟΓΟΥ ΠΡΟΣΩΠΑ

ΔΗΜΟΔΟΚΟΣ, ΣΩΚΡΑΤΗΣ, ΘΕΑΓΗΣ.

DEMODOCUS, SOCRATES, THEAGES.

Ὦ Σώκρατες, ἐδεόμην ἄττα σοι ἰδιολογήσασθαι, εἰ 121
σχολή. κἂν ᾖ ἀσχολία δὲ μὴ πάνυ τις μεγάλη, ὅμως
ἐμοῦ ἕνεκεν ποίησαι σχολήν.

ΣΩ. Ἀλλὰ καὶ ἄλλως τυγχάνω σχολάζων, καὶ δή
σοῦ γε ἕνεκα καὶ πάνυ. ἀλλ' εἴ τι βούλει λέγειν, ἔξε-
στιν.

ΔΗ. Βούλει οὖν δεῦρο εἰς τὴν τοῦ Διὸς τοῦ ἐλευ-
θερίου στοὰν ἐκποδὼν ἀποχωρήσωμεν;

ΣΩ. Εἰ σοὶ δοκεῖ.

ΔΗ. Ἴωμεν δή, ὦ Σώκρατες. Πάντα τὰ φυτὰ
κινδυνεύει τὸν αὐτὸν τρόπον ἔχειν, καὶ τὰ ἐκ τῆς γῆς
φυόμενα καὶ τὰ ζῶα, τά τε ἄλλα καὶ ἄνθρωπος. καὶ
γὰρ ἐν τοῖς φυτοῖς ῥᾷστον ἡμῖν τοῦτο γίγνεται, ὅσοι
τὴν γῆν γεωργοῦμεν, τὸ παρασκευάσασθαι πάντα τὰ
πρὸ τοῦ φυτεύειν καὶ αὐτὸ τὸ φυτεῦσαι· ἐπειδὰν δὲ
τὸ φυτευθὲν βιῷ, μετὰ τοῦτο θεραπεία τοῦ φύντος καὶ

Indigebam, o Socrates, quaedam privatim tecum communicare, si quidem otium adsit, vel si sit negotium, neque id magnum: velim tamen mea causa te otium agere. *So.* Equidem otiosus sum; sed tui causa maxime. Si quid ergo dicere vis, licet. *De.* Vis ergo secedamus huc in proximam Iovis liberatoris porticum? *So.* Ut lubet. *De.* Eamus ergo, o Socrates. Omnes quidem plantae eodem se modo habere videntur, et quae quidem ex terra oriuntur, et animalia omnia, et homines ipsi. enimvero in plantis facillimum hoc est nobis, qui terram colimus, praeparare quidem omnia antequam plantemus, et ipsam etiam plantationem: postquam vero quod plantatum est, vivit, tunc cultus

πολλὴ καὶ χαλεπὴ καὶ δύσκολος γίγνεται. οὕτω δὲ ἔχειν ἔοικε καὶ τὸ περὶ τῶν ἀνθρώπων· ἀπὸ τῶν ἐμαυτοῦ ἐγὼ πραγμάτων τεκμαίρομαι καὶ ἐς τἆλλα. καὶ γὰρ ἐμοὶ ἡ τοῦ υἱέος τουτουί, εἴτε φυτείαν εἴτε παιδεποιίαν δεῖ αὐτὴν ὀνομάζειν, πάντων ῥᾴστη γέγονεν, ἡ δὲ τροφὴ δύσκολός τε καὶ ἀεὶ ἐν φάβῳ περὶ αὐτοῦ ἐστήκοτι. τὰ μὲν οὖν ἄλλα πολλὰ ἂν εἴη λέγειν, ἡ δὲ νῦν παροῦσα ἐπιθυμία τούτῳ πάνυ με φοβεῖ· ἔστι μὲν γὰρ οὐκ ἀγεννής, σφαλερὰ δέ. ἐπιθυμεῖ γὰρ δή οὗτος ἡμῖν, ὦ Σώκρατες, ὡς φησι, σοφὸς γενέσθαι. δοκῶ γάρ μοι, τῶν ἡλικιωτῶν τινὲς αὐτοῦ καὶ δημοτῶν εἰς τὸ ἄστυ καταβαίνοντες, λόγους τινὰς ἀπομνημονεύοντες διατῤῥάττουσιν αὐτόν· οὓς ἐζήλωσε καὶ πάλαι μοι πράγματα παρέχει, ἀξιῶν ἐπιμεληθῆναί με ἑαυτοῦ καὶ χρήματα τελέσαι τινὶ τῶν σοφιστῶν, ὅς τις αὐτὸν σοφὸν ποιήσει. ἐμοὶ δὲ τῶν μὲν χρημάτων καὶ ἔλαττον μέλει, ἡγοῦμαι δὲ τοῦτον οὐκ εἰς σμικρὸν κίνδυνον ἰέναι οἱ
122 σπεύδει. τέως μὲν οὖν αὐτὸν κατεῖχον παραθυμούμενος· ἐπειδὴ δὲ οὐκέτι οἷός τέ εἰμι, ἡγοῦμαι κρεῖττον εἶναι πείθεσθαι αὐτῷ, ἵνα μὴ πολλάκις ἄνευ ἐμοῦ συγγενόμενος τῷ διαφθαρῇ. νῦν οὖν ἦλθον ἐπ' αὐτὰ ταῦτα,

ipsius varius est et difficilis: eodemque modo et de hominibus videtur. Ex meis enim rebus cetera coniicio. Etenim haec mihi mei filii sive plantatio, seu filii generatio appellanda sit, omnium facillima exstitit: educatio autem difficilis, et semper in timore, maximum metum sui causa subeunti. Et alia quidem multa de hoc dici possent: praecipue vero cupiditas, quae huic nunc inest, vehementer me sollicitat. est enim non ingenerosa, verum talis, ut fallere possit. Capit enim hic, o Socrates, ut ipsi ait, sapiens effici. Et ut mihi videtur, populares quidam eius aequales in urbem venientes suis sermonibus hunc vehementer incitaverunt, quos hic aemulari coepit, et mihi iampridem molestus est, fas esse putans, me illius curam suscipere, ac pecuniam sophistae alicui, qui ipsum sapientem reddat, praebere. Mihi autem pecuniarum minor est cura: verum hunc existimo ob hoc eius studium in periculum non mediocre incursurum. Hactenus igitur huic obstiti, consolans: sed postquam ulterius nequeo, operae pretium fore duco, ut sibi obtemperem, ne sine me frequenter cum aliis vivens corrumpatur. Nunc autem ad

ἵνα τῳ τούτων τῶν σοφιστῶν δοκούντων εἶναι συστήσω τουτονί. σὺ οὖν ἡμῖν εἰς καλὸν παρεφάνης, ᾧ ἂν ἐγὼ μάλιστ' ἐβουλόμην περὶ τῶν τοιούτων μέλλων πράξειν συμβουλεύσασθαι. ἀλλ' εἴ τι ἔχεις συμβουλεύειν ἐξ ὧν ἐμοῦ ἀκήκοας, ἔξεστί τε καὶ χρή.

ΣΩ. Ἀλλὰ μὲν δή, ὦ Δημόδοκε, καὶ λέγεταί γε συμβουλὴ ἱερὸν χρῆμα εἶναι. εἴ περ οὖν καὶ ἄλλη ἥτις οὖν ἐστὶν ἱερά, καὶ αὕτη ἂν εἴη περὶ ἧς σὺ νῦν συμβουλεύει· οὐ γὰρ ἔστι περὶ ὅτου θειοτέρου ἂν ἄνθρωπος βουλεύσαιτο ἢ περὶ παιδείας καὶ αὐτοῦ καὶ τῶν αὑτοῦ οἰκείων. πρῶτον μὲν οὖν ἐγώ τε καὶ σὺ συνομολογήσωμεν τί ποτε οἰόμεθα τοῦτ' εἶναι περὶ οὗ βουλευόμεθα. μὴ γὰρ πολλάκις ἐγὼ μὲν ἄλλο τι αὐτὸ ὑπολαμβάνω, σὺ δὲ ἄλλο, κἄπειτα πόρρω που τῆς συνουσίας αἰσθώμεθα γελοῖοι ὄντες, ἐγώ τε ὁ συμβουλεύων καὶ σὺ ὁ συμβουλευόμενος, μηδὲν τῶν αὐτῶν ἡγούμενοι.

ΔΗ. Ἀλλά μοι δοκεῖς ὀρθῶς λέγειν, ὦ Σώκρατες, καὶ ποιεῖν χρὴ οὕτως.

ΣΩ. Καὶ λέγω γε ὀρθῶς, οὐ μέντοι παντάπασί γε· σμικρὸν γάρ τι μετατίθεμαι. ἐννοῶ γὰρ μὴ καὶ ὁ μειρακίσκος οὗτος οὐ τούτου ἐπιθυμῇ οὗ ἡμεῖς αὐτὸν

hoc proficiscor, ut eum apud aliquem sophistarum sistam. Tu igitur peropportune nobis obviam factus es, quem quidem hac in re mihi consultorem maxime cupiebam. Itaque si quid habes, quod mihi in iis, quae audisti, consulere queas, licet et expedit. *So.* Ceterum, o Demodoce, consilium res sacra dicitur: quod si unquam ullum aliud, hoc est in primis, de quo quaeris. Non enim est divinius aliquid, de quo homo consulere queat, quam de institutione sui atque suorum. Primum igitur ego et tu conveniamus, quidnam putemus hoc esse, de quo consultamus; ne saepenumero ego quidem aliud illud existimem, tu item aliud, ac deinde longe dissentiamus: ridiculi quidem existentes ambo, et ego qui do, et tu qui postulas consilium, cum in nullo invicem consenserimus. *De.* Recte quidem mihi dicere videris, o Socrates: itaque faciendum censeo. *So.* Atqui recte quidem ex parte, non tamen omnino dicebam recte: nam paulisper id muto: dubito enim, ne forte hic adolescentulus alia quaedam, quam quae nos rebamur, cu-

οἰόμεθα ἐπιθυμεῖν, ἀλλ' ἑτέρου, εἶτ' αὖ ἡμεῖς ἔτι ἀτοπώτεροι ὦμεν περὶ ἄλλου του βουλευόμενοι. ὀρθότατον οὖν μοι δοκεῖ εἶναι ἀπ' αὐτοῦ τούτου ἄρχεσθαι, διαπυνθανομένους ὅ τι καὶ ἔστιν οὗ ἐπιθυμεῖ.

ΔΗ. Κινδυνεύει γοῦν οὕτω βέλτιστον εἶναι ὡς σὺ λέγεις.

ΣΩ. Εἰπὲ δή μοι τί καλὸν ὄνομα τῷ νεανίσκῳ; τί αὐτὸν προσαγορεύωμεν;

ΔΗ. Θεάγης ὄνομα τούτῳ, ὦ Σώκρατες.

ΣΩ. Καλόν γε, ὦ Δημόδοκε, τῷ υἱεῖ τὸ ὄνομα ἔθου καὶ ἱεροπρεπές. Εἰπὲ δὴ ἡμῖν, ὦ Θέαγες, ἐπιθυμεῖν σῆς σοφὸς γενέσθαι καὶ ἀξιοῖς σου τὸν πατέρα τόνδε ἐξευρεῖν ἀνδρός τινος συνουσίαν τοιούτου ὅς τίς σε σοφὸν ποιήσει;

ΘΕ. Ναί.

ΣΩ. Σοφοὺς δὲ καλεῖς πότερον τοὺς ἐπιστήμονας, περὶ οτου ἂν ἐπιστήμονες ὦσιν, ἢ τοὺς μή;

ΘΕ. Τοὺς ἐπιστήμονας ἔγωγε.

ΣΩ. Τί οὖν; οὐκ ἐδιδάξατό σε ὁ πατὴρ καὶ ἐπαίδευσεν ἅ περ ἐνθάδε οἱ ἄλλοι πεπαίδευνται, οἱ τῶν καλῶν κἀγαθῶν πατέρων υἱεῖς, οἷον γράμματά τε καὶ κιθαρίζειν καὶ παλαίειν καὶ τὴν ἄλλην ἀγωνίαν;

ΘΕ. Ἐμέ γε.

piat: quod si alia, nos quoque absurdius essemus de alio consultantes. Rectissimum igitur mihi videtur, ut initium hinc sumentes, ipsum, quid cupiat, interrogemus. *De.* Apparet id quod dicis optimum esse. *So.* Dic igitur mihi, quod pulchrum nomen est puero? quo nomine ipsum vocabimus? *De.* Theages, o Socrates. *So.* Pulchrum, o Demodoce, filio nomen imposuisti. Sed tu dic mihi, Theages, cupisne sapiens esse? ac dignum existimas esse, ut pater hic tuus virum inveniat, qui te sua consuetudine sapientem reddat? *The.* Cupio. *So.* Sapientes autem utrum vocas homines scien iam habentes, quaecunque illa sint, quae scierint: necne? *The.* Scientes equidem. *So.* Quid igitur, nonne te pater edocuit, quae hic nobilium virorum alii docentur? scilicet literas, citharam pulsare, palaestram et alia certamina? *The.* Docuit.

ΣΩ. Ἔτι οὖν οἴει τινὸς ἐπιστήμης ἐλλείπειν, ἧς προσήκει ὑπὲρ σοῦ τὸν πατέρα ἐπιμεληθῆναι; 125

ΘΕ. Ἔγωγε.

ΣΩ. Τίς ἐστιν αὕτη; εἰπὲ καὶ ἡμῖν, ἵνα σοι χαρισώμεθα.

ΘΕ. Οἶδε καὶ οὗτος, ὦ Σώκρατες, ἐπεὶ πολλάκις ἐγὼ αὐτῷ εἴρηκα· ἀλλὰ ταῦτα ἐξεπίτηδες πρὸς σὲ λέγει, ὡς δὴ οὐκ εἰδὼς οὗ ἐγὼ ἐπιθυμῶ. τοιαῦτα γὰρ ἔτι καὶ ἕτερα καὶ πρὸς ἐμὲ μάχεταί τε καὶ οὐκ ἐθέλει με οὐδενὶ συατῆσαι.

ΣΩ. Ἀλλὰ τὰ μὲν ἔμπροσθέν σοι ἦν πρὸς τοῦτον ῥηθέντα ὥς περ ἄνευ μαρτύρων λεγόμενα· νυνὶ δὲ ἐμὲ ποίησαι μάρτυρα, καὶ ἐναντίον ἐμοῦ κάτειπε τίς ἐστιν αὕτη ἡ σοφία ἧς ἐπιθυμεῖς. φέρε γάρ, εἰ ἐπεθύμεις ταύτης ἢ οἱ ἄνθρωποι τὰ πλοῖα κυβερνῶσι, καὶ ἐγώ σε ἐτύγχανον ἀνερωτῶν Ὦ Θέαγες, τίνος ἐνδεὴς ὢν σοφίας μέμφει τῷ πατρὶ ὅτι οὐκ ἐθέλει σε συνιστάναι παρ' ὧν ἂν σὺ σοφὸς γένοιο; τί ἄν μοι ἀπεκρίνω; τίνα αὐτὴν εἶναι; ἆρ' οὐ κυβερνητικήν;

ΘΕ. Ναί.

ΣΩ. Εἰ δὲ ἐπιθυμῶν ταύτην τὴν σοφίαν εἶναι σοφὸς ἦ τὰ ἅρματα κυβερνῶσιν, εἶτ' ἐμέμφου τῷ πατρί, ἐμοῦ αὖ ἐρωτῶντος τίς ἐστιν αὕτη ἡ σοφία, τίν' ἂν ἀπεκρίνω αὐτὴν εἶναι; ἆρ' οὐχὶ ἡνιοχικήν;

So. Putas praeterea aliqua scientia indigere, de qua curam suscipere tui causa patrem deceat? *The.* Puto. *So.* Quae est igitur ipsa? dic nobis, ut tibi gratificemur. *The.* Novit et iste, o Socrates, quoniam persaepe illi enarravi; sed de industria haec nunc tecum loquitur, quasi nesciat, quae cupiam: hoc enim modo et in aliis multis mecum pugnat, neque vult alicui me tradere. *So.* Atqui quae hactenus adversus hunc abs te dicta sunt, testibus carent: nunc autem me adhibe testem, atque coram me denuo recense. Quaenam est haec sapientia, quam appetis? Age, si cuperes eam, qua homines navigia gubernant, et ego te rogarem, quanam, o Theages, sapientia indigens patri succenses, quod te apud aliquos, a quibus sapiens reddaris, sistere nolit? quamnam ipsam esse responderes? nonne gubernatoriam? *The.* Certe. *So.* Sin autem illius cuperes eruditum te fieri, qua currus reguntur, ac patri succenseres, ego vero interrogarem, quaenam esset haec sapientia, nonne aurigariam responderes?

ΘΕ. Ναί.

ΣΩ. Ἧς δὲ δὴ νῦν τυγχάνεις ἐπιθυμῶν, πότερον ἀνώνυμός τίς ἐστιν ἢ ἔχει ὄνομα;

ΘΕ. Οἶμαι ἔγωγε ἔχειν.

ΣΩ. Πότερον οὖν αὐτὴν μὲν οἶσθα, οὐ μέντοι τό γε ὄνομα, ἢ καὶ τὸ ὄνομα;

ΘΕ. Καὶ τὸ ὄνομα ἔγωγε.

ΣΩ. Τί οὖν ἔστιν; εἰπέ.

ΘΕ. Τί δὲ ἄλλο, ὦ Σώκρατες, αὐτῇ ὄνομα τις φαίη ἂν εἶναι ἀλλ' ἢ σοφίαν;

ΣΩ. Οὐκοῦν καὶ ἡ ἡνιοχεία σοφία ἐστίν; ἢ ἀμαθία δοκεῖ σοι εἶναι;

ΘΕ. Οὐκ ἔμοιγε.

ΣΩ. Ἀλλὰ σοφία;

ΘΕ. Ναί.

ΣΩ. Ἦι τί χρώμεθα; οὐχ ᾗ ἵππων ἐπιστάμεθα ζεύγους ἄρχειν;

ΘΕ. Ναί.

ΣΩ. Οὐκοῦν καὶ ἡ κυβερνητικὴ σοφία ἐστίν;

ΘΕ. Ἔμοιγε δοκεῖ.

ΣΩ. Ἆρ' οὐχ αὕτη ᾗ πλοίων ἐπιστάμεθα ἄρχειν;

ΘΕ. Αὕτη μὲν οὖν.

ΣΩ. Ἧς δὲ δὴ σὺ ἐπιθυμεῖς, ἡ σοφία τίς ἐστιν; ᾗ τίνος ἐπιστάμεθα ἄρχειν;

ΘΕ. Ἐμοὶ μὲν δοκεῖ, ᾗ τῶν ἀνθρώπων.

The. Utique. *So.* Quam igitur nunc cupis? Utrum illam quidem nosti, nomen autem ignoras? vel nomen etiam eius habes? *The.* Et nomen equidem. *So.* Dic ergo, quid est. *The.* Quod aliud nomen huic congruere quis diceret, o Socrates, nisi sapientiam? *So.* Nonne etiam aurigaria sapientia est? an ignorantia tibi videtur? *The.* Nullo modo. *So.* An non sapientia? *The.* Sapientia. *So.* Qua ad quid utimur? num qua scimus equorum iuga regere? *The.* Profecto. *So.* At gubernatoria nonne et ipsa sapientia est? *The.* Mihi quidem videtur. *So.* Num et ea est, qua naves gubernamus? *The.* Ea utique. *So.* Ea vero, quam nunc optas, quaenam sapientia est? quidve illa scimus administrare? *The.* Mihi quidem videtur ea, qua scimus hominibus imperare.

ΣΩ. Μῶν ἧ τῶν καμνόντων;

ΘΕ. Οὐ δῆτα.

ΣΩ. Ἰατρικὴ γάρ αὕτη ἐστίν. ἦ γάρ;

ΘΕ. Ναί.

ΣΩ. Ἀλλ' ἧ τῶν ᾀδόντων ἐπιστάμεθα ἐν τοῖς χοροῖς ἄρχειν;

ΘΕ. Οὔ.

ΣΩ. Μουσικὴ γὰρ αὕτη γε.

ΘΕ. Πάνυ γε.

ΣΩ. Ἀλλ' ἧ τῶν γυμναζομένων ἐπιστάμεθα ἄρχειν;

ΘΕ. Οὔ.

ΣΩ. Γυμναστικὴ γὰρ αὕτη γε.

ΘΕ. Ναί.

ΣΩ. Ἀλλ' ἧ τῶν τί ποιούντων; προθυμοῦ εἰπεῖν, ὡς περ ἐγὼ σοὶ τὰ ἔμπροσθεν.

ΘΕ. Ἥι τῶν ἐν τῇ πόλει, ἔμοιγε δοκεῖ.

ΣΩ. Οὐκοῦν ἐν τῇ πόλει εἰσὶ καὶ οἱ κάμνοντες;

ΘΕ. Ναί, ἀλλ' οὐ τούτων λέγω μόνον, ἀλλὰ καὶ τῶν ἄλλων τῶν ἐν τῇ πόλει. 124

ΣΩ. Ἆρά γε μανθάνω ἣν λέγεις τέχνην; δοκεῖς γάρ μοι λέγειν οὐχ ἧ τῶν θεριζόντων ἐπιστάμεθα ἄρχειν καὶ τῶν τρυγώντων καὶ τῶν φυτευόντων καὶ σπειρόντων καὶ ἀλοώντων· αὕτη μὲν γὰρ γεωργική, ἧ τούτων ἄρχομεν, ἦ γάρ;

So. Num qua aegrotantibus? *The.* Minime. *So.* Ipsa enim medicina est, nonne? *The.* Est. *So.* At qua canentibus scimus in choris praecipere? *The.* Nequaquam. *So.* Musica enim est. *The.* Ita. *So.* Sed utrum illa, qua certantibus praecipere novimus? *The.* Nequaquam. *So.* Gymnastica enim est. *The.* Est. *So.* Verum qua quid facientibus, conare exprimere sic, quemadmodum in superioribus ipse narravi. *The.* Mihi plane videtur ea, qua illis, qui sunt in civitate, praecipitur. *So.* Nonne in civitate etiam aegroti sunt? *The.* Sunt quidem; sed non istis solum dico, verum omnibus, qui in civitate versantur. *So.* Intelligo quam artem dicis. videris enim non eam, qua praeesse novimus metentibus aut vindemiantibus aut plantantibus aut serentibus aut triturantibus; ipsa enim, per quam iis imperamus, agricultura est.

ΘΕ. Ναί.

ΣΩ. Οὐδέ γε ᾗ τῶν πριζόντων καὶ τρυπώντων καὶ ξεόντων καὶ τορνευόντων ξυμπάντων ἐπιστάμεθα ἄρχειν, οὐ ταύτην λέγεις· αὕτη μὲν γὰρ οὐ τεκτονική;

ΘΕ. Ναί.

ΣΩ. Ἀλλ' ἴσως ᾗ τούτων τε πάντων καὶ αὐτῶν τῶν γεωργῶν καὶ τῶν τεκτόνων καὶ τῶν δημιουργῶν ἁπάντων καὶ τῶν ἰδιωτῶν καὶ τῶν γυναικῶν καὶ ἀνδρῶν· ταύτην ἴσως λέγεις τὴν σοφίαν.

ΘΕ. Ταύτην πάλαι, ὦ Σώκρατες, βούλομαι λέγειν.

ΣΩ. Ἔχεις οὖν εἰπεῖν, Αἴγισθος ὁ Ἀγαμέμνονα ἀποκτείνας ἐν Ἄργει ἆρα τούτων ἦρχεν ὧν σὺ λέγεις, τῶν τε δημιουργῶν καὶ ἰδιωτῶν καὶ ἀνδρῶν καὶ γυναικῶν ξυμπάντων, ἢ ἄλλων τινῶν;

ΘΕ. Οὔκ, ἀλλὰ τούτων.

ΣΩ. Τί δαὶ δή; Πηλεὺς ὁ Αἰακοῦ ἐν Φθίᾳ οὐ τῶν αὐτῶν τούτων ἦρχεν;

ΘΕ. Ναί.

ΣΩ. Περίανδρον δὲ τὸν Κυψέλου ἄρχοντα ἐν Κορίνθῳ ἤδη ἀκήκοας γενέσθαι;

ΘΕ. Ἔγωγε.

ΣΩ. Οὐ τῶν αὐτῶν τούτων ἄρχοντα ἐν τῇ αὐτοῦ πόλει;

ΘΕ. Ναί.

The. Est. *So.* Neque rursus qua secantibus vel perforantibus vel polientibus vel torno aliquid facientibus: nam haec ad fabros pertinet. *The.* Certe. *So.* Verum fortasse, qua iis universis, et agricolis et fabris et artificibus omnibus, ac privatis cunctis mulieribusque et viris imperitamus, eam tu sapientiam dicis. *The.* Istam ipsam, o Socrates, iampridem dicere volebam. *So.* Potesne dicere, an Aegisthus, qui Agamemnonem apud Argos interfecit, his omnibus imperavit, quos dixisti, artificibus, privatis viris, mulieribusque universis, an aliis quibusdam? *The.* Non aliis, sed iis omnibus. *So.* Quid autem Peleus, Aeaci filius, in Phthia nonne iisdem dominatus est? *The.* Eisdem. *So.* Periandrum vero Cypseli nonne audivisti apud Corinthios imperasse? *The.* Equidem. *So.* Nonne eisdem in eius civitate dominatus est? *The.* Certe.

ΣΩ. Τί δαί; Ἀρχέλαον τὸν Περδίκκου, τὸν νεωστὶ τούτων ἄρχοντα ἐν Μακεδονίᾳ, οὐ τῶν αὐτῶν ἡγεῖ τούτων ἄρχειν;

ΘΕ. Ἔγωγε.

ΣΩ. Ἱππίαν δὲ τὸν Πεισιστράτου ἐν τῇδε τῇ πόλει ἄρξαντα τίνων αἴει ἄρξαι; οὐ τούτων;

ΘΕ. Πῶς γὰρ οὔ;

ΣΩ. Εἴποις ἂν οὖν μοι τίνα ἐπωνυμίαν ἔχει Βάκις τε καὶ Σιβύλλα καὶ ὁ ἡμεδαπὸς Ἀμφίλυτος;

ΘΕ. Τίνα γὰρ ἄλλην, ὦ Σώκρατες, πλήν γε χρησμῳδοί;

ΣΩ. Ὀρθῶς λέγεις. ἀλλὰ καὶ τούσδε μοι οὕτω πειρῶ ἀποκρίνασθαι, τίν' ἐπωνυμίαν ἔχει Ἱππίας καὶ Περίανδρος διὰ τὴν αὐτὴν ἀρχήν;

ΘΕ. Οἶμαι μὲν τύραννοι· τί γὰρ ἄλλο;

ΣΩ. Οὐκοῦν ὅς τις ἐπιθυμεῖ τῶν ἀνθρώπων τῶν ἐν τῇ πόλει ξυμπάντων ἄρχειν, τῆς αὐτῆς ἀρχῆς τούτοις ἐπιθυμεῖ, τυραννικῆς, καὶ τύραννος εἶναι;

ΘΕ. Φαίνεται.

ΣΩ. Οὐκοῦν ταύτης ἐπιθυμεῖν σὺ φῄς;

ΘΕ. Ἔοικέ γε ἐξ ὧν ἐγὼ εἶπον.

ΣΩ. Ὦ μιαρέ, τυραννεῖν ἄρα ἡμῶν ἐπιθυμῶν πάλαι ἐμέμφου τῷ πατρὶ ὅτι σε οὐκ ἔπεμπεν εἰς διδασκάλου τυραννοδιδασκάλου τινός; Καὶ σύ, ὦ Δημόδο-

So. Quid vero? Archelaum Perdiccae, nuper in Macedonia imperantem, num iisdem existimas dominatum? *The.* Equidem. *So.* Hippiam autem Pisistrati, in hac urbe dominantem, quibusnam praefuisse arbitraris? nonne iisdem? *The.* Quidni? *So.* Bacis vero et Sibylla et Emedapus Amphilytus, quonam pacto tibi cognominandi viderentur? *The.* Non alio quam vatum nomine. *So.* Recte dicis. eodem modo conare, ut invenias, quo cognomine Hippiam et Periandrum propter eundem principatum nomines. *The.* Cur aliter quam tyrannos? *So.* Ergo quicunque cupit more istorum universis suis civibus imperare, tyrannidem appetit, seque tyrannum fieri? *The.* Ita videtur. *So.* Hanc tu optas? *The.* Videtur ex iis, quae dixi. *So.* O sceleste, nobisne more tyranni praeesse cupis? ac iamdudum succenses patri, qui te ad aliquem tyrannidis praeceptorem non miserit? Et te, De-

κε, οὐκ αἰσχύνει πάλαι εἰδὼς οὗ ἐπιθυμεῖ οὗτος; καὶ ἔχων ὅποι πέμψας αὐτὸν δημιουργὸν ἂν ἐποίησας τῆς σοφίας ἧς ἐπιθυμεῖ, ἔπειτα φθονεῖς τε αὐτῷ καὶ οὐκ ἐθέλεις πέμπειν; ἀλλὰ νῦν — ὁρᾷς; — ἐπειδὴ ἐναντίον ἐμοῦ κατείρηκέ σου, κοινῇ βουλευώμεθα ἐγώ τε καὶ σύ, ἐς τίνος ἂν αὐτὸν πέμποιμεν καὶ διὰ τὴν τίνος συνουσίαν σοφὸς ἂν γένοιτο τύραννος;

ΔΗ. Ναὶ μὰ Δία, ὦ Σώκρατες, βουλευώμεθα δῆτα, ὡς δοκεῖ γέ μοι βουλῆς δεῖν περὶ τούτου οὐ φαύλης.

ΣΩ. Ἴασον, ὦ γαθέ, διαπυθώμεθα αὐτοῦ πρῶτον ἱκανῶς.

ΔΗ. Πυνθάνου δή.

ΣΩ. Τί οὖν ἄν εἰ Εὐριπίδῃ τι προσχρησαίμεθα, ὦ Θέαγες; Εὐριπίδης γάρ πού φησι

σοφοὶ τύραννοι τῶν σοφῶν συνουσίᾳ.

εἰ οὖν ἔροιτό τις τὸν Εὐριπίδην Ὦ Εὐριπίδη, τῶν τί σοφῶν συνουσίᾳ φῂς σοφοὺς εἶναι τοὺς τυράννους; ὥσπερ ἂν εἰ εἰπόντα

σοφοὶ γεωργοὶ τῶν σοφῶν συνουσίᾳ

χρόμεθα τῶν τί σοφῶν, τί ἂν ἡμῖν ἀπεκρίνατο; ἆρ' ἂν ἄλλο τι ἢ τῶν τὰ γεωργικά;

ΘΕ. Οὔκ, ἀλλὰ τοῦτο.

ΣΩ. Τί δαί; εἰ εἶπε

modoce, nonne pudet, cum olim noveris, quid iste concupiscat? et si habuisses, quo ipsum mitteres, artificem illius sapientiae, quam appetit, effecisses. deinde invides ipsi, nec vis mittere? sed nunc vides. Cum vero te coram me accusaverit, consultemus simul ego ac tu, est quo ipsum mittamus, ut propter alicuius consuetudinem sapiens tyrannus efficiatur? *De.* Per Iovem, o Socrates, consultemus. est enim, ut mihi videtur, consilio opus, et maximo. *So.* Sine, bone vir, interrogemus ipsum prius. *De.* Interroga. *So.* Quid si Euripide ad aliquid utamur, o Theages? Inquit enim ille, *Sapientes tyranni sapientum consuetudine.* Si quis ab Euripide peteret, qua in re sapientum consuetudine ais sapientes esse tyrannos? quemadmodum si cum dixisset, Sapientes agricolae sapientum consuetudine, percontaremur, in quo sapientum, quid putas ipsum dicturum? an aliud, quam in re rustica? *The.* Nihil aliud. *So.* Eodem modo si dixisset,

σοφοὶ μάγειροι τῶν σοφῶν συνουσίᾳ,
εἰ ἠρόμεθα τῶν τί σοφῶν, τί ἂν οἴει αὐτὸν ἀποκρίνασθαι; οὐχ ὅτι τῶν μαγειρικῶν;

ΘΕ. Ναί.

ΣΩ. Τί δ', εἰ

σοφοὶ παλαισταὶ τῶν σοφῶν συνουσίᾳ
εἶπεν, εἰ ἠρόμεθα τῶν τί σοφῶν, ἆρ' οὐκ ἂν τῶν παλαίειν ἔφη;

ΘΕ. Νεί.

ΣΩ. Ἐπειδὴ δὲ εἶπε

σοφοὶ τύραννοι τῶν σοφῶν συνουσίᾳ,
ἡμῶν ἐρωτώντων Τῶν τί σοφῶν λέγεις ὦ Εὐριπίδη; τί ἂν φαίη; ποῖα ἂν εἶναι ταῦτα;

ΘΕ. Ἀλλὰ μὰ Δί' οὐκ οἶδ' ἔγωγε.

ΣΩ. Ἀλλὰ βούλει ἐγώ σοι εἴπω;

ΘΕ. Εἰ σὺ βούλει.

ΣΩ. Ταῦτ' ἐστὶν ἃ περ ἔφη Ἀνακρέων τὴν Καλλικρήτην ἐπίστασθαι. ἢ οὐκ οἶσθα τὸ ᾆσμα;

ΘΕ. Ἔγωγε.

ΣΩ. Τί οὖν; τοιαύτης τινὸς καὶ σὺ συνουσίας ἐπιθυμεῖς ἀνδρὸς ὅς τις τυγχάνει ὁμότεχνος ὢν Καλλικρήτῃ τῇ Κυανῆς, καὶ ἐπίσταται τυραννικὰ ὥς περ ἐκείνην ἔφη ὁ ποιητής, ἵνα καὶ σὺ ἡμῖν τύραννος γένῃ καὶ τῇ πόλει;

ΘΕ. Πάλαι, ὦ Σώκρατες, σκώπτεις καὶ παίζεις πρός με.

Sapientes coqui sapientum consuetudine; nosque interrogaremus, quanam in re sapientum, quid aliud responderet, quam in coquinaria? *The.* Id ipsum. *So.* Quid si dixisset, Sapientes certatores sapientum consuetudine; et nos in quo sapientum interrogaremus, nonne in certando responderet? *The.* Immo. *So.* Postquam autem dixit, *Sapientes tyranni sapientum consuetudine*, si interrogaremus illum, qua in re, o Euripides, sapientum, quid eum responsurum putas? *The.* Per Iovem, nescio. *So.* Vis tibi dicam? *The.* Ut lubet. *So.* Haec sunt, quae ait Anacreon ipsam Callicratem nosse. audisti carmen? *The.* Audivi. *So.* Quid igitur? huiusmodine viri consuetudinem cupis, qui particeps esset eiusdem artis, cuius et Callicrates Cyane nata, sciretque tyrannica, quae Callicratem novisse poeta inquit; ut nobis et civitati tyrannus efficiaris? *The.* Iamdudum me mordes, Socrates, atque irrides.

ΣΩ. Τί δαί; οὐ ταύτης φῂς τῆς σοφίας ἐπιθυμεῖν ἢ πάντων ἂν τῶν πολιτῶν ἄρχοις; τοῦτο δὲ ποιῶν ἄλλο τι ἢ τύραννος ἂν εἴης;

ΘΕ. Εὐξαίμην μὲν ἄν, οἶμαι, ἔγωγε τύραννος γενέσθαι μάλιστα μὲν πάντων ἀνθρώπων, εἰ δὲ μή, ὡς πλείστων· καὶ σύ γ' ἄν, οἶμαι, καὶ οἱ ἄλλοι πάν-
125 τες ἄνθρωποι· ἔτι δέ γε ἴσως μᾶλλον θεὸς γενέσθαι· ἀλλ' οὐ τούτου ἔλεγον ἐπιθυμεῖν.

ΣΩ. Ἀλλὰ τί δαί ἔστι ποτὲ οὗ ἐπιθυμεῖς; οὐ τῶν πολιτῶν φῂς ἄρχειν ἐπιθυμεῖν; 10

ΘΕ. Οὐ βίᾳ γε οὐδ' ὥς περ οἱ τύραννοι, ἀλλ' ἑκόντων, ὥς περ καὶ οἱ ἄλλοι οἱ ἐν τῇ πόλει ἐλλόγιμοι ἄνδρες.

ΣΩ. Ἆρά γε λέγεις ὥς περ Θεμιστοκλῆς καὶ Περικλῆς καὶ Κίμων καὶ ὅσοι τὰ πολιτικὰ δεινοὶ γεγόνασιν;

ΘΕ. Νὴ Δία τούτους λέγω.

ΣΩ. Τί οὖν; εἰ τὰ ἱππικὰ ἐτύγχανες ἐπιθυμῶν σοφὸς γενέσθαι, παρὰ τίνας ἂν ἀφικόμενος ᾠήθης δεινὸς ἔσεσθαι ἱππεύς; ἢ παρ' ἄλλους τινὰς ἢ τοὺς ἱππικούς;

ΘΕ. Μὰ Δί' οὐκ ἔγωγε.

ΣΩ. Ἀλλὰ παρ' αὐτοὺς οὖ τοὺς δεινοὺς ὄντας ταῦ- 20
τα, καὶ οἷς εἰσί τε ἵπποι καὶ χρῶνται ἑκάστοτε καὶ οἰκείοις καὶ ἀλλοτρίοις πολλοῖς;

ΘΕ. Δῆλον ὅτι.

So. Quamobrem? nonne ais, hanc te sapientiam optare, qua cunctis imperes civibus: atqui haec faciens, aliudne quam tyrannus esses? *The.* Optarem equidem omnium hominum, vel quam plurimorum tyrannide potiri, quod idem de te ac ceteris omnibus arbitror; vel potius Deus esse. verum tamen non hoc appetere dicebam. *So.* Quid tandem est hoc, quod cupis? nonne civibus praeesse? *The.* Non vi quidem, neque ut tyranni; sed volentibus, quemadmodum alii in civitate rationis compotes homines. *So.* Dicis ergo, qualis Themistocles fuit et Pericles et Cimon, et quicunque alii in administratione rei publicae floruerunt? *The.* Per Iovem, istos inquam. *So.* Quid vero? si nobilem effici equestrem expeteres, et in ea arte sapientem, ad quosnam ut hoc assequereris accederes, praeterquam ad equestres? *The.* Ad nullos alios. *So.* Quippe ad hos ipsos, qui equestri arte pollerent, et qui equis tum nostratibus tum alienis quam plurimis uterentur. *The.* Scilicet.

ΣΩ. Τί δαί; εἰ τὰ ἀκοντιστικὰ σοφὸς ἐβούλου γενέσθαι, οὐ παρὰ τοὺς ἀκοντιστικοὺς ᾧου ἂν ἐλθὼν σοφὸς ἔσεσθαι, τούτους οἷς ἔστι τε ἀκόντια καὶ πολλοῖς καὶ ἀλλοτρίοις καὶ οἰκείοις ἑκάστοτε χρῶνται ἀκοντίοις;

ΘΕ. Ἔμοιγε δοκεῖ.

ΣΩ. Λέγε δή μοι· ἐπεὶ δὲ δὴ τὰ πολιτικὰ βούλει σοφὸς γενέσθαι, οἴει παρ' ἄλλους τινὰς ἀφικόμενος σοφὸς ἔσεσθαι ἢ τοὺς πολιτικοὺς τούτους, τοὺς αὐτούς τε δεινοὺς ὄντας τὰ πολιτικὰ καὶ χρωμένους ἑκάστοτε τῇ τε αὑτῶν πόλει καὶ ἄλλαις πολλαῖς, καὶ Ἕλλησίσι προσομιλοῦντας πόλεσι καὶ βαρβάροις; ἢ δοκεῖς ἄλλοις τισὶ συγγενόμενος σοφὸς ἔσεσθαι ταῦτα ἃ περ οὗτοι, ἀλλ' οὐκ αὐτοῖς τούτοις;

ΘΕ. Ἀκήκοα γάρ, ὦ Σώκρατες, οὕς σέ φασι λέγειν τοὺς λόγους, ὅτι τούτων τῶν πολιτικῶν ἀνδρῶν οἱ υἱεῖς οὐδὲν βελτίους εἰσὶν ἢ οἱ τῶν σκυτοτόμων· καί μοι δοκεῖς ἀληθέστατα λέγειν ἐξ ὧν ἐγὼ δύναμαι αἰσθέσθαι. ἀκόητος οὖν ἂν εἴην εἰ οἰοίμην τινὰ τούτων ἐμοὶ μὲν ἂν παραδοῦναι τὴν αὑτοῦ σοφίαν, τὸν δὲ υἱὸν τὸν αὑτοῦ μηδὲν ὠφελῆσαι, εἴ τι οἷός τ' ἦν εἰς ταῦτα ὠφελεῖν ἄλλον ὁντιναοῦν ἀνθρώπων.

ΣΩ. Τί ἂν οὖν, ὦ βέλτιστε ἀνδρῶν, χρήσαιο σαυτῷ, εἴ σοι ἐπειδὴ γένοιτο υἱὸς τοιαῦτα πράγματα πα-

So. Eodemque modo si sapienter iaculandi artem adipisci cuperes, ad eos, qui optime iaculentur, et qui multis tam alienis quam propriis utuntur spiculis, proficiscereris. *The.* Mihi quidem videtur. *So.* Age itaque, postquam in civilibus erudiri vis, ad alios, ut in iis sapiens fias, accedendum putas, quam ad hos civiles homines, qui disciplina civili summopere valent, et utuntur ea tum patria tum aliarum civitatum et Graecarum et barbararum? an putas, ab aliis sapientiam consequi eorum, quae isti soli cognorunt? *The.* Audivi, Socrates, sermones quosdam, quos tuos asserunt, civilium virorum filios nihilo meliores quam cerdonum esse. et, mea quidem sententia, vera dicis. Insipiens ergo essem, si mihi persuaderem, aliquem istorum mihi suam sapientiam traditurum, qui filios quidem suos minime iuvent, putaremque posse me ulla in re circa haec cuiquam prodesse. *So.* Quomodo te, optime hominum, verteres, si, cum tibi filius esset, haec tibi negotia praeberet et ostenderet cupere in opti-

ρέγοι, καὶ φαίη μὲν ἂν ἐπιθυμεῖν ἀγαθὸς γενέσθαι ζωγράφος, καὶ μέμφοιτο σοὶ τῷ πατρὶ ὅτι οὐκ ἐθέλεις ἀναλίσκειν εἰς αὐτὸν τούτων αὐτῶν ἕνεκα ἀργύριον, τοὺς δὲ δημιουργοὺς αὐτοῦ τούτου τοὺς ζωγράφους ἀτιμάζοι τε καὶ μὴ βούλοιτο παρ' αὐτῶν μανθάνειν; ἢ τοὺς αὐλητάς, βουλόμενος αὐλητὴς γενέσθαι, ἢ τοὺς κιθαριστάς; ἔχοις ἂν αὐτῷ ὅ τι χρῷο καὶ ὅποι πέμποις ἄλλοσε μὴ ἐθέλοντα παρὰ τούτων μανθάνειν;

ΘΕ. Μὰ Δί' οὐκ ἔγωγε.

127 *ΣΩ.* Νῦν οὖν ταὐτὰ ταῦτα αὐτὸς πρὸς τὸν πατέρα ποιῶν θαυμάζεις καὶ μέμφει εἰ ἀπορεῖ ὅ τί σοι χρήσηται καὶ ὁποι πέμψῃ; ἐπεὶ Ἀθηναίων γε τῶν καλῶν κἀγαθῶν τὰ πολιτικὰ ὅτῳ ἂν βούλῃ συστήσομέν σε, ὅς σοι προῖκα συνέσται· καὶ ἅμα μὲν ἀργύριον οὐκ ἀναλώσεις, ἅμα δὲ πολὺ μᾶλλον εὐδοκιμήσεις παρὰ τοῖς πολλοῖς ἀνθρώποις ἢ ἄλλῳ τῳ συνών.

ΘΕ. Τί οὖν, ὦ Σώκρατες; οὐ καὶ σὺ τῶν καλῶν κἀγαθῶν εἶ ἀνδρῶν; εἰ γὰρ σύ μοι ἐθέλοις συνεῖναι, ἐξαρκεῖ καὶ οὐδένα ἄλλον ζητῶ.

ΣΩ. Τί τοῦτο λέγεις, Θέαγες;

ΔΗ. Ὦ Σώκρατες, οὐ μέντοι κακῶς λέγει, καὶ ἅμα μὲν ἐμοὶ χαριεῖ, ὡς ἐγὼ οὐκ ἔσθ' ὅ τι τούτου μεῖζον ἂν ἕρμαιον ἡγησαίμην, ἢ εἰ οὗτός τε ἀρέσκοιτο τῇ σῇ

mum pictorem evadere, tibi autem succenseret, quod nullam in eo pecuniam horum gratia consumere velles, huius vero rei artifices pictores parvipenderet, neque ab eis aliquid vellet discere: vel tibicinas, tibicen effici volens; vel etiam citharoedos, haberes, ad quid eo utereris, vel quo alio illum mitteres, nolentem ab iis discere? *The.* Minime per Iovem. *So.* Nunc igitur eadem haec adversus tuum patrem faciens, mirarisne atque succenses, si dubitat ad quid te utatur, et quo te mittat, postquam Atheniensium in administranda re publica praestantissimorum cuicunque voles commendaturi sumus, qui tecum sine pretio versetur: et simul neque argentum eroges, et multo magis vulgo honoreris, quam si aliis congrediaris. *The.* Quid igitur, Socrates, nonne tu ex bonis viris es? Si me susceperis, sat habeo, neque alium quaeram. *So.* Quid hoc dicis? *De.* Non male dicit, o Socrates, neque mihi quicquam hoc iucundius utiliusque, ut arbitror, esse posset, quam si huic tua consuetudo placeret,

συνουσίᾳ καὶ σὺ ἐθέλοις τούτῳ συνεῖναι. καὶ μέντοι καὶ αἰσχύνομαι λέγειν ὡς σφόδρα βούλομαι. ἀλλ' ἐγὼ ἀμφοτέρων ὑμῶν δέομαι, σέ τ' ἐθέλειν τούτῳ συνεῖναι καὶ σὲ μὴ ζητεῖν ἄλλῳ μηδενὶ συγγενέσθαι ἢ Σωκράτει· καί με πολλῶν καὶ φοβερῶν ἀπαλλάξετε φροντίδων, ὡς νῦν πάνυ φοβοῦμαι ὑπὲρ τούτου, μή τινι ἄλλῳ ἐντύχῃ οἵῳ τοῦτον διαφθεῖραι.

ΘΕ. Μηκέτι νῦν, ὦ πάτερ, ὑπὲρ γ' ἐμοῦ φοβοῦ, εἴ περ οἷός τ' εἶ πεῖσαι τοῦτον τὴν ἐμὴν συνουσίαν προσδέξασθαι.

ΔΗ. Πάνυ καλῶς λέγεις. Ὦ Σώκρατες, πρὸς σὲ δ' ἂν ἤδη εἴη ὁ μετὰ τοῦτο λόγος. ἐγὼ γάρ σοι ἕτοιμός εἰμι, ὡς διὰ βραχέων εἰπεῖν, καὶ ἐμὲ καὶ τὰ ἐμὰ ὡς οἷόν τε οἰκειότατα παρέχειν, ὅτου ἂν δέῃ ἔμβραχύ, ἐὰν Θεάγῃ τουτονὶ ἀσπάζῃ τε καὶ εὐεργετῇς ὅ τι ἂν οἷός τε ᾖς.

ΣΩ. Ὦ Δημόδοκε, τὸ μὲν ἐσπουδακέναι σε οὐ θαυμάζω, εἴ περ οἷει ὑπ' ἐμοῦ μάλιστ' ἂν σοι τοῦτον ὠφεληθῆναι· οὐ γὰρ οἶδα ὑπὲρ ὅτου ἄν τις νοῦν ἔχων μᾶλλον σπουδάζοι ἢ ὑπὲρ υἱέος αὐτοῦ, ὅπως ὡς βέλτιστος ἔσται· ὁπόθεν δὲ ἔδοξέ σοι τοῦτο, ὡς ἐγὼ ἂν μᾶλλον τὸν σὸν υἱὸν οἷός τε ἦν ὠφελῆσαι πρὸς τὸ πολίτην ἀγαθὸν γενέσθαι ἢ σὺ αὐτός, καὶ ὁπόθεν οὗτος ᾠήθη

et tu cum eo versari velles: et profecto pudore impedior dicere, quam vehementer affectem. Itaque ambos vos rogatos velim, et te, ut velis hunc suscipere, et te, ne alium quam Socratem quaeras, meque maximis curis, et formidine plenis, obsecro, liberetis; quoniam nunc vehementer timeo, ne hic cuiuspiam alterius consuetudinem quaerat, a quo deinde perdatur. *The.* Ne ulterius mihi timeas, mi pater, si huic persuadere potes, ut me suscipiat. *De.* Recte loqueris: et adversus te, o Socrates, omnis posthac sermo erit. Ego enim, ut brevissime loquar, me simul ac mea omnia vel carissima, quocunque indigeas, tibi libentissime trado; si hunc Theagem susceperis, eique quoad poteris bene feceris. *So.* Equidem, o Demodoce, studium hoc tuum non admiror, si quidem existimas, maxime a me hunc iuvari posse. non enim novi, cui rei maiorem diligentiam, quisquis mentem habet, adhibere debeat, quam ut filium optimum reddat. Sed unde tibi hoc ita visum est, me videlicet tuum filium meliorem posse civem reddere, quam te ipsum? atque unde hic sibi persuasit, posse magis a me quam abs te ad

ἐμὲ μᾶλλον ἢ σὲ αὐτὸν ὠφελήσειν, τοῦτο πάνυ θαυμάζω. σὺ γὰρ πρῶτον μὲν πρεσβύτερος εἶ ἐμοῦ, ἔπειτα πολλὰς ἤδη ἀρχὰς καὶ τὰς μεγίστας Ἀθηναίοις ἦρξας, καὶ τιμᾷ ὑπὸ Ἀναγυρασίων τε τῶν δημοτῶν πολὺ μάλιστα καὶ ὑπὸ τῆς ἄλλης πόλεως οὐδενὸς ἧττον· ἐμοὶ δὲ τούτων οὐδὲν ἑνορᾷ οὐδέτερος ὑμῶν. ἔπειτα εἰ ἄρα τῆς μὲν τῶν πολιτικῶν ἀνδρῶν συνουσίας Θεάγης ὅδε καταφρονεῖ, ἄλλους δέ τινας ζητεῖ οἳ παιδεύειν ἐπαγγέλλονται οἷοί τε εἶναι νέους ἀνθρώπους, ἔστιν ἐνταῦθα καὶ Πρόδικος ὁ Κεῖος καὶ Γοργίας ὁ Λεοντῖνος καὶ
128 Πῶλος ὁ Ἀκραγαντῖνος καὶ ἄλλοι πολλοί, οἳ οὕτω σοφοί εἰσιν ὥστε εἰς τὰς πόλεις ἰόντες πείθουσι τῶν νέων τοὺς γενναιοτάτους τε καὶ πλουσιωτάτους, οἷς ἔξεστι τῶν πολιτῶν ᾧ ἂν βούλωνται προῖκα συνεῖναι, τούτους πείθουσιν ἀπολείποντας τὰς ἐκείνων συνουσίας αὐτοῖς συνεῖναι, προσκατατιθέντας ἀργύριον πάνυ πολὺ μισθόν, καὶ χάριν πρὸς τούτοις εἰδέναι. τούτων τινὰς εἰκὸς ἦν προαιρεῖσθαι καὶ τὸν υἱόν σου καὶ αὐτόν σε, ἐμὲ δ' οὐκ εἰκός· οὐδὲν γὰρ τούτων ἐπίσταμαι τῶν μακαρίων τε καὶ καλῶν μαθημάτων, ἐπεὶ ἐβουλόμην ἄν· ἀλλὰ καὶ λέγω δή που ἀεὶ ὅτι ἐγὼ τυγχάνω ὢν ἔπος εἰπεῖν οὐδὲν ἐπιστάμενος πλήν γε σμικροῦ τινὸς μαθήματος, τῶν

hanc rem iuvari? id enim vehementer admiror. Tu enim primum me senior es: deinde multis ac maximis apud Athenienses functus es magistratibus: neque alius magis quam tu a popularibus Anagyrasiis ac reliquis civibus honoratur. In me autem horum aliquid neuter vestrum videt. Verum si civilium virorum consuetudines Theages iste contemnit, aliosque quaerit, qui adolescentes instruere profitentur, est hic Prodicus Chius et Gorgias Leontinus et Polus Agrigentinus, aliique permulti: qui adeo sapientes sunt, ut urbes adeuntes nobilissimos et ditissimos iuvenes ad se ipsos alliciant; quibus licet quorumcunque civium volunt, grata familiaritate uti; quibus persuadent priori relicta consuetudine cum ipsis congredi, magnum argenti pretium afferentes, et gratiam insuper maximam habentes. ex iis ergo decebat te ac filium tuum aliquem eligere. me vero ad id elegisse non convenit. nullam enim ex istis beatis et pulcris disciplinis profiteor: velim tamen mihi illas adesse. Verum semper nihil scire me dico, praeter exiguam quandam amandi disciplinam.

ἐρωτικῶν. τοῦτο μέντοι τὸ μάθημα παρ' ὀντινοῦν ποιοῦμαι δεινὸς εἶναι καὶ τῶν προγεγονότων ἀνθρώπων καὶ τῶν νῦν.

ΘΕ. Ὁρᾷς, ὦ πάτερ, ὅτι Σωκράτης οὐ πάνυ μοι δοκεῖ τι [ἔτι] ἐθέλειν ἐμοὶ συνδιατρίβειν; ἐπεὶ τό γ' ἐμὸν ἕτοιμον, ἐὰν οὗτος ἐθέλῃ· ἀλλὰ ταῦτα παίζων πρὸς ἡμᾶς λέγει, ἐπεὶ ἐγὼ οἶδα τῶν ἐμῶν ἡλικιωτῶν καὶ ὀλίγῳ πρεσβυτέρων οἳ πρὶν μὲν τούτῳ συνεῖναι οὐδενὸς ἄξιοι ἦσαν, ἐπειδὴ δὲ συνεγένοντο τούτῳ, ἐν πάνυ ὀλίγῳ χρόνῳ πάντων βελτίους φαίνονται ὧν πρότερον χείρους.

ΣΩ. Οἶσθα οὖν οἷον τοῦτό ἐστιν, ὦ παῖ Δημοδόκου;

ΘΕ. Ναὶ μὰ Δί' ἔγωγε, ὅτι ἐὰν σὺ βούλῃ, καὶ ἐγὼ οἷός τ' ἔσομαι τοιοῦτος γενέσθαι οἷοί περ καὶ ἐκεῖνοι.

ΣΩ. Οὔκ, ὦ 'γαθέ, ἀλλά σε λέληθεν οἷον τοῦτ' ἔστιν, ἐγὼ δέ σοι φράσω. ἔστι γάρ τι θεῖα μοῖρα παρεπόμενον ἐμοὶ ἐκ παιδὸς ἀρξάμενον δαιμόνιον. ἔστι δὲ τοῦτο φωνή, ἣ ὅταν γένηται ἀεί μοι σημαίνει, ὃ ἂν μέλλω πράττειν, τούτου ἀποτροπήν, προτρέπει δὲ οὐδέποτε. καὶ ἐάν τίς μοι τῶν φίλων ἀνακοινῶται καὶ γένηται ἡ φωνή, ταὐτὸν τοῦτο ἀποτρέπει καὶ οὐκ ἐᾷ πράττειν. καὶ τούτων ὑμῖν μάρτυρας παρέξομαι. Χαρμίδην γὰρ τουτονὶ γιγνώσκετε τὸν καλὸν γενόμενον, τὸν Γλαύκωνος. οὗτός

Hac utique disciplina apud quemlibet vehementior tum superioribus tum etiam praesentibus viris esse videor. *The.* Videsne, pater, Socratem hunc non multum familiaritatem meam recipere? nam quantum ad me attinet, paratus sum, modo ipse velit: sed haec omnia ille ioco adversus nos dicit. Novi enim meorum aequalium, et aliquanto seniorum nonnullos, qui, cum antea nullius essent aestimationis, postquam familiaritate istius usi sunt, brevi omnium supremi illorum evaserunt, quorum infimi prius fuerant. *So.* Nosti, quale hoc sit, o Demodoci fili? *The.* Novi, per Iovem, quod, si volueris, talis fiam, quales illi fuerunt. *So.* Non ita, o optime: sed hoc te fefellit, quale sit: ego autem tibi dicam. Adest mihi divina quadam sorte daemonium quoddam, a prima pueritia me secutum: hoc enim vox est, quae cum fit, semper eius rei, quam facturus sum, dissuasionem demonstrat, provocat vero nunquam. Quod si quis amicorum mecum quandoque aliquid communicat, extatque vox, hoc illa dissuadet, neque facere sinit: cuius quidem rei vobis testes dabo. Charmidem, virum bonum, Glauconisque filium, noscitis. hic

ποτε ἐτύγχανεν ἐμοὶ ἀνακοινούμενος μέλλων ἀσκήσειν σταδίου εἰς Νεμέαν· καὶ εὐθὺς αὐτοῦ ἀρχομένου λέγειν ὅτι μέλλοι ἀσκεῖν, ἐγένετο ἡ φωνή. καὶ ἐγὼ διεκώλυόν τε αὐτὸν καὶ εἶπον ὅτι Λέγοντός σου μεταξὺ γέγονέ μοι ἡ φωνὴ ἡ τοῦ δαιμονίου· ἀλλὰ μὴ ἄσκει. Ἴσως, ἔφη, σημαίνει σοι ὅτι οὐ νικήσω· ἐγὼ δὲ κἂν μὴ μέλλω νικᾶν, γυμνασάμενός γε τοῦτον τὸν χρόνον ὠφεληθήσομαι. ταῦτα εἰπὼν ἤσκει· ἄξιον οὖν πυθέσθαι αὐτοῦ ἃ πρὸς αὐτῷ ξυνέβη ἀπὸ ταύτης τῆς ἀσκήσεως. Εἰ δὲ βούλεσθε τὸν Τιμάρχου ἀδελφὸν Κλειτόμαχον ἐρέσθαι, τί εἶπεν αὐτῷ Τίμαρχος ἤνίκ' ἀποθανούμενος ἦει εὐθὺ τοῦ δαιμονίου, ἐκεῖνός τε καὶ Εὔαθλος ὁ σταδιοδρομῶν, ὃς Τίμαρχον ὑπεδέξατο φεύγοντα. ἐρεῖ γὰρ ὑμῖν ὅτι εἶπεν αὐτῷ ταῦτα.

ΘΕ. Τί;

ΣΩ. Ὦ Κλειτόμαχε, ἔφη, ἐγὼ μέντοι ἔρχομαι ἀποθανούμενος νυνί, διότι Σωκράτει οὐκ ἤθελον πείθεσθαι. Τί δὴ οὖν ποτὲ τοῦτο εἶπεν ὁ Τίμαρχος; ἐγὼ φράσω. ὅτε ἀνίστατο ἐκ τοῦ συμποσίου ὁ Τίμαρχος καὶ Φιλήμων ὁ Φιλημονίδου ἀποκτενοῦντες Νικίαν τὸν Ἡροσκαμάνδρου, ἠπιστάσθην μὲν αὐτὼ μόνω τὴν ἐπιβουλήν, ὁ δὲ Τίμαρχος ἀνιστάμενος πρὸς ἐμὲ εἶπε, Τί

aliquando in Nemea stadio se exercitaturus, mecum communicabat. ac statim, ipso dicere incipiente, quod se exercitaturus esset, affuit vox: atque ego prohibui, sibi enarrans, quemadmodum daemonii vox exstiterat, ne se exerceret. Tum ille, Forsasse, inquit, significat me victorem non evasurum: ego autem etsi victoria non sim potiturus, tamen hoc in tempore me exercens aliquid proficiam. atque ita locutus, certaturus abit. Operae pretium igitur est percontari, quid sibi enarrans, quemadmodum daemonii vox exstiterat, ne se exerceret. Tum ille, Forsasse, inquit, significat me victorem non evasurum: ego autem etsi victoria non sim potiturus, tamen hoc in tempore me exercens aliquid proficiam. atque ita locutus, certaturus abit. Operae pretium igitur est percontari, quid sibi ex hoc certamine contigerit. Si autem vultis Clitomachum, Timarchi fratrem, interrogare, quid sibi Timarchus dixerit, quando propemodum moriturus esset. ipse simul et Euathlus, stadii quidem excursor, qui illum fugientem suscepit, referet vobis, quid sibi tunc dixerit. *The.* Quidnam? *So.* O Clitomache, inquit, equidem quamprimum moriturus venio, quoniam Socrati obtemperare nolui. quidve hoc inquit Timarchus, ego dicam. Quando surrexit ex convivio Timarchus et Philemon, Philemonidis filius, interfecturi Niciam Hiroscamandri, soli enim insidiarum ii conscii fuerant: Timarchus mihi dixit, Quid

λέγεις, ἔφη, ὦ Σώκρατες; ὑμεῖς μὲν πίνετε, ἐμὲ δὲ δεῖ ποι ἐξαναστῆναι· ἥξω δὲ ὀλίγον ὕστερον, ἐὰν τύχω. καί μοι ἐγένετο ἡ φωνή, καὶ εἶπον πρὸς αὐτόν, Μηδαμῶς, ἔφην, ἀναστῇς· γέγονε γάρ μοι τὸ εἰωθὸς σημεῖον τὸ δαιμόνιον. καὶ ὃς ἐπέσχε. καὶ διαλιπὼν χρόνον αὖθις ὡρμᾶτο ἰέναι, καὶ ἔφη Εἶμι δή, Σώκρατες. αὖθις ἐγένετο ἡ φωνή· αὖθις οὖν αὐτὸν ἠνάγκασα ἐπισχεῖν. τὸ τρίτον, βουλόμενός με λαθεῖν, ἀνέστη οὐκέτι εἰπών μοι οὐδὲν ἀλλὰ λαθών, ἐπιτηρήσας ἄλλοσε τὸν νοῦν ἔχοντα· καὶ οὕτως ᾤχετ' ἀπιὼν καὶ διεπράξατο ἐξ ὧν ᾔει ἀποθανούμενος. ὅθεν δὴ τοῦτ' εἶπε πρὸς τὸν ἀδελφὸν ὅ περ νῦν ὑμῖν ἐγώ, ὅτι ἴοι ἀπαθανούμενος διὰ τὸ ἐμοὶ ἀπιστῆσαι. Ἔτι τοίνυν περὶ τῶν ἐν Σικελίᾳ πολλῶν ἀκούσεσθον ἃ ἐγὼ ἔλεγον περὶ τῆς διαφθορᾶς τοῦ στρατοπέδου. Καὶ τὰ μὲν παρεληλυθότα τῶν εἰδότων ἔστιν ἀκοῦσαι· πεῖραν δ' ἔξεστι νυνὶ λαβεῖν τοῦ σημείου, εἰ ἄρα τι λέγει. ἐπὶ γὰρ τῇ ἐπὶ στρατείαν ἐξορμῇ Σαννίωνος τοῦ Καλοῦ ἐγένετό μοι τὸ σημεῖον, οἴχεται δὲ νῦν μετὰ Θρασύλλου στρατευσόμενος εὐθὺ Ἐφέσου καὶ Ἰωνίας. ἐγὼ οὖν οἴομαι ἐκεῖνον ἢ ἀποθανεῖσθαι ἢ ὁμοῦ τι τούτῳ ἐλᾷν, καὶ περί γε τῆς πραγματείας τῆς ἄλλης πάνυ φοβοῦμαι.

ais, o Socrates? vos quidem bibite: me vero oportet alio ex[illegible]: redibo autem paulo post, si occasio contigerit. Tum mihi a[illegible] vox. itaque, Ne surgas, inquam; solitum mihi a daemone sig[illegible] datum afferens. Quievit ille. Deinde paulisper commoratus a[illegible]bat iterum eundi cupiditate, dicens, Eo iam, Socrates. Et [illegible] iterum vocem audivi, rursus illum cohibui; donec ille terti[illegible] tere me cupiens, clanculum, cum ego mentem alio divertisse[illegible] subripuit: et sic profectus ea peregit, ex quibus in mortem [illegible]dit. Unde haec eadem fratri suo dixerat, ut ego nunc vob[illegible] se scilicet moriturum venire, quod mihi credere noluisset. Au[illegible] praeterea ab iis, qui in Sicilia sunt, quae de exercitus c[illegible] praedixeram. Et praeterita quidem ab iis, qui illa [illegible], audire licet. tentare vero daemonii signum, si quid fort[illegible], nunc etiam possumus. In expeditionem namque exiit N[illegible], Cali filius. mihi autem signum affuit. Proficiscitur [illegible] cum Thrasylo, adversus Ephesum et Ioniam militaturus. Ego autem illum existimo vel interfectum iri, vel in huiusmodi aliquid incursurum: et de alia negotiatione vehementer timeo.

Ταῦτα δὴ πάντα εἴρηκά σοι, ὅτι ἡ δύναμις αὕτη τοῦ δαιμονίου τούτου καὶ εἰς τὰς συνουσίας τῶν μετ' ἐμοῦ συνδιατριβόντων τὸ ἅπαν δύναται. πολλοῖς μὲν γὰρ ἐναντιοῦται, καὶ οὐκ ἔστι τούτοις ὠφεληθῆναι μετ' ἐμοῦ διατρίβουσιν, ὥστε οὐχ οἷόν τέ μοι τούτοις συνδιατρίβειν· πολλοῖς δὲ συνεῖναι μὲν οὐ διακωλύει, ὠφελοῦνται δὲ οὐδὲν συνόντες. οἷς δ' ἂν συλλάβηται τῆς συνουσίας ἡ τοῦ δαιμονίου δύναμις, οὗτοί εἰσιν ὧν καὶ σὺ ἤσθησαι· ταχὺ γὰρ παραχρῆμα ἐπιδιδόασι. καὶ τούτων αὖ τῶν ἐπιδιδόντων οἱ μὲν καὶ βέβαιον ἔχουσι 10
130 καὶ παραμόνιμον τὴν ὠφέλειαν· πολλοὶ δὲ ὅσον ἂν μετ' ἐμοῦ χρόνον ὦσι, θαυμάσιον ἐπιδιδόασιν, ἐπειδὰν δέ μου ἀπόσχωνται, πάλιν οὐδὲν διαφέρουσιν ὁτουοῦν. τοῦτό ποτε ἔπαθεν Ἀριστείδης ὁ Λυσιμάχου υἱὸς τοῦ Ἀριστείδου. διατρίβων γὰρ μετ' ἐμοῦ πάμπολυ ἐπεδεδώκει ἐν ὀλίγῳ χρόνῳ· ἔπειτα αὐτῷ στρατεία τις ἐγένετο καὶ ᾠχετο ἐκπλέων. ἥκων δὲ κατελάμβανε μετ' ἐμοῦ διατρίβοντα Θουκυδίδην τὸν Μελησίου υἱὸν τοῦ Θουκυδίδου. ὁ δὲ Θουκυδίδης τῇ προτεραίᾳ μοι δι' ἀπεχθείας ἐν λόγοις τισὶν ἐγεγόνει. ἰδών με οὖν ὁ Ἀριστείδης 20
ἐπειδὴ ἠσπάσατό τε καὶ τἆλλα διελέχθη, Θουκυδίδην δέ, ἔφη, ἀκούω, ὦ Σώκρατες, σεμνύνεσθαι ἅττα πρὸς σὲ

Haec omnia tibi ideo dixi, quia potentia haec huius daemonii in familiaritates eorum, qui mecum versantur, omnia potest. Multis enim adversatur, neque licet his auxilium ferri, qui mecum, invito daemone, consuetudinem habent. quare impossibile est mihi, cum iis vivere. Multis autem haerere non prohibet: sed consuetudine nostra nihil omnino iuvantur. Quibus autem faverit in ipsa familiaritate potestas daemonii, isti sunt, de quibus ipse sensisti, brevi enim proficiunt. Sed eorum partim hoc beneficium firmum habent atque durabile, plerique vero, quoad mecum sunt, mirifice pollent: at cum a me discesserint, rursus nihilo ab aliis differunt. Hoc quandoque accidit Aristidi, Lysimachi filio. Nam mecum commorans, brevi multum profecit. postea vero in militiam profectus est. rediens deinde offendit mecum esse Thucydidem, Mellissii filium. hic autem Thucydides pridie mihi adversarius in sermonibus quibusdam extiterat. Cum me salutasset, et quaedam insuper allocutus esset Aristides, Thucydidem, inquit, o Socrates, audio gloriari, et in quibusdam te-

καὶ χαλεπαίνειν ὡς τι ὄντα. Ἔστι γάρ, ἔφην ἐγώ, οὕτως. Τί δαί; οὐκ οἶδεν, ἔφη, πρὶν σοὶ συγγενέσθαι οἷον ἦν τὸ ἀνδράποδον; Οὐκ ἔοικέ γε, ἔφην ἐγώ, νὴ τοὺς θεούς. Ἀλλὰ μὴν καὶ αὐτός γε, ἔφη, καταγελάστως ἔχω, ὦ Σώκρατες. Τί μάλιστ'; ἔφην ἐγώ. Ὅτι, ἔφη, πρὶν μὲν ἐκπλεῖν ὁτῳοῦν ἀνθρώπων οἷός τ' ἦ διαλέγεσθαι καὶ μηδενὸς χείρων φαίνεσθαι ἐν τοῖς λόγοις, ὥστε καὶ ἐδίωκον τὰς συνουσίας τῶν χαριεστάτων ἀνθρώπων· νυνὶ δὲ τοὐναντίον φεύγω, ἄν τινα καὶ αἰσθάνωμαι πεπαιδευμένον· οὕτως αἰσχύνομαι ἐπὶ τῇ ἐμαυτοῦ φαυλότητι. Πότερον δέ, ἦν δ' ἐγώ, ἐξαίφνης σε προὔλιπεν αὕτη ἡ δύναμις ἢ κατὰ σμικρόν; Κατὰ σμικρόν, ἦ δ' ὅς. Ἡνίκα δέ σοι παρεγένετο, ἦν δ' ἐγώ, πότερον μαθόντι παρ' ἐμοῦ τι παρεγένετο, ἢ τινι ἄλλῳ τρόπῳ; Ἐγώ σοι, ἔφη, ἐρῶ, ὦ Σώκρατες, ἄπιστον μὲν νὴ τοὺς θεούς, ἀληθὲς δέ. ἐγὼ γὰρ ἔμαθον μὲν παρὰ σοῦ οὐδὲν πώποτε, ὡς αὐτὸς οἶσθα· ἐπεδίδουν δὲ ὁπότε σοι συνείην, κἂν εἰ ἐν τῇ αὐτῇ μόνον οἰκίᾳ εἴην, μὴ ἐν τῷ αὐτῷ δὲ οἰκήματι· μᾶλλον δὲ ὁπότε ἐν τῷ αὐτῷ οἰκήματι. καὶ ἔμοιγε ἐδόκουν πολὺ μᾶλλον ὁπότε ἐν τῷ αὐτῷ οἰκήματι ὧν λέγοντός σου βλέποιμι πρὸς σέ, μᾶλλον ἢ ὁπότε ἄλλοσε ὁρῴην. πολὺ δὲ μάλιστα καὶ πλεῖ-

cum etiam concertare, tanquam aliquid sit. Est, inquam, ut dicis. Tum ille, Nonne meminit, inquit, antequam tibi adhaereret, tanquam mancipium se fuisse? Non videtur, inquam, per deos. At ego, inquit ille, ridiculus sum. Quidnam maxime, inquam? Quoniam priusquam hinc abirem, cum quovis disputare audebam, neque aliquo videbar in disserendo deterior, adeo ut coetus praestantium virorum audacter adirem. Nunc autem contra fugio, quemcunque eruditum esse intelligo: adeo pudore abducor ob meam inscitiam. Utrum igitur, inquam, e vestigio te reliquit ipsa vis, an paulatim? Paulatim, inquit. Quando vero in te incessit? utrum accidit tibi aliquid a me discenti, an aliter? Dicam, o Socrates, rem quidem incredibilem, veram tamen. Nihil unquam a te, ut ipse scis, didici: proficiebam autem, quotienscunque tecum essem: etsi in eadem solum domo essem, non tamen in eadem parte domus: magis tamen, quotiens eadem in parte. Et mihi quidem videbar multo magis, quando in eadem parte existens, aliquid te dicentem intuebar, quam cum alio in-

στον ἐπεδίδουν, ὁπότε παρ' αὐτόν σε καθοίμην ἐχόμενός σου καὶ ἁπτόμενος. νῦν δή, ἦ δ' ὅς, πᾶσα ἐκείνη ἡ ἕξις ἐξερρύηκεν.

Ἔστιν οὖν, ὦ Θέαγες, τοιαύτη ἡ ἡμετέρα συνουσία· ἐὰν μὲν τῷ θεῷ φίλον ᾖ, πάνυ πολὺ ἐπιδώσεις καὶ ταχύ, εἰ δὲ μή, οὔ. ὅρα οὖν μή σοι ἀσφαλέστερον ᾖ παρ' ἐκείνων τινὶ παιδεύεσθαι, οἳ ἐγκρατεῖς αὐτοί εἰσι τῆς ὠφελείας ἣν ὠφελοῦσι τοὺς ἀνθρώπους, μᾶλλον ἢ παρ' ἐμοῦ ὅ τι ἂν τύχῃ, τοῦτο πρᾶξαι.

131 ΘΕ. Ἐμοὶ μὲν τοίνυν δοκεῖ, ὦ Σώκρατες, ἡμᾶς 10
οὑτωσὶ ποιῆσαι, ἀποπειραθῆναι τοῦ δαιμονίου τούτου συνόντας ἀλλήλοις. καὶ ἐὰν μὲν παρείκῃ ἡμῖν, ταῦτα βέλτιστα· εἰ δὲ μή, τότε ἤδη παραχρῆμα βουλευσόμεθα ὅ τι δράσομεν, εἴτε ἄλλῳ συνεσόμεθα, εἴτε καὶ αὐτὸ τὸ θεῖον τὸ σοὶ γιγνόμενον πειρασόμεθα παραμυθεῖσθαι εὐχαῖσί τε καὶ θυσίαις καὶ ἄλλῳ ὅτῳ ἂν οἱ μάντεις ἐξηγῶνται.

ΔΗ. Μηκέτι πρὸς ταῦτα ἀντείπῃς, ὦ Σώκρατες, τῷ μειρακίῳ· εὖ γὰρ λέγει Θεάγης.

ΣΩ. Ἀλλ' εἰ δοκεῖ χρῆναι οὕτω ποιεῖν, οὕτω ποιῶ- 20
μεν,

tuerer. sed longe magis proficiebam, cum apud te sedens, te tangebam. nunc autem omnis habitus ille defluxit. Est igitur, o Theages, huiusmodi nostra consuetudo. Si enim Deo gratum est, permultum quidem et brevi proficies: sin contra, minime. Vide igitur, ne tibi tutius sit, ab aliquo illorum erudiri, qui ipsi in sua potestate continent utilitatem, qua hominibus prosunt, quam a me fortuna quadam id assequi. *The.* Mihi quidem sic faciendum, Socrates, videtur, ut consuetudine nostra daemonium id tentemus. Quod si nobis annuerit, recte omnia: sin minus, quid agendum sit invicem consultabimus, utrum alteri cuipiam adhaereamus, vel hoc divinum, quod tibi insitum est, precibus et sacrificiis et alio quovis denique pacto, quo vates exponant, placere conemur. *De.* Nihil ad haec, o Socrates, huic adolescenti repugnes: bene enim dicit Theages. *So.* Atqui, si videtur oportere sic agere, sic agamus.

ΕΡΑΣΤΑΙ



Εἰς Διονυσίου τοῦ γραμματιστοῦ εἰσῆλθον, καὶ εἶδον 132
αὐτόθι τῶν τε νέων τοὺς ἐπιεικεστάτους δοκοῦντας εἶναι τὴν ἰδέαν καὶ πατέρων εὐδοκίμων, καὶ τούτων ἐραστάς. ἐτυγχανέτην οὖν δύο τῶν μειρακίων ἐρίζοντε, περὶ ὅτου δέ, οὐ σφόδρα κατήκουον· ἐφαινέσθην μέντοι ἢ περὶ Ἀναξαγόρου ἢ περὶ Οἰνοπίδου ἐρίζειν· κύκλους γοῦν γράφοντες ἐφαινέσθην καὶ ἐγκλίσεις τινὰς ἐμιμοῦντο τοῖν χεροῖν ἐπικλίνοντε καὶ μάλ' ἐσπουδακότε. κἀγώ, καθήμην γὰρ παρὰ τὸν ἐραστὴν τοῦ ἑτέρου
10 αὐτοῖν· κινήσας οὖν αὐτὸν τῷ ἀγκῶνι ἠρόμην ὅ τί ποθ' οὕτως ἐσπουδακότε τὼ μειρακίω εἴτην, καὶ εἶπον Ἦ που μέγα τι καὶ καλόν ἐστι περὶ ὅτου τοσαύτην σπουδὴν πεποιημένω ἐστόν. Ὁ δ' εἶπε Ποῖον, ἔφη, μέγα καὶ καλόν; ἀδολεσχοῦσι μὲν οὖν οὗτοι περὶ τῶν μετεώρων καὶ φλυαροῦσι φιλοσοφοῦντες. Καὶ ἐγὼ θαυμάσας αὐτοῦ τὴν ἀπόκρισιν εἶπον Ὦ νεανία, αἰσχρὸν

Dionysii Grammatici ludum ingressus, iuvenes quosdam vidi honestam prae se ferentes indolem, claris ortos parentibus; cumque iis una eorum etiam familiares. Aderant autem duo quidam adolescentuli invicem contendentes: quae vero esset illorum quaestio, haud satis adverteram. Verumtamen de Anaxagora vel Oenopide disceptare videbantur, circulos describentes, et inflexiones quasdam summo quodam studio manibus imitantes. Ego autem alterius illorum amicum, iuxta quem sedebam, cubito tangens interrogavi, cur ita contenderent adolescentes, et num magnum quiddam esset et pulchrum, in quo tantum studium ponerent. Tum ille, Quid, inquit, magnum et pulchrum? nugantur enim isti de his quae sublimia sunt, et philosophantes garriunt. Huius ego responsum admiratus, O adolescens, in-

δοκεῖ σοι εἶναι τὸ φιλοσοφεῖν; ἢ τί οὕτω χαλεπῶς λέγεις; Καὶ ὁ ἕτερος — πλησίον γὰρ καθήμενος ἐτύγχανεν αὐτοῦ, ἀντεραστὴς ὤν — ἀκούσας ἐμοῦ τε ἐρομένου τἀκείνου ἀποκρινομένου, Οὐ πρὸς σοῦ γε, ἔφη, ὦ Σώκρατες, ποιεῖς τὸ καὶ ἀνερέσθαι τοῦτον εἰ αἰσχρὸν ἡγεῖται φιλοσοφίαν εἶναι. ἢ οὐκ οἶσθα αὐτόν, ὅτι τραχηλιζόμενος καὶ ἐμπιπλάμενος καὶ καθεύδων πάντα τὸν βίον διατετέλεκεν; ὥστε σὺ τί αὐτὸν ᾠου ἀποκρινεῖσθαι ἀλλ' ἢ ὅτι αἰσχρόν ἐστι φιλοσοφία; Ἦν δὲ οὗτος μὲν τοίνυν ἐραστὴς περὶ μουσικὴν διατετριφώς, ὁ δ' ἕτερος ὃν ἐλανδόρει, περὶ γυμναστικήν. καί μοι ἔδοξε χρῆναι τὸν μὲν ἕτερον ἀφιέναι, τὸν ἐρωτώμενον, ὅτι οὐδ' αὐτὸς προσεποιεῖτο περὶ λόγων ἔμπειρος εἶναι ἀλλὰ περὶ ἔργων, τὸν δὲ σοφώτερον προσποιούμενον εἶναι διερωτῆσαι, ἵνα καὶ εἴ τι δυναίμην, παρ' αὐτοῦ ὠφεληθείην. εἶπον οὖν ὅτι Εἰς κοινὸν μὲν τὸ ἐρώτημα ἠρόμην· εἰ δὲ σὺ οἴει τοῦδε κάλλιον ἀποκρινεῖσθαι, σὲ ἐρωτῶ τὸ αὐτὸ εἴ περ καὶ τοῦτον, εἰ δοκεῖ σοι τὰ φιλοσοφεῖν καλὸν εἶναι ἢ οὔ.

Σχεδὸν οὖν ταῦτα λεγόντων ἡμῶν ἐπακούσαντε τὼ μειρακίω ἐσιγησάτην, καὶ αὐτὼ παυσαμένω τῆς ἔριδος

quam, an turpe tibi philosophari videtur? curve tum acerbe respondes? Alter vero, (iuxta enim assidebat aemulus quidam istius,) cum et me interrogantem et respondentem illum audisset, Non expedit tibi, Socrates, inquit, interrogare hunc, an turpe existimet esse philosophiam, necne. nonne intellexisti, ipsum in tumiditate quadam et crapula atque somnolentia universam aetatem egisse, ut credas aliud quicquam eum tibi responsurum, quam, quod turpe sit philosophia? Erat autem iste in musica eruditus; alter autem, quem carpebat, in gymnastica. Videbaturque mihi oportere alium, quem prius interrogaveram, missum facere, quoniam haud sane in disputando sed in agendo potius se ipsum demonstrabat expertum. interrogandum autem censui illum, qui sapientiorem se ostendebat, ut, si quomodo possem, ab eo utilitatem aliquam reportarem. Dixi igitur ad eum, in communi me quaestionem proposuisse: si autem tu putas melius isto te responsurum, illud idem te nunc interrogo, utrum videatur tibi philosophari pulchrum esse, an secus? Haec fere dicentes audierunt adolescentes, atque omissa ea, quae inter ipsos erat, contentione, ad ea, quae dissere-

ἡμῶν ἀκροαταὶ ἐγενέσθην. καὶ ὅ τι μὲν οἱ ἐραστιὴ ἔπαθον, οὐκ οἶδα, αὐτὸς δ' οὖν ἐξεπλάγην· ἀεὶ γάρ ποτε ὑπὸ τῶν νέων τε καὶ καλῶν ἐκπλήττομαι. ἐδόκει μέντοι μοι καὶ ὁ ἕτερος οὐχ ἧττον ἐμοῦ ἀγωνιᾶν· οὐ μὴν ἀλλ' ἀπεκρίνατό γέ μοι καὶ μάλα φιλοτίμως. Ὁπότε γάρ τοι, ἔφη, ὦ Σώκρατες, τὸ φιλοσοφεῖν αἰσχρὸν ἡγησαίμην εἶναι, οὐδ' ἂν ἄνθρωπον νομίσαιμι ἐμαυτὸν εἶναι, οὐδ' ἄλλον τὸν οὕτω διακείμενον, ἐνδεικνύμενος εἰς τὸν ἀντεραστήν, καὶ λέγων μεγάλῃ τῇ φωνῇ, ἵν' αὐτοῦ κατακούοι τὰ παιδικά. Κἀγὼ εἶπον, Καλὸν ἄρα δοκεῖ σοι τὸ φιλοσοφεῖν; Ἥκιστα μὲν οὖν, ἔφη. Τί οὖν; ἐγὼ ἔφην· ἢ δοκεῖ σοι οἷόν τε εἶναι εἰδέναι πρᾶγμα ὁτιοῦν εἴτε καλὸν εἴτε αἰσχρόν ἐστιν, ὃ μὴ εἰδείη τις τὴν ἀρχὴν ὅ τι ἔστιν. Οὐκ ἔφη. Οἶσθ' ἄρα, ἦν δ' ἐγώ, ὅ τι ἔστι τὸ φιλοσοφεῖν; Καὶ μάλ', ἔφη. Τί οὖν ἐστιν; ἔφην ἐγώ. Τί δ' ἄλλο γε, ἢ κατὰ τὸ Σόλωνος; Σόλων γάρ που εἶπε

γηράσκω δ' αἰεὶ πολλὰ διδασκόμενος·

καὶ ἐμοὶ δοκεῖ οὕτως ἀεὶ χρῆναι ἔν γέ τι μανθάνειν τὸν μέλλοντα φιλοσοφήσειν, καὶ νεώτερον ὄντα καὶ πρεσβύτερον, ἵν' ὡς πλεῖστα ἐν τῷ βίῳ μάθῃ. Καί μοι τὸ μὲν πρῶτον ἔδοξέ τι εἰπεῖν, ἔπειτά πως ἐννοήσας ἠρόμην αὐτὸν εἰ τὴν φιλοσοφίαν πολυμάθειαν ἡγοῖτο

bamus, audienda se ipsos silentio paraverunt. respondit autem ille mihi, et valde quidem ambitiose, Si quando, o Socrates, philosophari turpe esse ducerem, neque me hominem putarem, neque quemvis alium sic affectum. Innuens autem in aemulum dicebat haec ea voce, ut amici exaudire possent. Hic ego, Pulchrum igitur tibi philosophari videtur? Et maxime quidem, inquit ille. Quid ergo, inquam, num videtur tibi fieri posse, ut noscat quis, turpene aliquid sit, an pulchrum, nisi a principio, quid ipsum sit, noverit? Non. Nosti igitur, inquam, quod est aliquid philosophari? Novi equidem. Quid est? Quid aliud, quam secundum dicta Solonis? dicebat enim Solon, Senesco semper plurima discens. Et mihi quidem videtur semper sic oportere aliquid discere eum hominem, qui philosophus futurus sit, sive iuvenis sive senior sit; ut in vita quam plurima discat. Atque is primo visus est mihi aliquid dixisse. deinde mecum reputans, interrogavi, an sibi philosophia polymathia, id est multa discere

εἶναι. Κἀκεῖνος, Πάνυ, ἔφη. Ἦγεῖ δὲ δὴ καλὸν εἶναι μόνον τὴν φιλοσοφίαν ἢ καὶ ἀγαθόν; ἦν δ' ἐγώ. Καὶ ἀγαθόν, ἔφη, πάνυ. Πότερον οὖν ἐν φιλοσοφίᾳ τι τοῦτο ἴδιον ἐνορᾷς, ἢ καὶ ἐν τοῖς ἄλλοις οὕτω σοι δοκεῖ ἔχειν; οἷον φιλογυμναστίαν οὐ μόνον ἡγεῖ καλὸν εἶναι ἀλλὰ καὶ ἀγαθόν; ἢ οὔ; Ὁ δὲ καὶ μάλα εἰρωνικῶς εἶπε δύο· Πρὸς μὲν τόνδε μοι εἰρήσθω ὅτι οὐδέτερα, πρὸς μέντοι σε, ὦ Σώκρατες, ὁμολογῶ καὶ καλὸν εἶναι κἀγαθόν. Ἆρ' οὖν καὶ ἐν τοῖς γυμνασίοις τὴν πολυπονίαν φιλογυμναστίαν ἡγεῖ εἶναι; Κἀκεῖνος ἔφη, Πάνυ γε, ὡς πέρ γε καὶ ἐν τῷ φιλοσοφεῖν τὴν πολυμάθειαν φιλοσοφίαν ἡγοῦμαι εἶναι. Κἀγὼ εἶπον, Ἦγεῖ δὲ δὴ τοὺς φιλογυμναστοῦντας ἄλλου του ἐπιθυμεῖν ἢ τούτου ὅ τι ποιήσει αὐτοὺς εὖ ἔχειν τὸ σῶμα; Τούτου, ἔφη. Ἦ σὺν οἱ πολλοὶ πόνοι τὸ σῶμα, ἦν δ' ἐγώ, ποιοῦσιν εὖ ἔχειν; Πῶς γὰρ ἄν, ἔφη, ἀπό γ' ὀλίγων πόνων τὸ σῶμά τις εὖ ἔχοι; Καί μοι ἔδοξεν ἤδη ἐνταῦθα κινητέος εἶναι ὁ φιλογυμναστής, ἵνα μοι βοηθήσειε διὰ τὴν ἐμπειρίαν τῆς γυμναστικῆς. κἄπειτα ἠρόμην αὐτόν, Σὺ δὲ δὴ τί σιγᾷς ἡμῖν, ὦ λῷστε, τούτου ταῦτα λέγοντος; ἢ καὶ σοὶ δοκοῦσιν οἱ ἄνθρωποι

videretur. Et ille, omnino, inquit. Existimas pulchrum aliquid solum esse philosophiam, vel etiam bonum? Et bonum quoque. Utrum in philosophia id proprium inspicis, an etiam in aliis eodem pacto iudicas; ut verbi gratia, studium gymnasticae non modo pulchrum esse, sed etiam bonum? Tunc ille et valde ironice duo diversa protulit: Adversus hunc, inquit, dicatur, quod neutrum sit; adversus autem te, o Socrates, et pulchrum et bonum simul esse confiteor. Ergo in gymnasiis multum laborem existimas esse gymnasticae studium? Et maxime quidem, inquit ille, quemadmodum in philosophando multa discere philosophiam puto. Atque ego, credisne gymnasticae studiosos aliquid aliud appetere, quam ut eorum corpora bene se habeant? Id ipsum, inquit. Num multi labores bonam corporis habitudinem efficiunt? Quonam pacto, inquit ille, ex paucis laboribus robustum corpus fieri potest? At deinceps mihi visus est gymnasticus ille provocandus esse, ut mihi ex peritia gymnasticae auxilium ferret. illum deinde percontatus sum, Quid autem tu taces, o vir optime, haec isto loquente? num et tibi vi-

εὖ τὰ σώματα ἔχειν ἀπὸ τῶν πολλῶν πόνων, ἢ ἀπὸ τῶν μετρίων; Ἐγὼ μέν, ὦ Σώκρατες, ἔφη, ᾤμην τὸ λεγόμενον δὴ τοῦτο καὶ νῦν γνῶναι, ὅτι οἱ μέτριοι πόνοι εὖ ποιοῦσιν ἔχειν τὰ σώματα. πόθεν δή; οὐχὶ ἄνδρα γε ἄγρυπνόν τε καὶ ἄσιτον καὶ ἀτριβῆ τὸν τράχηλον ἔχοντα καὶ λεπτὸν ὑπὸ μεριμνῶν; Καὶ αὐτοῦ ταῦτα εἰπόντος ἥσθη τὰ μειράκια καὶ ἐπεγέλασεν, ὁ δ' ἕτερος ἠρυθρίασε. Καὶ ἐγὼ εἶπον, Τί οὖν; σὺ ἤδη ξυγχωρεῖς μήτε πολλοὺς μήτε ὀλίγους πόνους εὖ ποιεῖν ἔχειν τὰ σώματα τοὺς ἀνθρώπους, ἀλλὰ τοὺς μετρίους; ἢ διαμάχει δυοῖν ὄντοιν νῷν περὶ τοῦ λόγου; Κἀκεῖνος, Πρὸς μὲν τοῦτον, ἔφη, κἂν πάνυ ἡδέως διαγωνισαίμην, καὶ εὖ οἶδ' ὅτι ἱκανὸς ἂν γενοίμην βοηθῆσαι τῇ ὑποθέσει ἣν ὑπεθέμην, καὶ εἰ ταύτης ἔτι φαυλοτέραν ὑπεθέμην· οὐδὲν γάρ ἐστι· πρὸς μέντοι σὲ οὐδὲν δέομαι παρὰ δόξαν φιλονεικεῖν, ἀλλ' ὁμολογῶ μὴ τὰ πολλὰ ἀλλὰ τὰ μέτρια γυμνάσια τὴν εὐεξίαν ἐμποιεῖν τοῖς ἀνθρώποις. Τί δαὶ τὰ σιτία; τὰ μέτρια ἢ τὰ πολλά; ἔφην ἐγώ. Καὶ τὰ σιτία ὡμολόγει. Ἔτι δὲ κἀγὼ προσηνάγκαζον αὐτὸν ὁμολογεῖν καὶ τἆλλα πάντα τὰ περὶ τὸ σῶμα, τὰ μέτρια μάλιστα ὠφελεῖν, ἀλλὰ μὴ τὰ πολλὰ μηδὲ τὰ ὀλίγα· καί μοι ὡμολόγει

dentur homines ex multis laboribus, an temperatis robur acquirere? Equidem, o Socrates, asserere ausim ex moderatis corpus bene sese habere. Unde, inquam? non virum vigilantem dico et esurientem et insuetam spinam habentem et curis extenuatum? Et cum haec dixisset, delectati adolescentes arriserunt. alter autem ille erubuit. Tunc ego, Quid tu igitur? concedisne, nec parvos neque magnos labores habitudinem bonam corporis efficere, sed moderatos? an repugnas nobis, cum duo simus in disputatione concordes? Libenter quidem, inquit, huic repugnarem: atque adversus eum valerem id, quod proposui, defendere, etiamsi causam haberem minus validam. nullius enim pretii est. Verum tecum nihil decet praeter opinionem contendere: sed confiteor, non multas, immo temperatas exercitationes bonum corporis habitum hominibus praestare. Cibi autem, inquam, multi, an moderati? Et cibi, ait. Praeterea compuli eum, ut concederet reliqua omnia, quae circa corpus versantur, temperata quidem prodesse quamplurimum, pauca vero vel nimia nunquam. Et ille moderata iuvare con-

Ταῦτα δὴ πάντα εἴρηκά σοι, ὅτι ἡ δύναμις αὕτη τοῦ δαιμονίου τούτου καὶ εἰς τὰς συνουσίας τῶν μετ' ἐμοῦ συνδιατριβόντων τὸ ἅπαν δύναται. πολλοῖς μὲν γὰρ ἐναντιοῦται, καὶ οὐκ ἔστι τούτοις ὠφεληθῆναι μετ' ἐμοῦ διατρίβουσιν, ὥστε οὐχ οἷόν τέ μοι τούτοις συνδιατρίβειν· πολλοῖς δὲ συνεῖναι μὲν οὐ διακωλύει, ὠφελοῦνται δὲ οὐδὲν συνόντες. οἷς δ' ἂν συλλάβηται τῆς συνουσίας ἡ τοῦ δαιμονίου δύναμις, οὗτοί εἰσιν ὧν καὶ σὺ ᾔσθησαι· ταχὺ γὰρ παραχρῆμα ἐπιδιδόασι. καὶ τούτων αὖ τῶν ἐπιδιδόντων οἱ μὲν καὶ βέβαιον ἔχουσι καὶ παραμόνιμον τὴν ὠφέλειαν· πολλοὶ δὲ ὅσον ἂν μετ' ἐμοῦ χρόνον ὦσι, θαυμάσιον ἐπιδιδόασιν, ἐπειδὰν δέ μου ἀπόσχωνται, πάλιν οὐδὲν διαφέρουσιν ὁτουοῦν. τοῦτό ποτε ἔπαθεν Ἀριστείδης ὁ Λυσιμάχου υἱὸς τοῦ Ἀριστείδου. διατρίβων γὰρ μετ' ἐμοῦ πάμπολυ ἐπεδεδώκει ἐν ὀλίγῳ χρόνῳ· ἔπειτα αὐτῷ στρατεία τις ἐγένετο καὶ ᾤχετο ἐκπλέων. ἥκων δὲ κατελάμβανε μετ' ἐμοῦ διατρίβοντα Θουκυδίδην τὸν Μελησίου υἱὸν τοῦ Θουκυδίδου. ὁ δὲ Θουκυδίδης τῇ προτεραίᾳ μοι δι' ἀπεχθείας ἐν λόγοις τισὶν ἐγεγόνει. ἰδών με οὖν ὁ Ἀριστείδης, ἐπειδὴ ἠσπάσατό τε καὶ τἆλλα διελέχθη, Θουκυδίδην δέ, ἔφη, ἀκούω, ὦ Σώκρατες, σεμνύνεσθαι ἅττα πρὸς σὲ

Haec omnia tibi ideo dixi, quia potentia haec huius daemonii in familiaritates eorum, qui mecum versantur, omnia potest. Multis enim adversatur, neque licet his auxilium ferri, qui mecum, invito daemone, consuetudinem habent. quare impossibile est mihi, cum iis vivere. Multis autem haerere non prohibet: sed consuetudine nostra nihil omnino iuvantur. Quibus autem faverit in ipsa familiaritate potestas daemonii, isti sunt, de quibus ipse sensisti. brevi enim proficiunt. Sed eorum partim hoc beneficium firmum habent atque durabile. plerique vero, quoad mecum sunt, mirifice pollent: at cum a me discesserint, rursus nihilo ab aliis differunt. Hoc quandoque accidit Aristidi, Lysimachi filio. Nam mecum commorans, brevi multum profecit. postea vero in militiam profectus est. rediens deinde offendit mecum esse Thucydidem, Mellissii filium. hic autem Thucydides pridie mihi adversarius in sermonibus quibusdam extiterat. Cum me salutasset, et quaedam insuper allocutus esset Aristides, Thucydidem, inquit, o Socrates, audio gloriari, et in quibusdam te-

καὶ χαλεπαίνειν ὡς τι ὄντα. Ἔστι γάρ, ἔφην ἐγώ, οὕτως. Τί δαί; οὐκ οἶδεν, ἔφη, πρὶν σοὶ συγγενέσθαι οἷον ἦν τὸ ἀνδράποδον; Οὐκ ἔοικέ γε, ἔφην ἐγώ, νὴ τοὺς θεούς. Ἀλλὰ μὴν καὶ αὐτός γε, ἔφη, καταγελάστως ἔχω, ὦ Σώκρατες. Τί μάλιστ'; ἔφην ἐγώ. Ὅτι, ἔφη, πρὶν μὲν ἐκπλεῖν ὁτιοῦν ἀνθρώπων οἷός τ' ἦ διαλέγεσθαι καὶ μηδενὸς χείρων φαίνεσθαι ἐν τοῖς λόγοις, ὥστε καὶ ἐδίωκον τὰς συνουσίας τῶν χαριεστάτων ἀνθρώπων· νυνὶ δὲ τοὐναντίον φεύγω, ἄν τινα καὶ αἰσθάνωμαι πεπαιδευμένον· οὕτως αἰσχύνομαι ἐπὶ τῇ ἐμαυτοῦ φαυλότητι. Πότερον δέ, ἦν δ' ἐγώ, ἐξαίφνης σε προὔλιπεν αὕτη ἡ δύναμις ἢ κατὰ σμικρόν; Κατὰ σμικρόν, ἦ δ' ὅς. Ἡνίκα δέ σοι παρεγένετο, ἦν δ' ἐγώ, πότερον μαθόντι παρ' ἐμοῦ τι παρεγένετο, ἢ τινι ἄλλῳ τρόπῳ; Ἐγώ σοι, ἔφη, ἐρῶ, ὦ Σώκρατες, ἄπιστον μὲν νὴ τοὺς θεούς, ἀληθὲς δέ. ἐγὼ γὰρ ἔμαθον μὲν παρὰ σοῦ οὐδὲν πώποτε, ὡς αὐτὸς οἶσθα· ἐπεδίδουν δὲ ὁπότε σοι συνείην, κἂν εἰ ἐν τῇ αὐτῇ μόνον οἰκίᾳ εἴην, μὴ ἐν τῷ αὐτῷ δὲ οἰκήματι· μᾶλλον δὲ ὁπότε ἐν τῷ αὐτῷ οἰκήματι. καὶ ἔμοιγε ἐδόκουν πολὺ μᾶλλον ὁπότε ἐν τῷ αὐτῷ οἰκήματι ὢν λέγοντός σου βλέποιμι πρὸς σέ, μᾶλλον ἢ ὁπότε ἄλλοσε ὁρῴην. πολὺ δὲ μάλιστα καὶ πλεῖ-

cum etiam concertare, tanquam aliquid sit. Est, inquam, ut dicis. Tum ille, Nonne meminit, inquit, antequam tibi adhaereret, tanquam mancipium se fuisse? Non videtur, inquam, per deos. At ego, inquit ille, ridiculus sum. Quidnam maxime, inquam? Quoniam priusquam hinc abirem, cum quovis disputare audebam, neque aliquo videbar in disserendo deterior, adeo ut coetus praestantium virorum audacter adirem. Nunc autem contra fugio, quemcunque eruditum esse intelligo: adeo pudore abducor ob meam inscitiam. Utrum igitur, inquam, e vestigio te reliquit ipsa vis, an paulatim? Paulatim, inquit. Quando vero in te incessit? utrum accidit tibi aliquid a me discenti, an aliter? Dicam, o Socrates, rem quidem incredibilem, veram tamen. Nihil unquam a te, ut ipse scis, didici: proficiebam autem, quotienscunque tecum essem: etsi in eadem solum domo essem, non tamen in eadem parte domus: magis tamen, quotiens eadem in parte. Et mihi quidem videbar multo magis, quando in eadem parte existens, aliquid te dicentem intuebar, quam cum alio in-

στον ἐπεδίδουν, ὁπότε παρ' αὐτόν σε καθοίμην ἐγόμενός σου καὶ ἀπτόμενος. νῦν δή, ἦ δ' ὅς, πᾶσα ἐκείνη ἡ ἕξις ἐξερρύηκεν.

Ἔστιν οὖν, ὦ Θέαγες, τοιαύτη ἡ ἡμετέρα συνουσία· ἐὰν μὲν τῷ θεῷ φίλον ᾖ, πάνυ πολὺ ἐπιδώσεις καὶ ταχύ, εἰ δὲ μή, οὔ. ὅρα οὖν μή σοι ἀσφαλέστερον ᾖ παρ' ἐκείνων τινὶ παιδεύεσθαι, οἳ ἐγκρατεῖς αὐτοί εἰσι τῆς ὠφελείας ἣν ὠφελοῦσι τοὺς ἀνθρώπους, μᾶλλον ἢ παρ' ἐμοῦ ἅ τι ἂν τύχῃ, τοῦτο πρᾶξαι.

131 *ΘΕ. Ἐμοὶ μὲν τοίνυν δοκεῖ, ὦ Σώκρατες, ἡμᾶς* 10 *οὑτωσὶ ποιῆσαι, ἀποπειραθῆναι τοῦ δαιμονίου τούτου συνόντας ἀλλήλοις. καὶ ἐὰν μὲν παρείκῃ ἡμῖν, ταῦτα βέλτιστα· εἰ δὲ μή, τότε ἤδη παραχρῆμα βουλευσόμεθα ὅ τι δράσομεν, εἴτε ἄλλῳ συνεσόμεθα, εἴτε καὶ αὐτὸ τὸ θεῖον τὸ σοὶ γιγνόμενον πειρασόμεθα παραμυθεῖσθαι εὐχαῖσί τε καὶ θυσίαις καὶ ἄλλῳ ὅτῳ ἂν οἱ μάντεις ἐξηγῶνται.*

ΔΗ. Μηκέτι πρὸς ταῦτα ἀντείπῃς, ὦ Σώκρατες, τῷ μειρακίῳ· εὖ γὰρ λέγει Θεάγης.

ΣΩ. Ἀλλ' εἰ δοκεῖ χρῆναι οὕτω ποιεῖν, οὕτω ποιῶ- 20 *μεν,*

tuerer. sed longe magis proficiebam, cum apud te sedens, te tangebam. nunc autem omnis habitus ille defluxit. Est igitur, o Theages, huiusmodi nostra consuetudo. Si enim Deo gratum est, permultum quidem et brevi proficies: sin contra, minime. Vide igitur, ne tibi tutius sit, ab aliquo illorum erudiri, qui ipsi in sua potestate continent utilitatem, qua hominibus prosunt, quam a me fortuna quadam id assequi. *The.* Mihi quidem sic faciendum, Socrates, videtur, ut consuetudine nostra daemonium id tentemus. Quod si nobis annuerit, recte omnia: sin minus, quid agendum sit invicem consultabimus, utrum alteri cuipiam adhaereamus, vel hoc divinum, quod tibi insitum est, precibus et sacrificiis et alio quovis denique pacto, quo vates exponant, placere conemur. *De.* Nihil ad haec, o Socrates, huic adolescenti repugnes: bene enim dicit Theages. *So.* Atqui, si videtur oportere sic agere, sic agamus.

ΕΡΑΣΤΑΙ



Εἰς Διονυσίου τοῦ γραμματιστοῦ εἰσῆλθον, καὶ εἶδον 132
αὐτόθι τῶν τε νέων τοὺς ἐπιεικεστάτους δοκοῦντας εἶναι τὴν ἰδέαν καὶ πατέρων εὐδοκίμων, καὶ τούτων ἐραστάς. ἐτυγχανέτην οὖν δύο τῶν μειρακίων ἐρίζοντε, περὶ ὅτου δέ, οὐ σφόδρα κατήκουον· ἐφαινέσθην μέντοι ἢ περὶ Ἀναξαγόρου ἢ περὶ Οἰνοπίδου ἐρίζειν· κύκλους γοῦν γράφοντες ἐφαινέσθην καὶ ἐγκλίσεις τινὰς ἐμιμοῦντο τοῖν χεροῖν ἐπικλίνοντε καὶ μάλ' ἐσπουδακότε. κἀγώ, καθήμην γὰρ παρὰ τὸν ἐραστὴν τοῦ ἑτέρου
10 αὐτοῖν· κινήσας οὖν αὐτὸν τῷ ἀγκῶνι ἠρόμην ὅ τι ποθ' οὕτως ἐσπουδακότε τὼ μειρακίω εἴτην, καὶ εἶπον Ἦ που μέγα τι καὶ καλόν ἐστι περὶ ὅτου τοσαύτην σπουδὴν πεποιημένω ἐστόν. Ὁ δ' εἶπε Ποῖον, ἔφη, μέγα καὶ καλόν; ἀδολεσχοῦσι μὲν οὖν οὗτοι περὶ τῶν μετεώρων καὶ φλυαροῦσι φιλοσοφοῦντες. Καὶ ἐγὼ θαυμάσας αὐτοῦ τὴν ἀπόκρισιν εἶπον Ὦ νεανία, αἰσχρὸν

Dionysii Grammatici ludum ingressus, iuvenes quosdam vidi honestam prae se ferentes indolem, claris ortos parentibus; cumque iis una eorum etiam familiares. Aderant autem duo quidam adolescentuli invicem contendentes: quae vero esset illorum quaestio, haud satis adverteram. Verumtamen de Anaxagora vel Oenopide disceptare videbantur, circulos describentes, et inflexiones quasdam summo quodam studio manibus imitantes. Ego autem alterius illorum amicum, iuxta quem sedebam, cubito tangens interrogavi, cur ita contenderent adolescentes, et num magnum quiddam esset et pulchrum, in quo tantum studium ponerent. Tum ille, Quid, inquit, magnum et pulchrum? nugantur enim isti de his quae sublimia sunt, et philosophantes garriunt. Huius ego responsum admiratus, O adolescens, in-

δοκεῖ σοι εἶναι τὸ φιλοσοφεῖν; ἢ τί οὕτω χαλεπῶς λέγεις; Καὶ ὁ ἕτερος — πλησίον γὰρ καθήμενος ἐτύγχανεν αὐτοῦ, ἀντεραστὴς ὤν — ἀκούσας ἐμοῦ τε ἐρομένου τἀκείνου ἀποκρινομένου, Οὐ πρὸς σοῦ γε, ἔφη, ὦ Σώκρατες, ποιεῖς τὸ καὶ ἀνερέσθαι τοῦτον εἰ αἰσχρὸν ἡγεῖται φιλοσοφίαν εἶναι. ἢ οὐκ οἶσθα αὐτόν, ὅτι τραχηλιζόμενος καὶ ἐμπιπλάμενος καὶ καθεύδων πάντα τὸν βίον διατετέλεκεν; ὥστε σὺ τί αὐτὸν ᾠου ἀποκρινεῖσθαι ἀλλ' ἢ ὅτι αἰσχρόν ἐστι φιλοσοφία; Ἦν δὲ οὗτος μὲν τοίν ἑμαστοῖν περὶ μουσικὴν διατετριφώς, ὁ δ' ἕτερος ὃν ἐλοιδόρει, περὶ γυμναστικήν. καί μοι ἔδοξε χρῆναι τὸν μὲν ἕτερον ἀφιέναι, τὸν ἐρωτώμενον, ὅτι οὐδ' αὐτὸς προσεποιεῖτο περὶ λόγων ἔμπειρος εἶναι ἀλλὰ περὶ ἔργων, τὸν δὲ σοφώτερον προσποιούμενον εἶναι διερωτῆσαι, ἵνα καὶ εἴ τι δυναίμην, παρ' αὐτοῦ ὠφεληθείην. εἶπον οὖν ὅτι Εἰς κοινὸν μὲν τὸ ἐρώτημα ἠρόμην· εἰ δὲ σὺ οἴει τοῦδε κάλλιον ἀποκρινεῖσθαι, σὲ ἐρωτῶ τὸ αὐτὸ εἴ περ καὶ τοῦτον, εἰ δοκεῖ σοι τὸ φιλοσοφεῖν καλὸν εἶναι ἢ οὔ.

Σχεδὸν οὖν ταῦτα λεγόντων ἡμῶν ἐπακούσαντε τὼ μειρακίω ἐσιγησάτην, καὶ αὐτὼ παυσαμένω τῆς ἔριδος

quam, an turpe tibi philosophari videtur? curve tam acerbe respondes? Alter vero, (iuxta enim assidebat aemulus quidam istius,) cum et me interrogantem et respondentem illum audisset, Non expedit tibi, Socrates, inquit, interrogare hunc, an turpe existimet esse philosophiam, necne. nonne intellexisti, ipsum in tumiditate quadam et crapula atque somnolentia universam aetatem egisse, ut credas aliud quicquam eum tibi responsurum, quam, quod turpe sit philosophia? Erat autem iste in musica eruditus; alter autem, quem carpebat, in gymnastica. Videbaturque mihi oportere alium, quem prius interrogaveram, missum facere, quoniam haud sane in disputando sed in agendo potius se ipsum demonstrabat expertum. interrogandum autem censui illum, qui sapientiorem se ostendebat, ut, si quomodo possem, ab eo utilitatem aliquam reportarem. Dixi igitur ad eum, in communi me quaestionem proposuisse: si autem tu putas melius isto te responsurum, illud idem te nunc interrogo, utrum videatur tibi philosophari pulchrum esse, an secus? Haec fere dicentes audierunt adolescentes, atque omissa ea, quae inter ipsos erat, contentione, ad ea, quae disserc-

ἡμῶν ἀκροαταὶ ἐγενέσθην. καὶ ὅ τι μὲν οἱ ἐραστιὴ ἔπαθον, οὐκ οἶδα, αὐτὸς δ' οὖν ἐξεπλάγην· ἀεὶ γάρ ποτε ὑπὸ τῶν νέων τε καὶ καλῶν ἐκπλήττομαι. ἐδόκει μέντοι μοι καὶ ὁ ἕτερος οὐχ ἧττον ἐμοῦ ἀγωνιᾷν· οὐ μὴν ἀλλ' ἀπεκρίνατό γέ μοι καὶ μάλα φιλοτίμως. Ὁπότε γάρ τοι, ἔφη, ὦ Σώκρατες, τὸ φιλοσοφεῖν αἰσχρὸν ἡγησαίμην εἶναι, οὐδ' ἂν ἄνθρωπον νομίσαιμι ἐμαυτὸν εἶναι, οὐδ' ἄλλον τὸν οὕτω διακείμενον, ἐνδεικνύμενος εἰς τὸν ἀντεραστήν, καὶ λέγων μεγάλῃ τῇ φωνῇ, ἵν' αὐτοῦ κατακουοι τὰ παιδικά. Κἀγὼ εἶπον, Καλὸν ἄρα δοκεῖ σοι τὸ φιλοσοφεῖν; Πάνυ μὲν οὖν, ἔφη. Τί οὖν; ἐγὼ ἔφην· ἦ δοκεῖ σοι οἷόν τε εἶναι εἰδέναι πρᾶγμα ὁτιοῦν εἴτε καλὸν εἴτε αἰσχρόν ἐστιν, ὃ μὴ εἰδείη τις τὴν ἀρχὴν ὅ τι ἔστιν. Οὐκ ἔφη. Οἶσθ' ἄρα, ἦν δ' ἐγώ, ὅ τι ἐστι τὸ φιλοσοφεῖν; Καὶ μάλ', ἔφη. Τί οὖν ἐστιν; ἔφην ἐγώ. Τί δ' ἄλλο γε, ἦ κατὰ τὸ Σόλωνος; Σόλων γάρ που εἶπε

γηράσκω δ' αἰεὶ πολλὰ διδασκόμενος·

καὶ ἐμοὶ δοκεῖ οὕτως ἀεὶ χρῆναι ἔν γέ τι μανθάνειν τὸν μέλλοντα φιλοσοφήσειν, καὶ νεώτερον ὄντα καὶ πρεσβύτερον, ἵν' ὡς πλεῖστα ἐν τῷ βίῳ μάθῃ. Καί μοι τὸ μὲν πρῶτον ἔδοξέ τι εἰπεῖν, ἔπειτά πως ἐννοήσας ἠρόμην αὐτὸν εἰ τὴν φιλοσοφίαν πολυμάθειαν ἡγοῖτο

bamus, audienda se ipsos silentio paraverunt. respondit autem ille mihi, et valde quidem ambitiose, Si quando, o Socrates, philosophari turpe esse ducerem, neque me hominem putarem, neque quemvis alium sic affectum. Innuens autem in aemulum dicebat haec ea voce, ut amici exaudire possent. Ilic ego, Pulchrum igitur tibi philosophari videtur? Et maxime quidem, inquit ille. Quid ergo, inquam, num videtur tibi fieri posse, ut noscat quis, turpene aliquid sit, an pulchrum, nisi a principio, quid ipsum sit, noverit? Non. Nosti igitur, inquam, quod est aliquid philosophari? Novi equidem. Quid est? Quid aliud, quam secundum dicta Solonis? dicebat enim Solon, Senesco semper plurima discens. Et mihi quidem videtur semper sic oportere aliquid discere eum hominem, qui philosophus futurus sit, sive iuvenis sive senior sit; ut in vita quam plurima discat. Atque is primo visus est mihi aliquid dixisse. deinde mecum reputans, interrogavi, an sibi philosophia polymathia, id est multa discere

τὰ μέτρια. Τί δέ, ἔφην, τὰ περὶ τὴν ψυχήν; τὰ μέτρια ὠφελεῖ ἢ τὰ ἄμετρα τῶν προσφερομένων; Τὰ μέτρια, ἔφη. Οὐκοῦν ἔν τῶν προσφερομένων ψυχῇ ἐστὶ καὶ τὰ μαθήματα; Ὡμολόγει. Καὶ τούτων ἄρα τὰ μέτρια ὠφελεῖ, ἀλλ' οὐ τὰ πολλά; Συνέφη. Τίν' οὖν ἐρόμενοι ἂν δικαίως ἐροίμεθα, ὁποῖοι μέτριοι πόνοι καὶ σιτία πρὸς τὸ σῶμά ἐστιν; Ὡμολογοῦμεν τρεῖς ὄντες ὅτι ἰατρὸν ἢ παιδοτρίβην. Τίνα δ' ἂν περὶ σπερμάτων σπορᾶς, ὁπόσον μέτριον; Καὶ τούτου τὸν γεωργὸν ὡμολογοῦμεν. Τίνα δὲ περὶ μαθημάτων εἰς ψυχὴν φυτεύσεώς τε καὶ σπορᾶς ἐρωτῶντες δικαίως ἂν ἐροίμεθα, ὁπόσα καὶ ὁποῖα μέτρια; Τοὐντεῦθεν ἤδη ἀπορίας μεστοὶ ἦμεν ἅπαντες. κἀγὼ προσπαίζων αὐτοὺς ἠρόμην, Βούλεσθε, ἔφην, ἐπειδὴ ἡμεῖς ἐν ἀπορίᾳ ἐσμέν, ἐρώμεθα ταυτὶ τὰ μειράκια; ἢ ἴσως αἰσχυνόμεθα, ὥς περ ἔφη τοὺς μνηστῆρας Ὅμηρος, μὴ ἀξιοῦντας εἶναί τινα ἄλλον ὅς τις ἐντενεῖ τὸ τόξον;

Ἐπειδὴ οὖν μοι ἐδόκουν ἀθυμεῖν πρὸς τὸν λόγον, ἄλλῃ ἐπειρώμην σκοπεῖν καὶ εἶπον, Ποῖα δὲ μάλιστ' ἄττα τοπάζομεν εἶναι τῶν μαθημάτων ἃ δεῖ τὸν φιλοσοφοῦντα μανθάνειν, ἐπειδὴ οὐχὶ πάντα οὐδὲ

fessus est. At quae ad animam spectant, cum moderata adhibentur, conducunt, an potius immoderata? Moderata. Disciplinae autem nonne ex iis sunt, quae animae adhibentur et conferunt? Consensit. Ex disciplinis itaque quae temperatae sunt, non quae multae, utilitatem afferunt? Concessit. Quem ergo interrogare merito conveniret, quales sunt labores atque cibi moderati ad corpus? In hoc tres una convenimus, medicum videlicet vel paedotrivem, id est exercitationis magistrum, interrogandum. Quem vero de spargendis seminibus, quot moderata sint? Agricultorem confessi sumus. At vero de semente et plantatione disciplinarum in anima, quemnam merito percontabimur, quales vel quantae temperatae sint. Verum deinceps cum ambiguitatis pleni essemus, ego iocans inquam, Vultisne, postquam nos in hoc ambigui sumus, ab iis adolescentibus id quaeramus? an forsitan erubescimus, quemadmodum procos inducit Homerus, nolentes alium quempiam praeter se arcum intendere. Sed cum orationem meam graviter ferre viderentur, alia quadam via id investigare aggressus, inquam, Qualia esse debere coniiciemus, quae oportet philosophum discere, cum neque omnia

πολλά; Ὑπολαβὼν οὖν ὁ σοφώτερος εἶπεν ὅτι κάλλιστα φαῦτ' εἴη τῶν μαθημάτων καὶ προσήκοντα, ἀφ' ὧν ἂν πλείστην δόξαν ἔχοι τις εἰς φιλοσοφίαν· πλείστην δ' ἂν ἔχοι δόξαν, εἰ δοκοίη τῶν τεχνῶν ἔμπειρος εἶναι πασῶν, εἰ δὲ μή, ὡς πλείστων γε καὶ μάλιστα τῶν ἀξιολόγων, μαθὼν αὐτῶν ταῦτα ἃ προσήκει τοῖς ἐλευθέροις μαθεῖν, ὅσα ξυνέσεως ἔχεται, μὴ ὅσα χειρουργίας. Ἆρ' οὖν οὕτω λέγεις, ἔφην ἐγώ, ὡς περ ἐν τῇ τεκτονικῇ; καὶ γὰρ ἐκεῖ τέκτονα μὲν ἂν πρίαιο πέντε ἢ ἓξ μνῶν ἄκρον, ἀρχιτέκτονα δὲ οὐδ' ἂν μυρίων δραχμῶν· ὀλίγοι γε μὴν καὶ ἐν πᾶσι τοῖς Ἕλλησι γίγνοιντο. ἆρα μή τι τοιοῦτον λέγεις; Καὶ ὃς ἀκούσας μου ξυνεχώρει καὶ αὐτὸς λέγειν τοιοῦτον. Ἠρόμην δ' αὐτὸν εἰ οὐκ ἀδύνατον εἴη δύο μόνον τέχνας οὕτω μαθεῖν τὸν αὐτόν, μὴ ὅτι πολλὰς καὶ μεγάλας. Ὁ δέ, Μὴ οὕτω μου, ἔφη, ὑπολάβῃς, ὦ Σώκρατες, ὡς λέγοντος ὅτι δεῖ ἑκάστην τῶν τεχνῶν τὸν φιλοσοφοῦντα ἐπίστασθαι ἀκριβῶς, ὡς περ αὐτὸν τὸν τὴν τέχνην ἔχοντα; ἀλλ' ὡς εἰκὸς ἄνδρα ἐλεύθερόν τε καὶ πεπαιδευμένον, ἐπακολουθῆσαί τε τοῖς λεγομένοις ὑπὸ τοῦ δημιουργοῦ οἷόν τε εἶναι διαφερόντως τῶν παρόντων, καὶ αὐτὸν ξυμ-

neque multa sequi debeat? Suscipiens vero sermonem sapientior ille, ait pulcherrimas atque maxime congruas animo disciplinas esse, ex quibus maximam quis gloriam in philosophia consequitur: maximam vero gloriam adipiscetur, si singularum artium peritus esse videatur: si minus omnium, plurimarum saltem, earumque praesertim, quae aestimatione sunt dignae: est prae ceteris discens, quae liberos homines decent, quaeve intelligentiae ratione, non manuum ministerio, perficiuntur. Tum ego, sic, inquam, dicis, quemadmodum in fabrica contingit? in qua fabrum quidem ministrum vel ad summum quinque aut sex minis emeres, architectum vero neque drachmarum decem millibus: nam per omnem Graeciam rari admodum reperiuntur. nunquid tale aliquid ais? Ille me audiens, id ipsum se dicere confessus est. Eum mox interrogabam, utrum possibile esset, duas eundem duntaxat artes hoc pacto, nedum permultas magnasque percipere. Ne ita me dicere putes, o Socrates, quasi philosophantem oporteat singulas artes ad summum prosequi, quemadmodum artifices; verum, ut liberum virum eruditumque decet: ut potis sit percipere, quae a quocunque artifice proferuntur, prae ceteris omnibus, qui praesentes sint; et ipse prae-

βάλλεσθαι γνώμην, ὥστε δοκεῖν χαριέστατον εἶναι καὶ σοφώτατον τῶν ἀεὶ παρόντων ἐν τοῖς λεγομένοις τε καὶ πραττομένοις περὶ τὰς τέχνας. Κἀγώ, ἔτι γὰρ αὐτοῦ ἠμφεγνόουν τὸν λόγον ὅ τι ἐβούλετο, Ἆρ' ἐννοῶ, ἔφην, οἷον λέγεις τὸν φιλόσοφον ἄνδρα; δοκεῖς γάρ μοι λέγειν οἷον ἐν τῇ ἀγωνίᾳ εἰσὶν οἱ πένταθλοι πρὸς τοὺς δρομέας ἢ τοὺς παλαιστάς. καὶ γὰρ ἐκεῖνοι τούτων μὲν λείπονται κατὰ τὰ τούτων ἆθλα καὶ δεύτεροί εἰσι πρὸς τούτους, τῶν δὲ ἄλλων ἀθλητῶν πρῶτοι καὶ νικῶσιν αὐτούς. τάχ' ἂν ἴσως τοιοῦτόν τι λέγοις καὶ τὸ φιλοσοφεῖν ἀπεργάζεσθαι τοὺς ἐπιτηδεύοντας τοῦτο τὸ ἐπιτήδευμα· τῶν μὲν πρώτων εἰς ξύνεσιν περὶ τὰς τέχνας
136 ἐλλείπεσθαι, τὰ δευτερεῖα δ' ἔχοντας τῶν ἄλλων περιεῖναι, καὶ οὕτω γίγνεσθαι περὶ πάντα ὑπακρόν τινα ἄνδρα τὸν πεφιλοσοφηκότα. τοιοῦτόν τινά μοι δοκεῖς ἐνδείκνυσθαι. Καλῶς γέ μοι, ἔφη, ὦ Σώκρατες, δοκεῖς ὑπολαβεῖν τὰ περὶ τοῦ φιλοσόφου, ἀπεικάσας αὐτὸν τῷ πενταθλῳ. ἔστι γὰρ ἀτεχνῶς τοιοῦτος οἷος μὴ δουλεύειν μηδενὶ πράγματι μηδ' εἰς τὴν ἀκρίβειαν μηδὲν διαπεπονηκέναι, ὥστε διὰ τὴν τοῦ ἑνὸς τούτου ἐπιμέλειαν τῶν

terea ita mente coniectare, ut semper ipse elegantissimus ac sapientissimus praesentium omnium in his, quae in quaque arte dicuntur et fiunt, appareat. Atque ego (adhuc enim quorsum tenderet ambigebam) Intelligone, inquam, qualem dicis esse virum philosophum? Videris enim mihi talem dicere, quales in certamine sunt pentathli, id est periti quinque certaminum, erga cursores vel peltastas, id est clipeatos iaculatores. Etenim illi a cursoribus vel peltastis in eorum certaminibus superantur atque secundum ordinem obtinent; reliquorum vero athletarum primi atque victores. Tale aliquid forte dicebas philosophiae studium praestare philosophis: ut ab iis, qui in quavis arte supremi sunt, in eadem arte intelligentia superentur, dumque secundum locum tenent, sequentes reliquos antecedant: ut philosophus in singulis facultatibus secundae sortis existat. eiuscemodi mihi videris philosophantem virum ostendere. Recte, inquit, o Socrates, accepisse videris, quae de philosopho dicta fuerunt, cum eum pentathlo comparaveris. Est enim procul dubio talis, ut nulli negotio servire penitus velit; neque in aliqua re usque ad summum elaborare: ne propter unius exactam diligentiam in aliis omnibus facultatibus,

ἄλλων ἁπάντων ἀπολελεῖφθαι, ὥς περ οἱ δημιουργοί, ἀλλὰ πάντων μετρίως ἐφῆφθαι.

Μετὰ ταύτην δὴ τὴν ἀπόκρισιν ἐγὼ προθυμούμενος σαφῶς εἰδέναι ὅ τι λέγοι, ἐπυνθανόμην αὐτοῦ τοὺς ἀγαθοὺς πότερον χρησίμους ἢ ἀχρήστους εἶναι ὑπολαμβάνοι. Χρησίμους δή που, ὦ Σώκρατες, ἔφη. Ἆρ' οὖν, εἴ περ οἱ ἀγαθοὶ χρήσιμοι, οἱ πονηροὶ ἄχρηστοι; Ὡμολόγει. Τί δαί; τοὺς φιλοσόφους ἄνδρας χρησίμους ἡγεῖ ἢ οὔ; Ὁ δὲ ὡμολόγει χρησίμους, καὶ πρός γε ἔφη χρησιμωτάτους εἶναι ἡγεῖσθαι. Φέρε δὴ γνῶμεν, εἰ σὺ ἀληθῆ λέγεις, ποῦ καὶ χρήσιμοι ἡμῖν εἰσὶν οἱ ὑπακροὶ οὗτοι; δῆλον γὰρ ὅτι ἑκάστου γε τῶν τὰς τέχνας ἐχόντων φαυλότερός ἐστιν ὁ φιλόσοφος. Ὡμολόγει. Φέρε δὴ σύ, ἦν δ' ἐγώ, εἰ τύχοις ἢ αὐτὸς ἀσθενήσας ἢ τῶν φίλων τις τῶν σῶν, περὶ οὗ σὺ σπουδὴν μεγάλην ἔχεις, πότερον ὑγίειαν βουλόμενος κτήσασθαι τὸν ὑπακρον ἐκεῖνον τὸν φιλόσοφον εἰσάγοις ἂν εἰς τὴν οἰκίαν ἢ τὸν ἰατρὸν ἄν λάβοις; Ἀμφοτέρους ἔγωγ' ἄν, ἔφη. Μή μοι, εἶπον ἐγώ, ἀμφοτέρους λέγε, ἀλλ' ὁπότερον μᾶλλόν τε καὶ πρότερον. Οὐδείς ἄν, ἔφη, τοῦτό γε ἀμφισβητήσειεν, ὡς οὐχὶ τὸν ἰατρὸν καὶ μᾶλλον καὶ πρότερον. Τί δ'; ἐν νηῒ χειμαζομένῃ ποτέρῳ ἂν μᾶλλον ἐπιτρέποις σαυτόν τε καὶ τὰ σεαυτοῦ, τῷ κυβερνήτῃ ἢ τῷ

quemadmodum artifices, omnino deficiat; sed omnia mediocriter temperateque attingat. Post hanc illius responsionem cupiens planius nosse, quid diceret, interrogavi, bonos viros utilesne an inutiles esse arbitraretur. Utiles, inquit, o Socrates. Nonne si boni utiles, mali inutiles erunt? Consensit. Quid autem, philosophos viros utiles vel inutiles putas? Ad haec ille maxime omnium utiles esse philosophos asseveravit. Age igitur, dignoscamus, si tu quidem vera dicis, quomodo utiles nobis sunt isti secundae sortis homines. manifestum enim est, quod singulis artem habentibus inferior est philosophus. Annuit. Age, inquam, si vel tu vel ex amicis aliquis tibi carissimus aegrotaret, utrum ad curam valetudinis philosophum illum secundarium domum induceres, an medicum? Utrumque. Ne mihi dicas utrumque: sed utrum potius? Nullus, inquit, ambigeret, quin medicum et magis et prius. Quid autem in navi fluctibus agitata, utrum te et tua gubernatori, an philosopho com-

φιλοσόφῳ; Τῷ κυβερνήτῃ ἔγωγε. Οὐκοῦν καὶ τἆλλα πάνθ' οὕτως, ἕως ἄν τις δημιουργὸς ᾖ, οὐ χρήσιμός ἐστιν ὁ φιλόσοφος; Φαίνεται, ἔφη. Οὐκοῦν νῦν ἄχρηστός τις ἡμῖν ἐστὶν ὁ φιλόσοφος; εἰσὶ γὰρ ἡμῖν δή που δημιουργοί. ὡμολογήσαμεν δὲ τοὺς μὲν ἀγαθοὺς χρησίμους εἶναι, τοὺς δὲ πονηροὺς ἀχρήστους. Ἠναγκάζετο ὁμολογεῖν. Τί οὖν μετὰ τοῦτο ἔρωμαί σε; ἢ ἀγροικότερόν ἐστιν ἐρέσθαι ἢ Ἑροῦ ὅ τι βούλει. Οὐδὲν δή, ἔφην ἐγώ, ζητῶ ἄλλο ἢ ἀνομολογήσασθαι τὰ εἰρημένα.
37 ἔχει δέ πως ὧδί. ὡμολογήσαμεν καλὸν εἶναι τὴν φι- 10
λοσοφίαν καὶ αὐτοὶ φιλόσοφοι εἶναι, τοὺς δὲ φιλοσόφους ἀγαθούς, τοὺς δὲ ἀγαθοὺς χρησίμους, τοὺς δὲ πονηροὺς ἀχρήστους. αὖθις δ' αὖ τους φιλοσόφους ὡμολογήσαμεν, ἕως ἂν οἱ δημιουργοὶ ὦσιν, ἀχρήστους εἶναι, δημιουργοὺς δὲ ἀεὶ εἶναι. οὐ γὰρ ταῦτα ὡμολόγηται; Πάνυ γε, ἦ δ' ὅς. Ὁμολογοῦμεν ἄρ', ὡς ἔοικε, κατά γε τὸν σὸν λόγον, εἴ περ τὸ φιλοσοφεῖν ἐστὶ περὶ τὰς τέχνας ἐπιστήμονας εἶναι ὧν σὺ λέγεις τὸν τρόπον, πονηροὺς αὐτοὺς εἶναι καὶ ἀχρήστους, ἕως ἂν ἐν ἀνθρώποις τέχναι ὦσιν. ἀλλὰ μὴ οὐχ οὕτως, ὦ φίλε, 20
ἔχωσι, μηδ' ᾖ τοῦτο φιλοσοφεῖν, περὶ τὰς τέχνας ἐσπουδακέναι, οὐδὲ πολυπραγμονοῦντα κυπτάζοντα ζῆν, οὐδὲ

mitteres? Gubernatori equidem. Et in reliquis omnibus, donec artifex aliquis adsit, philosophus erit inutilis? Apparet, inquit. Philosophus igitur nunc nobis inutilis est, cum artifices adsint. Confessi vero sumus, bonos quidem utiles esse, malos inutiles. Coactus est denique confiteri. Quid ergo post haec abs te petam? an forsitan inhumanum est, ultra perquirere? Quicquid lubet, inquit. Nihil aliud peto, nisi ut iterum concedantur iam dicta. habent autem sè in hunc modum. Confessi sumus philosophiam bonum esse: et exstare philosophos; atque ipsos philosophos bonos: bonos autem utiles, malos contra inutiles. Deinde concessimus, donec artifices adsunt, philosophos inutiles esse; et artifices adesse semper. nonne concessa haec sunt? Sunt. Confitemur igitur, ut videtur secundum tuam orationem, si quidem philosophari est, esse scientem in artibus eo pacto, quo ipse dixisti, malos ipsos esse et inutiles, quamdiu inter homines artes sint. Verum non ita se habent, o amice: neque philosophari est circa artes studiose versari, nec multis negotiis incumbere, neque multa perdiscere; sed aliud

πολυμαθοῦντα, ἀλλ' ἄλλο τι, ἐπεὶ ἐγὼ ᾤμην καὶ ὄνειδος εἶναι τοῦτο καὶ βαναύσους καλεῖσθαι τοὺς περὶ τὰς τέχνας ἐσπουδακότας.

Ὧδε δὲ σαφέστερον εἰσόμεθα εἰ ἄρ' ἀληθῆ λέγω, ἐὰν τοῦτο ἀποκρίνῃ. τίνες ἵππους ἐπίστανται κολάζειν ὀρθῶς; πότερον οἵ περ βελτίους ποιοῦσιν ἢ ἄλλοι; Οἵ περ βελτίους. Τί δαί; κύνας οὐχ οἳ βελτίους ἐπίστανται ποιεῖν, οὗτοι καὶ κολάζειν ὀρθῶς ἐπίστανται; Ναί. Ἡ αὐτὴ ἄρα τέχνη βελτίους τε ποιεῖ καὶ κολάζει ὀρθῶς; Φημί, ἦ δ' ὅς. Τί δαί; πότερον ἥ περ βελτίους τε ποιεῖ καὶ κολάζει ὀρθῶς, αὕτη καὶ γιγνώσκει τοὺς χρηστοὺς καὶ τοὺς μοχθηρούς, ἢ ἑτέρα τις; Ἡ αὐτή, ἔφη. Ἐθελήσεις οὖν καὶ κατ' ἀνθρώπους τοῦθ' ὁμολογεῖν, ἥ περ βελτίους ἀνθρώπους ποιεῖ, ταύτην εἶναι καὶ τὴν κολάζουσαν ὀρθῶς καὶ διαγιγνώσκουσαν τοὺς χρηστούς τε καὶ τοὺς μοχθηρούς; Πάνυ γ', ἔφη. Οὐκοῦν ἥ τις ἕνα, καὶ πολλούς, καὶ ἥ τις πολλούς, καὶ ἕνα; Ναί. Καὶ καθ' ἵππων δὴ καὶ τῶν ἄλλων ἁπάντων οὕτως; Φημί. Τίς οὖν ἐστὶν ἡ ἐπιστήμη ἥ τις τοὺς ἐν ταῖς πόλεσιν ἀκολασταίνοντας καὶ παρανομοῦντας ὀρθῶς κολάζει; οὐχ ἡ δικαστική; Ναί. Ἡ ἄλλην οὖν τινὰ καλεῖς δικαιοσύνην ἢ ταύτην; Οὐκ ἄλλην.

quiddam: siquidem existimarem et absurdum hoc esse, et mechanicos appellari eos, qui artibus incumbunt. Hoc autem modo planius intelligemus, an vera dicam, si hoc mihi respondes. Qui equos recte domare sciunt? utrum qui illos meliores reddunt, an alii? Qui meliores. Quid autem canes, num qui illos meliores reddere, iidem et recte illos coercere sciunt? Omnino. Eadem ergo ars et illos meliores reddit et recte coercet? Eadem. Quid autem? utrum quae et melieres facit et recte coercet, eadem cognoscit bonos et malos; an alia? Eadem, inquit. Voles igitur, inquam, idem de hominibus confiteri, quae optimos reddit homines, eandem esse, quae et recte cohibet, et qui boni sint, quivi mali, cognoscit? Prorsus, inquit. Nonne, quaecunque unum, eadem et multos: et quae multos, unum? Ita. Et in equis praeterea ceterisque omnibus eodem modo? Eodem modo. Quaenam scientia est, quae intemperantes, et legum transgressores in civitate recte punit? nonne iudiciaria? Prorsus. An vocas iustitiam aliam quandam praeter istam? Non aliam.

*Οὐκοῦν ᾗ περ κολάζουσιν ὀρθῶς, ταύτῃ καὶ γιγνώσκουσι τοὺς χρηστοὺς καὶ τοὺς μοχθηροὺς; Ταύτῃ. Ὃς τις δὲ ἕνα γιγνώσκει, καὶ πολλοὺς γνώσεται; Ναί. Καὶ ὅς τίς γε πολλοὺς ἀγνοεῖ, καὶ ἕνα; Φημί. Εἰ ἄρα ἵππος ὢν ἀγνοοῖ τοὺς χρηστοὺς καὶ τοὺς πονηροὺς ἵππους, κἂν αὐτὸν ἀγνοοῖ ποῖός τίς ἐστιν; Φημί. Καὶ εἰ βοῦς ὢν ἀγνοοῖ τοὺς πονηροὺς καὶ χρηστοὺς * βοῦς, κἂν αὐτὸν ἀγνοοῖ ποῖός τίς ἐστιν; Ναί, ἔφη. Οὕτω δὴ καὶ εἰ κύων; Ὡμολόγει. Τί δ', ἐπειδὴ ἄνθρωπός τις ὢν*

138 *ἀγνοῇ τοὺς χρηστοὺς καὶ πονηροὺς ἀνθρώπους, ἆρ' οὐχ* 10 *ἑαυτὸν ἀγνοεῖ πότερον χρηστός ἐστιν ἢ πονηρός, ἐπειδὴ καὶ αὐτὸς ἄνθρωπός ἐστιν; Ξυνεχώρει. Τὸ δ' ἑαυτὸν ἀγνοεῖν σωφρονεῖν ἐστὶν ἢ μὴ σωφρονεῖν; Μὴ σωφρονεῖν. Τὸ ἑαυτὸν ἄρα γιγνώσκειν ἐστὶ σωφρονεῖν; Φημί, ἔφη. Τοῦτ' ἄρα, ὡς ἔοικε, καὶ τὸ ἐν Δελφοῖς γράμμα παραινελεύεται, σωφροσύνην ἀσκεῖν καὶ δικαιοσύνην. Ἔοικεν. Τῇ αὐτῇ δὲ ταύτῃ καὶ κολάζειν ὀρθῶς ἐπιστάμεθα; Φημί. οὐκοῦν ᾗ μὲν κολάζειν ὀρθῶς ἐπιστάμεθα, δικαιοσύνη αὕτη ἐστίν, ᾗ δὲ διαγιγνώσκειν καὶ ἑαυτὸν καὶ ἄλλους, σωφροσύνη; Ἔοικεν, ἔφη. Ταὐ-* 20 *τὸν ἄρ' ἐστὶ δικαιοσύνη καὶ σωφροσύνη; Φαίνεται. Καὶ μὴν οὕτω γε καὶ αἱ πόλεις εὖ οἰκοῦνται, ὅταν οἱ ἀδι-*

Nonne qua scientia recte castigant et puniunt, eadem bonos ac malos dinoscunt? Eadem. Quicunque vero unum norit, plures quoque cognoscet? Cognoscet. At qui multos ignorat, ignorabit et unum? Consensit. Si ergo equus existens bonos ac malos equos ignoret, se ipsum etiam, qualis est, ignorabit? Concessit. Et si bos cum sit, haud noverit qui sint boni aut mali boves, sese etiam qualis ipse sit ignorare eum necesse est? Ita est, inquit. Eodem quoque modo si canis fuerit? Confessus est. Nunc vero cum homo quis existens ignoret bonos homines et malos, nonne sui ipsius etiam ignarus erit, bonusne sit an malus? Annuit. Se ipsum ignorare, sapere est vel desipere? Desipere. Se ipsum itaque nosse, sapere est? Confiteor, inquit. Hoc igitur, ut videtur, et inscriptio, quae in Delphis est, praecipit. Prudentiam scilicet et iustitiam colere. Apparet. Hac eadem et recte cohibere scimus. Annuit. Qua ergo recte cohibere scimus, ea utique iustitia est: qua vero et nos ipsos et alios dignoscere possumus, prudentia. Videtur. Eadem igitur est iustitia atque prudentia. Apparet. Quin etiam civitates tunc optime gu-

κοῦντες δίκην διδῶσιν. Ἀληθῆ λέγεις, ἔφη. Καὶ πολιτικὴ ἄρα ἡ αὐτή ἐστιν. Ξυνεδόκει. Τί δαί; ὅταν εἷς ἀνὴρ ὀρθῶς πόλιν διοικῇ, ὄνομά γε τούτῳ οὐ τύραννός τε καὶ βασιλεύς; Φημί. Οὐκοῦν βασιλικῇ τε καὶ τυραννικῇ τέχνῃ διοικεῖ; Οὕτως. Καὶ αὗται ἄρ' αἱ αὐταὶ τέχναι εἰσὶν ἐκείναις; Φαίνονται. Τί δέ; ὅταν εἷς ὢν ἀνὴρ οἰκίαν διοικῇ ὀρθῶς, τί ὄνομα τούτῳ ἐστίν; οὐκ οἰκονόμος τε καὶ δεσπότης; Ναί. Πότερον οὖν καὶ οὗτος δικαιοσύνῃ εὖ ἂν τὴν οἰκίαν διοικοῖ ἢ ἄλλῃ τινὶ τέχνῃ; Δικαιοσύνῃ. Ἔστιν ἄρα ταὐτό, ὡς ἔοικε, βασιλεύς, τύραννος, πολιτικός, οἰκονόμος, δεσπότης, σώφρων, δίκαιος· καὶ μία τέχνη ἐστὶ βασιλική, τυραννική, πολιτική, δεσποτική, οἰκονομική, δικαιοσύνη, σωφροσύνη. Φαίνεται, ἔφη, οὕτως. Πότερον οὖν τῷ φιλοσόφῳ, ὅταν μὲν ἰατρὸς περὶ τῶν καμνόντων τι λέγῃ, αἰσχρὸν μήθ' ἕπεσθαι τοῖς λεγομένοις δύνασθαι μήτε ξυμβάλλεσθαι μηδὲν περὶ τῶν λεγομένων ἢ πραττομένων, καὶ ὁπόταν ἄλλος τις τῶν δημιουργῶν, ὡσαύτως· ὅταν δὲ δικαστὴς ἢ βασιλεὺς ἢ ἄλλος τις ὢν νῦν δὴ διήλθομεν, οὐκ αἰσχρὸν περὶ τούτων μήθ' ἕπεσθαι δύνασθαι μήτε ξυμβάλλεσθαι περὶ αὐτῶν; Πῶς δ' οὐκ αἰσχρόν, ὦ Σώκρατες, περί γε τοσούτων πραγμάτων μηδὲν ἔχειν

hernantur, cum iniusti dant poenas. Vera narras. Atque haec civilis scientia est. Est, inquit. Quid vero, quotiens vir unus recte civitatem instituit, nomen illi conveniens nonne tyrannus et rex? Annuit. Nonne tyrannica aut regia arte gubernat? Immo. Hae itaque facultates eaedem ac superiores sunt. Videntur. Quid vero, cum vir unus domum recte disponit, quod huic nomen maxime congruit? nonne oeconomus ac dominus? Convenit. Utrum et iste iustitia bene regit familiam, an alia facultate? Iustitia. Idem est igitur, ut apparet, rex, tyrannus, civilis, oeconomus, dominus, prudens, iustus; atque una quoque ars est, regia, tyrannica, civilis, dominica, oeconomica, iustitia atque prudentia. Videtur. Quid itaque? philosopho viro, quotiens medicus de aegrotantibus quicquam dixerit, turpe est non posse dicta illius assequi, neque ex se ipso aliquid coniectare; et quandocunque alius quisquam aliorum artificum, eodem pacto: cum autem index aut alius quis eorum, quos paulo ante retulimus, non absurdum in his nec assequi dicta, neque per se ipsum conjicere? Quidni esset absurdum, o Socrates, in tantis rebus nihil

συμβάλλεσθαι; Πότερον οὖν καὶ περὶ ταῦτα λέγωμεν, ἔφην, πένταθλον αὐτὸν δεῖν εἶναι καὶ ὕπακρον, τὰ δευτερεῖα ἔχοντα πάντων τὸν φιλόσοφον, καὶ ἀχρεῖον εἶναι ἕως ἄν τούτων τις ᾖ, ἢ πρῶτον μὲν τὴν αὑτοῦ οἰκίαν οὐκ ἄλλῳ ἐπιτρεπτέον οὐδὲ τὰ δευτερεῖα ἐν τούτῳ ἑκτέον, ἀλλ' αὐτὸν κόλαστέον δικάζοντα ὀρθῶς, εἰ μέλλει εὖ οἰκεῖσθαι αὐτοῦ ἡ οἰκία; Ξυνεχώρει δή μοι. Ἔπειτά γε δή που ἐάν τε οἱ φίλοι αὐτῷ διαίτας ἐπιτρέπωσιν, ἐάν τε ἡ πόλις τι προστάττῃ διακρίνειν ἢ
139 δικάζειν, αἰσχρὸν ἐν τούτοις, ὦ ἑταῖρε, δεύτερον φαί- 10
νεσθαι ἢ τρίτον καὶ μὴ οὐχ ἡγεῖσθαι; Δοκεῖ μοι. Πολλοῦ ἄρα δεῖ ἡμῖν, ὦ βέλτιστε, τὸ φιλοσοφεῖν πολυμάθειά τε εἶναι καὶ ἡ περὶ τὰς τέχνας πραγματεία.

Εἰπόντος δ' ἐμοῦ ταῦτα ὁ μὲν σοφὸς αἰσχυνθεὶς τοῖς προειρημένοις ἐσίγησεν, ὁ δὲ ἀμαθὴς ἔφη ἐκείνως εἶναι. καὶ οἱ ἄλλοι ἐπήνεσαν τὰ εἰρημένα.

habere quod consulat? Utrum igitur, inquam, et circa haec philosophum ut pentathlum esse oportere dicimus, et secundas possidentem partes inutilem esse, donec aliquis ex superioribus adsit: vel primum quidem ipsum oportere domum suam nulli administrandam praebere, neque secundas in hoc partes tenere, sed ex se ipso omnia castigare iuste diiudicantem, si quidem eius familia recte administrari debeat? Assentiebatur ille mihi. Atque ego addidi: Si etiam sibi amicus aliquis vitae suae rationem, aut civitas aliquid decernendum, aut iudicandum committat, essetne turpe, o amice, secundum in iis esse aut tertium, neque ducem existere? Ita mihi videtur. Absit igitur, o vir optime, ut philosophari sit plurima discere, artesque tractare. Cum ista dixissem, sapiens quidem ille ex ante dictis rubore affectus tacuit: indoctus autem affirmavit sic esse, et ceteri omnes dicta laudarunt.

ΑΛΚΙΒΙΑΔΗΣ

ΠΡΩΤΟΣ

ΤΑ ΤΟΥ ΔΙΑΛΟΓΟΥ ΠΡΟΣΩΠΑ

ΣΩΚΡΑΤΗΣ, ΑΛΚΙΒΙΑΔΗΣ.

SOCRATES, ALCIBIADES.

Ὦ παῖ Κλεινίου, οἶμαί σε θαυμάζειν ὅτι πρῶτος ἐρα- 103
στής σου γενόμενος τῶν ἄλλων πεπαυμένων μόνος οὐκ
ἀπαλλάττομαι, καὶ ὅτι οἱ μὲν ἄλλοι δι' ὄχλου ἐγένον-
τό σοι διαλεγόμενοι, ἐγὼ δὲ τοσούτων ἐτῶν οὐδὲ προς-
εῖπον. τούτου δὲ τὸ αἴτιον γέγονεν οὐκ ἀνθρώπειον,
ἀλλά τι δαιμόνιον ἐναντίωμα, οὗ σὺ τὴν δύναμιν καὶ
ὕστερον πεύσει· νῦν δ' ἐπειδὴ οὐκέτι ἐναντιοῦταί, οὕτω
προσελήλυθα. εὔελπις δέ εἰμι καὶ τὸ λοιπὸν μὴ ἐναν-
τιώσεσθαι αὐτό. σχεδὸν οὖν καταγενόηκα ἐν τούτῳ τῷ
χρόνῳ σκοπούμενος ὡς πρὸς τοὺς ἐραστὰς ἔσχες· πολ-
λῶν γὰρ γενομένων καὶ μεγαλοφρόνων οὐδεὶς ὃς οὐχ
ὑπερβληθεὶς τῷ φρονήματι ὑπὸ σοῦ πέφευγε. τὸν δὲ
λόγον ᾧ ὑπερπεφρόνηκας, ἐθέλω διελθεῖν. οὐδενὸς φῂς 104
ἀνθρώπων ἐνδεὴς εἶναι εἰς οὐδέν· τὰ γὰρ ὑπάρχοντά
σοι μεγάλα εἶναι, ὥστε μηδενὸς δεῖσθαι, ἀπὸ τοῦ σώ-

O fili Cliniae, admirari te arbitror, quod cum primus ipse omnium amare te coeperim, ceteris desinentibus te diligere, solus in benevolentia persevero: et cum amici reliqui frequentiori consuetudine tibi quotidie molesti fuerint, ego tot annis ne minime salutaverim. Huius autem rei causa non humanum quippiam, sed repugnantia quaedam daemonii fuit, cuius potentiam in sequentibus audies. Nunc vero cum non ultra repugnet, huc ita profectus sum, spero insuper, nec in posterum nobis adversaturum, superiori autem tempore considerabam, quo pacto erga tuos amicos te gereres. Qui quamvis multi essent atque superbi, nemo tamen ex illis fuit, quin aba te fastu superatus abierit. Quam vero ob causam illos contempseris, explicabo. Ais enim, te nulla in re hominibus aliis indigere: quippe quae tibi insunt, ita esse praeclara, ut nec ad corporis

ματος ἀρξάμενα, τελευτῶντα εἰς τὴν ψυχήν. οἶει γὰρ δὴ εἶναι πρῶτον μὲν κάλλιστός τε καὶ μέγιστος — καὶ τοῦτο μὲν δὴ παντὶ δῆλον ἰδεῖν· ὅτι οὐ ψεύδει —, ἔπειτα νεανικωτάτου γένους ἐν τῇ σεαυτοῦ πόλει, οὔσῃ μεγίστῃ τῶν Ἑλληνίδων, καὶ ἐνταῦθα πρὸς πατρός τέ σοι φίλους καὶ ξυγγενεῖς πλείστους εἶναι καὶ ἀρίστους, οἳ εἴ τι δέοι ὑπηρετοῖεν ἄν σοι, τούτων δὲ τοὺς πρὸς μητρὸς οὐδὲν χείρους οὐδ' ἐλάττους. ξυμπάντων δὲ ὧν εἶπον μείζω οἶει σοι δύναμιν ὑπάρχειν Περικλέα τὸν Ξανθίππου, ὃν ὁ πατὴρ ἐπίτροπον κατέλιπε σοί τε καὶ τῷ ἀδελφῷ· ὃς οὐ μόνον ἐν τῇδε τῇ πόλει δύναται πράττειν ὅ τι ἂν βούληται, ἀλλ' ἐν πάσῃ τῇ Ἑλλάδι καὶ τῶν βαρβάρων ἐν πολλοῖς καὶ μεγάλοις γένεσι. προσθήσω δὲ καὶ ὅτι τῶν πλουσίων· δοκεῖς δέμοι ἐπὶ τούτῳ ἥκιστα μέγα φρονεῖν, κατὰ πάντα δὴ ταῦτα σύ τε μεγαλαυχούμενος κεκράτηκας τῶν ἐραστῶν ἐκεῖνοί τε ὑποδεέστεροι ὄντες ἐκρατήθησαν, καί σε ταῦτ' οὐ λέληθεν· ὅθεν δὴ εὖ οἶδα ὅτι θαυμάζεις εἰ διανοούμενός ποτε οὐκ ἀπαλλάττομαι τοῦ ἔρωτος καὶ ἣν τιν' ἔχων ἐλπίδα ὑπομένω τῶν ἄλλων πεφευγότων.

nec ad animi bona cuiusquam egeas. Existimas te in primis procero atque decoro corporis habitu plurimum excellere. atque id apud omnes constat. Nobilissimo praeterea genere ortum te praedicas prae ceteris, qui in hac urbe sunt, civitatum Graecarum amplissima. ex paterno quidem latere amicos atque cognatos adesse quam plurimos et optimos viros, qui tibi omnia, cum opus fuerit, sumministrare possint: maternos quoque nec istis inferiores, neque etiam panciores. Sed multo maiorem iis omnibus auctoritatem afferre tibi ad res agendas Periclem Xanthippi filium, quem quidem pater tuus tutorem tibi fratrique reliquit: qui non in hac civitate solum, quaecunque vult, potest, sed in omni Graecia et in multis etiam ac latis barbarorum generibus. Adderem quoque amplissimas tuorum divitias; nisi te scirem in iis minime omnium gloriari. Horum omnium causa fastu elatus, familiares omnes superbia superasti: atque ipsi, utpote inferiores, tibi cesserunt. Neque vero ista te latuere. quamobrem neque me etiam fugit, admirari te, quo animo in benevolentia perseverarim, quamve spem de te conceperim, qui aliis te relinquentibus ipse solus omnium perstiti.

Al. Ἰαὶ ἴσως γε, ὦ Σώκρατες, οὐκ οἶσθ' ὅτι σμικρόν με ἔφθης. ἐγὼ γάρ τοι ἐν νῷ εἶχον πρότερός σοι προσελθὼν αὐτὰ ταῦτ' ἐρέσθαι, τί ποτε βούλει καὶ εἰς τίν' ἐλπίδα βλέπων ἐνοχλεῖς με, ἀεὶ ὅπου ἂν ὦ ἐπιμελέστατα παρών. τῷ ὄντι γὰρ θαυμάζω ὅ τί ποτ' ἐστὶ τὸ σὸν πρᾶγμα, καὶ ἥδιστ' ἂν πυθοίμην.

So. Ἀκούσει μὲν ἄρα μου, ὡς τὸ εἰκός, προθύμως, εἴ περ, ὡς φῄς, ἐπιθυμεῖς εἰδέναι τί διανοοῦμαι, καὶ ὡς ἀκουσομένῳ καὶ περιμενοῦντι λέγω.

Al. Πάνυ μὲν οὖν· ἀλλὰ λέγε.

So. Ὅρα δή· οὐ γάρ τοι εἴη ἂν θαυμαστὸν εἰ, ὥς περ μόγις ἠρξάμην, οὕτω μόγις καὶ παυσαίμην.

Al. Ἀγαθὰ λέγεις· ἀκούσομαι γάρ.

So. Λεκτέον ἂν εἴη. χαλεπὸν μὲν οὖν πρὸς ἄνδρα οὐχ ἧττονα ἐραστῶν προσφέρεσθαι ἐραστῇ, ὅμως δὲ τολμητέον φράσαι τὴν ἐμὴν διάνοιαν. ἐγὼ γάρ, ὦ Ἀλκιβιάδη, εἰ μέν σε ἑώρων ἃ νῦν δὴ διῆλθον ἀγαπῶντά τε καὶ οἰόμενον δεῖν ἐν τούτοις καταβιῶναι, πάλαι ἂν ἀπῃλλάγμην τοῦ ἔρωτος, ὡς γε δὴ ἐμαυτὸν πείθω· νῦν δὲ ἕτερα αὖ κατηγορήσω διανοήματα σὰ πρὸς αὐτὸν σέ, ᾧ καὶ γνώσει ὅτι προσέχων γέ σοι τὸν

Al. At iatud forte nescis, o Socrates, te nunc me paulo praevenisse. venerat enim in animum mihi, ut te prior adortus haec eadem te rogarem. Quidnam vis? quid sperans me turbas, ut semper, ubicunque sum, observantissime adsis? Revera enim quid sit consilium tuum admiror, illudque libenter audirem. *So.* Audies igitur hoc a me, ut decet, quamprimum: siquidem, ut ais, nosse et audire desideras, quid cogitem. ego enim tanquam exspectanti et auscultaturo id referam. *Al.* Et maxime quidem. dicas modo. *So.* Vide itaque. neque enim mirum videri debet, si, quemadmodum vix incepi, ita vix desinam. *Al.* O vir optime, dic iam. audiam enim. *So.* Dicendum est profecto. Arduum quidem est, cum eo, qui amicos ceteros superaverit, amicitiam consuetudinemque inire. audendum tamen sententiam meam exprimere. Equidem, o Alcibiades, si te cognovissem iis rebus, quas supra narravimus, esse contentum, vitamque illis tuam mancipavisse, iandiu, ut mihi quidem videor, benevolentiam erga te meam deposuissem. Nunc autem alias quasdam tuas de te ipso cogitationes arguam: at intelligas, quam ob causam, cum semel tibi mentem adhibuerim, nun-

νοῦν διατετέλεκα. δοκεῖς γάρ μοι, εἴ τίς σοι εἴποι θεῶν Ὦ Ἀλκιβιάδη, πότερον βούλει ζῆν ἔχων ἃ νῦν ἔχεις, ἢ αὐτίκα τεθνάναι, εἰ μή σοι ἐξέσται μείζω κτήσασθαι; δοκεῖς ἄν μοι ἑλέσθαι τεθνάναι. ἀλλὰ νῦν ἐπὶ τίνι δή ποτε ἐλπίδι ζῇς; ἐγὼ φράσω. ἥξει, ἐὰν θᾶττον εἰς τὸν Ἀθηναίων δῆμον παρέλθῃς; τοῦτο δὲ ἔσεσθαι μάλα ὀλίγων ἡμερῶν, παρελθὼν δὲ ἐνδείξεσθαι Ἀθηναίοις ὅτι ἄξιος εἴ τιμᾶσθαι ὡς οὔτε Περικλῆς οὔτε ἄλλος οὐδεὶς τῶν πώποτε γενομένων, καὶ τοῦτο ἐνδειξάμενος μέγιστον δυνήσεσθαι ἐν τῇ πόλει, ἐὰν δ' ἐνθάδε μέγιστος ᾖς, καὶ ἐν τοῖς ἄλλοις Ἕλλησι, καὶ οὐ μόνον ἐν Ἕλλησιν ἀλλὰ καὶ ἐν τοῖς βαρβάροις, ὅσοι ἐν τῇ αὐτῇ ἡμῖν οἰκοῦσιν ἠπείρῳ. καὶ εἴ σοι εἴποι ὁ αὐτὸς οὗτος θεὸς ὅτι αὐτοῦ σε δεῖ δυναστεύειν ἐν τῇ Εὐρώπῃ, διαβῆναι δὲ εἰς τὴν Ἀσίαν οὐκ ἐξέσται σοι οὐδὲ ἐπιθέσθαι τοῖς ἐκεῖ πράγμασιν, οὐκ ἂν αὖ μοι δοκεῖς ἐθέλειν οὐδὲ ἐπὶ τούτοις μόνοις ζῆν, εἰ μὴ ἐμπλήσεις τοῦ σοῦ ὀνόματος καὶ τῆς σῆς δυνάμεως πάντας ὡς ἔπος εἰπεῖν ἀνθρώπους· καὶ οἶμαί σε πλὴν Κύρου καὶ Ξέρξου ἡγεῖσθαι οὐδένα ἄξιον λόγου γεγονέναι. ὅτι μὲν οὖν ἔχεις ταύτην τὴν ἐλπίδα, εὖ οἶδα καὶ οὐκ

quam destiti. videris mihi sane, si quis deus tibi dixerit, O Alcibiades, nunquid vivere vis ea sola possidens, quae nunc habes? an statim obire, nisi praestantiora quidem assequi liceat? mortem potius electurus. At vero qua nunc spe vitam agas, aperiam. Putas enim, si mox in Atheniensis populi concionem ascenderis, quod quidem paucos post dies futurum existimas, Atheniensibus demonstraturum te maiori dignum esse honore, quam aut Pericles sit aut alius quisquam fuerit eorum, qui superioribus seculis floruerunt: quod si ostenderis, maximae apud cives tuos auctoritatis fore. Atqui si plurimum hac in urbe possis, omnium quoque Graecorum, atque etiam Barbarorum, quicunque eandem quam et Graeci incolunt regionem, clarissimum te futurum: et si deus idem imperium Europae concesserit, transire tamen in Asiam, et ibi rebus agendis praeesse vetuerit: nondum electurus mihi videris cum his solis vitam degere, nisi nomen tuum atque potentiam, ut ita dicam, per omnia hominum genera propagaris. teque arbitror praeter Cyrum ac Xerxem neminem memoria dignum existimare. Quod igitur huiusmodi spe nutriris, non coniecto equidem, sed certo

εἰκάζω. ἴσως ἂν οὖν εἴποις, ἅτε εἰδὼς ὅτι ἀληθῆ λέγω, Τί δὴ οὖν, ὦ Σώκρατες, τοῦτ' ἐστί σοι πρὸς λόγον ὃν ἔφησθα ἐρεῖν, διὸ ἐμοῦ οὐκ ἀπαλλάττει; ἐγὼ δὲ σοί γε ἐρῶ, ὦ φίλε παῖ Κλεινίου καὶ Δεινομάχης. τούτων γάρ σοι ἁπάντων τῶν διανοημάτων τέλος ἐπιτεθῆναι ἄνευ ἐμοῦ ἀδύνατον· τοσαύτην ἐγὼ δύναμιν οἶμαι ἔχειν εἰς τὰ σὰ πράγματα καὶ εἰς σέ. διὸ δὴ καὶ πάλαι οἶμαί με τὸν θεὸν οὐκ ἐᾶν διαλέγεσθαί σοι, ὃν ἐγὼ περιέμενον ὀπηνίκα ἐάσει. ὡς περ γὰρ σὺ ἐλπίδας ἔχεις ἐν τῇ πόλει ἐνδείξασθαι ὅτι αὐτῇ παντὸς ἄξιος εἶ, ἐνδειξάμενος δὲ οὐδὲν ὅ τι οὐ παραυτίκα δυνήσεσθαι, οὕτω κἀγὼ παρὰ σοὶ ἐλπίζω· μέγιστον δυνήσεσθαι ἐνδειξάμενος ὅτι παντὸς ἄξιός εἰμί σοι καὶ οὔτ' ἐπίτροπος οὔτε συγγενὴς οὔτε ἄλλος οὐδεὶς ἱκανὸς παραδοῦναι τὴν δύναμιν ἧς ἐπιθυμεῖς πλὴν ἐμοῦ, μετὰ τοῦ θεοῦ μέντοι. νεωτέρῳ μὲν οὖν ὄντι σοι καὶ πρὶν τοσαύτης ἐλπίδος γέμειν, ὡς ἐμοὶ δοκεῖ, οὐκ εἶα ὁ θεὸς διαλέγεσθαι, ἵνα μὴ μάτην διαλεγοίμην· νῦν δὲ ἐφῆκε· νῦν γὰρ ἄν μου ἀκούσαις. 106

Αλ. Πολύ γέ μοι, ὦ Σώκρατες, νῦν ἀτοπώτερος αὖ φαίνει, ἐπειδὴ ἤρξω λέγειν, ἢ ὅτε σιγῶν εἶπου· καί

scio. forte etiam et tu confiteberis, utpote tui conscius, me vera dixisse. *Al.* Quid hoc, o Socrates, ad eam rationem, quam assignare volebas, ob quam me nondum deseruëris? *So.* Ego tibi dicam, o amice Cliniae et Dinomaches fili. has cogitationes tuas ad optatum finem perducere absque me minime potes: usque adeo in te ac tua negotia me posse confido. Quapropter deum ipsum censeo non permisisse olim, me tecum disserere: atque ego exspectavi, donec ille permitteret. Ut enim tu speras civitati tuae ostendere posse, omni te apud eam honore dignum esse, atque his demonstratis nihil adeo magnum restare, quod non statim conficere possis: sic et ipse plurimum apud te posse confido, cum primum ostendero, cunctis me digniorem esse: nec tutorem neque cognatum neque alium quempiam, praeter unicum me, deo favente, tibi eam potentiam, quam desideras, traditurum. Quamdiu igitur eras iunior, necdum in spem tantam veneras, mea quidem sententia, deus tecum disputare prohibuit, ne frustra contenderem. nunc vero impulit. Nunc igitur audies. *Al.* Longe mihi nunc mirabilior videris, o Socrates, postquam loqui mecum coepisti, quam dum tacitus me sequebaris:

τοι σφόδρα γε ἦσθ' ἰδεῖν καὶ τότε τοιοῦτος. εἰ μὲν οὖν ἐγὼ ταῦτα διανοοῦμαι ἢ μή, ὡς ἔοικε, διέγνωκας, καὶ ἐὰν μὴ φῶ, οὐδέν μοι ἔσται πλέον πρὸς τὸ πείθειν σε. εἶεν. εἰ δὲ δὴ ὅτι μάλιστα ταῦτα διανενόημαι, πῶς διὰ σοῦ μοι ἔσται καὶ ἄνευ σοῦ οὐκ ἂν γένοιτο; ἔχεις λέγειν;

ΣΩ. Ἆρα ἐρωτᾷς εἴ τινα ἔχω εἰπεῖν λόγον μακρόν, οἵους δὴ ἀκούειν εἴθισαι; οὐ γάρ ἐστι τοιοῦτον τὸ ἐμόν. ἀλλ' ἐνδείξασθαι μέν σοι, ὡς ἐγῷμαι, οἷός τ' ἂν εἴην ὅτι ταῦθ' οὕτως ἔχει, ἐὰν ἓν μόνον μοι ἐθέλῃς βραχὺ ὑπηρετῆσαι.

ΑΛ. Ἀλλ' εἴ γε δὴ μὴ χαλεπόν τι λέγεις τὸ ὑπηρέτημα, ἐθέλω.

ΣΩ. Εἰ χαλεπὸν δοκεῖ τὸ ἀποκρίνεσθαι τὰ ἐρωτώμενα.

ΑΛ. Οὐ χαλεπόν.

ΣΩ. Ἀποκρίνου δή.

ΑΛ. Ἐρώτα.

ΣΩ. Οὐκοῦν ὡς διανοουμένου σου ταῦτα ἐρωτῶ, ἃ φημί σε διανοεῖσθαι;

ΑΛ. Ἔστω, εἰ βούλει, οὕτως, ἵνα καὶ εἰδῶ ὅ τι καὶ ἐρεῖς.

ΣΩ. Φέρε δή· διανοεῖ γάρ, ὡς ἐγώ φημι, παριέναι συμβουλεύσων Ἀθηναίοις ἐντὸς οὐ πολλοῦ χρόνου. εἰ

quanquam etiam tunc aspectu talis maxime videbaris. Si igitur utrum ego haec mente versarem, necne, ut videtur, optime cognovisti, etiamsi minus verbis expressero, nihil iam negotii erat ulterius ad te persuadendum. Esto sane. si ergo haec ipse maxime intendo, quonam modo per te consequar, nec sine te ista perficientur? potesne dicere? *So.* Interrogasne, an prolixum sermonem incepturus sim, quales audire solitus es? Neque vero id mei moris est. Veruntamen ostendere tibi possum, ut arbitror, haec ita se habere, modo in hoc uno duntaxat mihi obsequi velis. *Al.* Nisi arduum quiddam exigas, concedo. *So.* Num difficile tibi videtur, ad interrogata respondere? *Al.* Nequaquam. *So.* Responde igitur. *Al.* Interroga. *So.* An te interrogem, ut cogitantem ea, quae cogitare te dixi? *Al.* Esto, si placet: ut tandem quid feras, videam. *So.* Age utique, intendis, ut supra dixi, brevi adire Atheniensem populum, consulturus. Si

οὖν μέλλοντός σου ἰέναι ἐπὶ τὸ βῆμα λαβόμενος ἐροίμην Ὦ Ἀλκιβιάδη, ἐπειδὴ περὶ τίνος Ἀθηναῖοι διανοοῦνται βουλεύεσθαι, ἀνίστασαι συμβουλεύσων; ἆρ' ἐπειδὴ περὶ ὧν σὺ ἐπίστασαι βέλτιον ἢ οὗτοι; τί ἂν ἀποκρίναιο;

Αλ. Εἴποιμ' ἄν δή που, περὶ ὧν οἶδα βέλτιον ἢ οὗτοι.

ΣΩ. Περὶ ὧν ἄρ' εἰδὼς τυγχάνεις, ἀγαθὸς ξύμβουλος εἶ.

Αλ. Πῶς γὰρ οὔ;

ΣΩ. Οὐκοῦν ταῦτα μόνον οἶσθα ἃ παρ' ἄλλων ἔμαθες ἢ αὐτὸς ἐξηῦρες;

Αλ. Ποῖα γὰρ ἄλλα;

ΣΩ. Ἔστιν οὖν ὅπως ἄν ποτε ἔμαθές τι ἢ ἐξηῦρες μήτε μανθάνειν ἐθέλων μήτε αὐτὸς ζητεῖν;

Αλ. Οὐκ ἔστιν.

ΣΩ. Τί δέ; ἠθέλησας ἂν ζητῆσαι ἢ μαθεῖν ἃ ἐπίστασθαι ᾤου;

Αλ. Οὐ δῆτα.

ΣΩ. Ἆρα νῦν τυγχάνεις ἐπιστάμενος; ἦν χρόνος ὅτε οὐχ ἡγοῦ εἰδέναι;

Αλ. Ἀνάγκη.

ΣΩ. Ἀλλὰ μήν ἃ γε μεμάθηκας, σχεδόν τι καὶ ἐγὼ οἶδα· εἰ δέ τι ἐμὲ λέληθεν, εἰπέ. ἔμαθες γὰρ δή

tibi igitur mox ad concionem profecturo ego obvius dicerem, O Alcibiades, postquam Athenienses de aliquo deliberare constituerunt, surrexisti et tu deliberaturus: utrum de iis quae tu melius, quam isti, calles? quid responderes ad haec? *Al.* Responderem sane, de iis quae melius nossem. *So.* Quae igitur nosti, de iis quoque es consultor bonus? *Al.* Quidni? *So.* Nonne haec sola cognoscis, quae ab aliis didicisti vel ipse per te invenisti? *Al.* Quaenam alia? *So.* Est aliquid quod quandoque didiceris vel inveneris, cum nolles invenire vel discere? *Al.* Non est. *So.* Nunquid voluisti unquam inquirere sive discere, quae te scire putabas? *Al.* Nunquam. *So.* Quae nunc scis, fuit quandoque tempus, quando te ignorare putabas? *Al.* Necesse est. *So.* Atqui quae didicisti, ferme et ipse cognovi. quod si quid me fugerit, dicas. didicisti enim, ut me-

σύ γε κατὰ μνήμην τὴν ἐμὴν γράμματα καὶ κιθαρίζειν καὶ παλαίειν· οὐ γὰρ δὴ αὐλεῖν γε ἤθελες μαθεῖν. ταῦτ' ἐστὶν ἃ σὺ ἐπίστασαι, εἰ μή πού τι μανθάνων ἐμὲ λέληθας· οἶμαι δέ γε, οὔτε νύκτωρ οὔτε μεθ' ἡμέραν ἐξιὼν ἔνδοθεν.

ΑΛ. Ἀλλ' οὐ πεφοίτηκα εἰς ἄλλων ἢ τούτων.

107 *ΣΩ.* Πότερον οὖν, ὅταν περὶ γραμμάτων Ἀθηναῖοι βουλεύωνται, πῶς ἂν ὀρθῶς γράφοιεν, τότε ἀναστήσει αὐτοῖς συμβουλεύσων;

ΑΛ. Μὰ Δί' οὐκ ἔγωγε.

ΣΩ. Ἀλλ' ὅταν περὶ ῥουμάτων ἐν λύρᾳ;

ΑΛ. Οὐδαμῶς.

ΣΩ. Οὐδὲ μὴν οὐδὲ περὶ παλαισμάτων γε εἰώθασι βουλεύεσθαι ἐν τῇ ἐκκλησίᾳ.

ΑΛ. Οὐ μέντοι.

ΣΩ. Ὅταν οὖν περὶ τίνος βουλεύωνται; οὐ γάρ που ὅταν γε περὶ οἰκοδομίας.

ΑΛ. Οὐ δῆτα.

ΣΩ. Οἰκοδόμος γὰρ ταῦτά γε σοῦ βέλτιον συμβουλεύσει.

ΑΛ. Ναί.

ΣΩ. Οὐδὲ μὴν ὅταν περὶ μαντικῆς βουλεύωνται;

ΑΛ. Οὔ.

ΣΩ. Μάντις γὰρ οὗ ταῦτ' ἄμεινον ἢ σύ.

ΑΛ. Ναί.

anini, literas, citharam pulsare, palaestram. nam tibias inflare noluisti. haec sunt, quorum tu scientiam habes: nisi quid clanculum forte didiceris. puto autem, nec noctu neque diu exisse te domo nos latentem. *Al.* Nullos, praeterquam horum trium, praeceptores audivi. *So.* An, quotiens Athenienses de literis consultabunt, quo pacto scribi debeant, ad consilium accedes? *Al.* Non per Iovem. *So.* At cum de lyra pulsanda? *Al.* Nullo modo. *So.* Neque de palaestris etiam in concione disceptare consueverunt. *Al.* Minime. *So.* Quando igitur et qua de re consultantibus? non enim cum de aedificiis? *Al.* Non certe. *So.* Aedificator enim melius, quam tu, consulet. *Al.* Ita. *So.* Neque tamen cum de vaticinio disceptabunt? *Al.* Nequaquam. *So.* Fatidicus enim haec melius quam tu. *Al.* Melius

ΣΩ. Ἐάν τέ γε σμικρὸς ᾖ μέγας ᾖ, ἐάν τε καλὸς ᾖ αἰσχρός; ἔτι τε γενναῖος ἢ ἀγεννής.

ΑΛ. Πῶς γὰρ οὔ;

ΣΩ. Εἰδότος γάρ, οἶμαι, περὶ ἑκάστου ἡ συμβουλή, καὶ οὐ πλουτοῦντος.

ΑΛ. Πῶς γὰρ οὔ;

ΣΩ. Ἀλλ' ἐάν τε πένης ἐάν τε πλούσιος ᾖ ὁ παραινῶν, οὐδὲν διοίσει Ἀθηναίοις ὅταν περὶ τῶν ἐν τῇ πόλει βουλεύωνται, πῶς ἂν ὑγιαίνοιεν, ἀλλὰ ξητήσουσιν ἰατρὸν εἶναι τὸν σύμβουλον.

ΑΛ. Εἰκότως γε.

ΣΩ. Ὅταν οὖν περὶ τίνος σκοπῶνται, τότε οὐ ἀνεστάμενος ὡς συμβουλεύσων ὀρθῶς ἀναστήσει;

ΑΛ. Ὅταν περὶ τῶν ἑαυτῶν πραγμάτων, ὦ Σώκρατες.

ΣΩ. Τῶν περὶ ναυπηγίας λέγεις, ὁποίας τινὰς χρὴ αὐτοὺς τὰς ναῦς ναυπηγεῖσθαι;

ΑΛ. Οὐκ ἔγωγε, ὦ Σώκρατες.

ΣΩ. Ναυπηγεῖν γάρ, οἶμαι, οὐκ ἐπίστασαι. τοῦτ' αἴτιον ἢ ἄλλο τι;

ΑΛ. Οὔκ, ἀλλὰ τοῦτο.

ΣΩ. Ἀλλὰ περὶ ποίων τῶν ἑαυτῶν λέγεις πραγμάτων ὅταν βουλεύωνται;

ΑΛ. Ὅταν περὶ πολέμου, ὦ Σώκρατες, ἢ περὶ εἰρήνης ἢ ἄλλου του τῶν τῆς πόλεως πραγμάτων.

So. Seu parvus sive magnus; seu formosus sive deformis; vel generosus vel ignobilis. *Al.* Certe. *So.* Scientis enim officium est, non divitis, de unoquoque consulere. *Al.* Quidni? *So.* Atque ideo seu dives sit sive pauper ille, qui monet, nihil intererit apud Athenienses, quando deliberabunt, qua ratione cives recte valeant: sed quaerent dunta at ut medicus sit consultor. *Al.* Et merito. *So.* Quando igitur, et in qua causa idoneus consultor eris? *Al.* Quando de negotiis eorum deliberabunt. *So.* An cum de re navali quaerent, quales oportet naves fabricare? *Al.* Non, o Socrates. *So.* Naves enim struere nescis. estne haec causa, an aliud quiddam? *Al.* Nil aliud. *So.* At vero de quibus eorum negotiis dicebas? *Al.* Cum de bello, o Socrates, vel pace aut alio quopiam civitatis negotio.

ΣΩ. Ἆρα λέγεις ὅταν βουλεύωνται πρὸς τίνας χρὴ εἰρήνην ποιεῖσθαι καὶ τίσι πολεμεῖν καὶ τίνα τρόπον;

ΑΛ. Ναί.

ΣΩ. Χρὴ δ' οὐχ οἷς βέλτιον;

ΑΛ. Ναί.

ΣΩ. Καὶ τότε ὁπότε βέλτιον;

ΑΛ. Πάνυ γε.

ΣΩ. Καὶ τοσοῦτον χρόνον ὅσον ἄμεινον;

ΑΛ. Ναί.

ΣΩ. Εἰ οὖν βουλεύοιντο Ἀθηναῖοι τίσι χρὴ προς- 10
παλαίειν καὶ τίσιν ἀκροχειρίζεσθαι καὶ τίνα τρόπον, σὺ ἄμεινον ἂν συμβουλεύοις ἢ ὁ παιδοτρίβης;

ΑΛ. Ὁ παιδοτρίβης δή που.

ΣΩ. Ἔχεις οὖν εἰπεῖν πρὸς τί βλέπων ὁ παιδοτρίβης συμβουλεύσειεν οἷς δεῖ προςπαλαίειν καὶ οἷς μή, καὶ ὁπότε καὶ ὅν τινα τρόπον; λέγω δὲ τὸ τοιόνδε. ἆρα τούτοις δεῖ προςπαλαίειν οἷς βέλτιον, ἢ οὔ;

ΑΛ. Ναί.

108 ΣΩ. Ἆρα καὶ τοσαῦτα ὅσ' ἄμεινον;

ΑΛ. Τοσαῦτα.

ΣΩ. Οὐκοῦν καὶ τόθ' ὅτε ἄμεινον;

ΑΛ. Πάνυ γε.

ΣΩ. Ἀλλὰ μὴν καὶ ᾄδοντα δεῖ καθαρίζειν ποτὲ πρὸς τὴν ᾠδὴν καὶ βαίνειν;

So. Num dicis cum disputabunt, quibuscum pax tractanda s et adversus quos bellum gerendum, et quo pacto? *Al.* Prof cto. *So.* Oportet autem, quibus operae pretium est haec ind cere? *Al.* His ipsis. *So.* Et tunc solum, quando melius? *A* Omnino. atque tamdiu, quamdiu praestat certe. *So.* Si er quaererent Athenienses, adversus quos palaestra vel pug certandum sit et quomodo, ipse melius quam gymnasii magis consuleres? *Al.* Gymnasii magister melius. *So.* Potes dicere, quid ille respiciens admonebit, quibuscum luctandum sit pal stra vel non, et quando et quo pacto? Tale aliquid dico, No cum iis certandum, quibuscum operae pretium est? *Al.* Cun utique. *So.* Et quantum praestat? *Al.* Et quantum praestat. Et tunc, quando melius? *Al.* Prorsus. *So.* Quin etiam cant oportet pulsare citharam et saltare ad cantilenae ipsius exemp

Αλ. Δεῖ γάρ.

ΣΩ. Οὐκοῦν τόθ' ὁπότε βέλτιον;

Αλ. Ναί.

ΣΩ. Καὶ τοσαῦτα ὅσα βέλτιον;

Αλ. Φημί.

ΣΩ. Τί οὖν; ἐπειδὴ βέλτιον μὲν ὠνόμαζες ἐπ' ἀμφοτέροις, τῷ τε κιθαρίζειν πρὸς τὴν ᾠδὴν καὶ τῷ προσπαλαίειν, τί καλεῖς τὸ ἐν τῷ κιθαρίζειν βέλτιον; ὡς περ ἐγὼ τὸ ἐν τῷ παλαίειν καλῶ γυμναστικόν· σὺ δέ γ' ἐκεῖνο τί καλεῖς;

Αλ. Οὐκ ἐννοῶ.

ΣΩ. Ἀλλὰ πειρῶ ἐμὲ μιμεῖσθαι. ἐγὼ γάρ που ἀπεκρινάμην τὸ διὰ παντὸς ὀρθῶς ἔχον. ὀρθῶς δὲ δή που ἔχει τὸ κατὰ τὴν τέχνην γιγνόμενον· ἢ οὔ;

Αλ. Ναί.

ΣΩ. Ἡ δὲ τέχνη οὐ γυμναστικὴ ἦν;

Αλ. Πῶς δ' οὔ;

ΣΩ. Ἐγὼ δ' εἶπον τὸ ἐν τῷ παλαίειν βέλτιον γυμναστικόν.

Αλ. Εἶπες γάρ.

ΣΩ. Οὐκοῦν καλῶς;

Αλ. Ἔμοιγε δοκεῖ.

ΣΩ. Ἴθι δὴ καὶ σύ — πρέποι γάρ ἄν που καὶ σοὶ τὰ καλῶς διαλέγεσθαι — εἰπὲ πρῶτον, τίς ἡ τέχνη

Al. Oportet. *So.* Nonne tunc, quando melius? *Al.* Tunc certe. *So.* Et tantum, quantum melius? *Al.* Confiteor. *So.* Quid ergo? postquam ipsum melius in utrisque nominasti, et in pulsatione citharae secundum cantilenam, et in palaestra: quid vocas in recto ad cantum sono melius? quemadmodum ego in palaestra voco gymnasticum, tu autem quid illud appellas? *Al.* Haud intelligo. *So.* Sed conare me imitari. equidem ipsum melius responderem id quod per omnia recte se habet. Recte vero se habet, quod secundum artem fit. nonne? *Al.* Id ipsum. *So.* Nonne ars gymnastica? *Al.* Quidni? *So.* Id sane, quod melius in palaestra, vocavi gymnasticum. *Al.* Vocasti quidem. *So.* An non recte? *Al.* Mihi videtur. *So.* Age igitur et tu. decet enim te quoque recte disserere. Dic primum, quae ars est,

ἧς τὸ καθαρίζειν καὶ τὸ ᾄδειν καὶ τὸ ἐμβαίνειν ὀρθῶς; συνάπασα τίς καλεῖται; Οὔπω δύνασαι εἰπεῖν;

Αλ. Οὐ δῆτα.

Σω. Ἀλλ' ὧδε πειρῶ. τίνες αἱ θεαὶ ὧν ἡ τέχνη;

Αλ. Τὰς Μούσας, ὦ Σώκρατες, λέγεις;

Σω. Ἔγωγε. ὅρα δή· τίνα ἀπ' αὐτῶν ἐπωνυμίαν ἡ τέχνη ἔχει;

Αλ. Μουσικήν μοι δοκεῖς λέγειν.

Σω. Λέγω γάρ. τί οὖν τὸ κατ' αὐτὴν ὀρθῶς γιγνόμενόν ἐστιν; ὡς περ ἐκεῖ ἐγώ σοι τὸ κατὰ τὴν τέχνην ἔλεγον ὀρθῶς, τὴν γυμναστικήν. καὶ σὺ δ' οὖν οὕτως ἐνταῦθα τί φῄς; πῶς γίγνεσθαι;

Αλ. Μουσικῶς μοι δοκεῖ.

Σω. Εὖ λέγεις, ἴθι δή, καὶ τὸ ἐν τῷ πολεμεῖν βέλτιον καὶ τὸ ἐν τῷ εἰρήνην ἄγειν, τοῦτο τὸ βέλτιον τί ὀνομάζεις; ὡς περ ἐκεῖ ἑφ' ἑκάστῳ ἔλεγες τὸ ἄμεινον, ὅτι μουσικώτερον, καὶ ἐπὶ τῷ ἑτέρῳ, ὅτι γυμναστικώτερον· πειρῶ δὴ καὶ ἐνταῦθα λέγειν τὸ βέλτιον.

Αλ. Ἀλλ' οὐ πάνυ τι ἔχω.

Σω. Ἀλλὰ μέντοι αἰσχρόν γε, εἰ μέν τίς σε λέγοντα καὶ συμβουλεύοντα περὶ σιτίων, ὅτι βέλτιον τόδε τοῦδε καὶ νῦν καὶ τοσοῦτον, ἔπειτα ἐρωτήσειε Τί τὸ

ad quam pertinet recte canere, sonare, saltare. universa haec ars quomodo nuncupatur? nondum potes exprimere? *Al.* Nondum. *So.* Verum sic enitere. quaenam huius artis deae? *Al.* Musasne, o Socrates, ais? *So.* Equidem. inspice iam, quod ab iis cognomentum ars illa nanciscitur. *Al.* Musicam dicere mihi videris. *So.* Dico utique. Quid igitur est, quod secundum hanc recte perficitur? quemadmodum modo in illa arte ego tibi, quod secundum artem recte fieret, gymnasticum vocavi. tu quoque in hac eodem modo quid ais? et quomodo fieri? *Al.* Musicum mihi videtur, et musice. *So.* Bene dicis. age iam et ipsum quod in bello melius, et in pace ipsum quod melius, quid nuncupas? quemadmodum in superioribus dixisti, in unoquoque meliori: in uno quidem quod magis musicum, in altero vero quod magis gymnasticum: conare in iis similiter ipsum melius pronunciare. *Al.* Non habeo quid dicam. *So.* At vero turpe est, si quis te de cibis asserentem, quod melior est iste quam ille, et quando, et quantus, deinde interroget, Quid ipsum melius

ἄμεινον λέγεις, ὦ Ἀλκιβιάδη; περὶ μὲν τούτων ἔγειν εἰπεῖν ὅτι τὸ ὑγιεινότερον, καί τοι οὐ προσποιεῖ γε ἰατρὸς εἶναι· περὶ δὲ οὗ προσποιεῖ ἐπιστήμων εἶναι καὶ συμβουλεύσεις ἀνιστάμενος ὡς εἰδώς, τούτου δέ, ὡς ἔοικας, πέρι ἐρωτηθεὶς ἐὰν μὴ ἔχῃς εἰπεῖν, οὐκ αἰσχύνει; ἢ οὐκ αἰσχρὸν φαίνεται;

Αλ. Πάνυ γε.

Σω. Σκόπει δὴ καὶ προθυμοῦ εἰπεῖν, πρὸς τί τείνει τὸ ἐν τῷ εἰρήνην τε ἄγειν ἄμεινον καὶ τὸ ἐν τῷ πολεμεῖν οἷς δεῖ;

Αλ. Ἀλλὰ σκοπῶν οὐ δύναμαι ἐννοῆσαι.

Σω. Οὐδ' οἶσθα, ἐπειδὰν πόλεμον ποιώμεθα, ὅ τι ἐγκαλοῦντες ἀλλήλοις πάθημα ἐρχόμεθα εἰς τὸ πολεμεῖν, καὶ ὅ τι αὐτὸ ὀνομάζοντες ἐρχόμεθα;

Αλ. Ἔγωγε, ὅτι γε ἐξαπατώμενοί τι ἢ βιαζόμενοι ἢ ἀποστερούμενοι.

Σω. Ἔχε. πῶς ἕκαστα τούτων πάσχοντες περιῶ εἰπεῖν τί διαφέρει τὸ ὧδε ἢ ὧδε.

Αλ. Ἢ τὸ ὧδε λέγεις, ὦ Σώκρατες, τὸ δικαίως ἢ ἀδίκως;

Σω. Αὐτὸ τοῦτο.

Αλ. Ἀλλὰ μὴν τοῦτό γε διαφέρει ὅλον τε καὶ πᾶν.

Σω. Τί οὖν; Ἀθηναίοις σὺ πρὸς πατέρους συμ-

nuncupas, o Alcibiades? habere in iis quid respondeas, quod videlicet salubrius; quamvis te medicum esse non profitearis: in illo vero, cuius te peritum esse gloriaris, et tanquam erudituus consulturus assurgis, si desit tibi quod respondeas interrogatus, quid melius sit, nonne, inquam, turpe hoc est? *Al.* Turpissimum. *So.* Considera itaque et conare nobis ostendere, quorsum tendit ipsum melius in pace quibuscum oportet conficienda, et in bello etiam contra quos oportet? *Al.* Etsi inquiro, nequeo tamen id invenire. *So.* Animadvertisti, cum bellum gerimus, quid sit quod accusamus et quomodo nuncupemus illud, quo ad bellum incitamur? *Al.* Animadverti equidem, ad arma nos provocari, cum decepti sumus vel coacti vel aliqua re privati. *So.* Age, dicas, quo differt pati illa hoc vel illo modo? *Al.* Cum dicis hoc vel illo modo, intelligisne idem, ac si diceres iuste vel iniuste? *So.* Id ipsum. *Al.* Omnino qui[illegible] et secundum totum differt. *So.* Adversus quos ut bellu[illegible]

[illegible]em
[illegible] ineant,

βουλεύσεις πολεμεῖν, τοὺς ἀδικοῦντας ἢ τοὺς τὰ δίκαια πράττοντας;

ΑΛ. Δεινὸν τοῦτό γε ἐρωτᾷς. εἰ γὰρ καὶ διανοεῖταί τις ὡς δεῖ πρὸς τοὺς τὰ δίκαια πράττοντας πολεμεῖν, οὐκ ἂν ὁμολογήσειέ γε.

ΣΩ. Οὐ γὰρ νόμιμον τοῦθ', ὡς ἔοικεν.

ΑΛ. Οὐ δῆτα· οὐδέ γε καλὸν δοκεῖ εἶναι.

ΣΩ. Πρὸς ταῦτ' ἄρα καὶ σὺ τὸ δίκαιον τοὺς λόγους ποιήσει;

ΑΛ. Ἀνάγκη.

ΣΩ. Ἄλλο τι οὖν, ὃ νῦν δὴ ἐγὼ ἠρώτων βέλτιον πρὸς τὸ πολεμεῖν καὶ μή, καὶ οἷς δεῖ καὶ οἷς μή, καὶ ὁπότε καὶ μή, τὸ δικαιότερον τυγχάνει ὄν; ἢ οὔ;

ΑΛ. Φαίνεταί γε.

ΣΩ. Πῶς οὖν, ὦ φίλε Ἀλκιβιάδη; πότερον σαυτὸν λέληθας ὅτι οὐκ ἐπίστασαι τοῦτο, ἢ ἐμὲ ἔλαθες μανθάνων καὶ φοιτῶν ἐς διδασκάλου, ὅς σε ἐδίδασκε διαγιγνώσκειν τὸ δικαιότερόν τε καὶ ἀδικώτερον; καὶ τίς ἔστιν οὗτος; φράσον καὶ ἐμοί, ἵν' αὐτῷ φοιτητὴν προξενήσῃς καὶ ἐμέ.

ΑΛ. Σκώπτεις, ὦ Σώκρατες.

ΣΩ. Μὰ τὸν φίλιον τὸν ἐμόν τε καὶ σόν, ὃν ἐγὼ ἥκιστ' ἂν ἐπιορκήσαιμι· ἀλλ' εἴ περ ἔχεις, εἰπὲ τίς ἔστιν.

Athenienses hortaberis? num adversus iniuriam inferentes, an iuste agentes? *Al.* Durum est id, quod interrogas. nam si quis putaret iustos etiam viros opprimendos, non tamen id tibi confiteretur. *So.* Non enim legitimum hoc, ut videtur. *Al.* Minime. *So.* Neque bonum apparet. in his ergo tu circa id quod iustum est verba facies? *Al.* Necesse est. *So.* Ita quod melius interrogarem, in bello gerendo aut non gerendo, et quibuscum oportet vel non, et quando oportet vel non, oportet id quod iustius est. an non? *Al.* Videtur. *So.* Utrum igitur, o amice Alcibiades, te praeterit, quod hoc ignoras: vel me inscio ad praeceptorem profectus es, unde diiudica- [illegible]iceris quid iustius et quid iniustius; age et mihi hunc [illegible]ut illi me discipulum atque hospitem reddas. *Al.* [illegible]ocrates. *So.* Non per deum mihi et tibi amicum, [illegible] minime fallerem. sed si habes, dic quis est.

si [illegible]
re diu-
ostende, [illegible]
Mordes, o S[illegible]
quem iureiurando

ΑΛ. Τί δ', εἰ μὴ ἔχω; οὐκ ἂν οἴει με ἄλλως εἰδέναι περὶ τῶν δικαίων καὶ ἀδίκων;

ΣΩ. Ναί, εἴ γε εὕροις.

ΑΛ. Ἀλλ' οὐκ ἂν εὑρεῖν με ἡγεῖ;

ΣΩ. Καὶ μάλα γε, εἰ ζητήσαις.

ΑΛ. Εἶτα ζητῆσαι οὐκ ἂν οἴει με;

ΣΩ. Ἔγωγε, εἰ οἰηθείης γε μὴ εἰδέναι.

ΑΛ. Εἶτα οὐκ ἦν ὅτε εἶχον οὕτως;

ΣΩ. Καλῶς λέγεις. ἔχεις οὖν εἰπεῖν τοῦτον τὸν χρόνον ὅτε οὐκ ᾤου εἰδέναι τὰ δίκαια καὶ τὰ ἄδικα; φέρε, πέρυσιν ἐζήτεις τε καὶ οὐκ ᾤου εἰδέναι, ἢ ᾤου; καὶ τἀληθῆ ἀποκρίνου, ἵνα μὴ μάτην οἱ διάλογοι γίγνωνται.

ΑΛ. Ἀλλ' ᾤμην εἰδέναι.

ΣΩ. Τρίτον δὲ ἔτος καὶ τέταρτον καὶ πέμπτον οὐχ οὕτως;

ΑΛ. Ἔγωγε.

ΣΩ. Ἀλλὰ μήν τό γε πρὸ τούτου παῖς ἦσθα, ἦ γάρ;

ΑΛ. Ναί.

ΣΩ. Τότε μὲν τοίνυν εὖ οἶδα ὅτι ᾤου εἰδέναι.

ΑΛ. Πῶς εὖ οἶσθα;

ΣΩ. Πολλάκις σοῦ ἐν διδασκάλων ἤκουον παιδὸς ὄντος καὶ ἄλλοθι, καὶ ὁπότε ἀστραγαλίζοις ἢ ἄλλην

Al. Quid si non habeam, nonne putas aliter me iusta atque iniusta posse dignoscere? *So.* Immo, siquidem inveneris. *Al.* An non censes invenisse me? *So.* Et maxime quidem, modo quaesiveris. *Al.* Deinde non credis, me quaesisse? *So.* Credo equidem, modo te ignorare putaveris. *Al.* An non fuit tempus, cum sic me haberem? *So.* Bene dicis, sed scis assignare nobis id tempus, quando non rebaris te iustorum atque iniustorum cognitionem habere? age, superiori anno ista quaesisti, nec existimabas te scire, vel existimabas? Ac vera responde, ne frustra disputationes procedant. *Al.* Putabam scire. *So.* Tertio vero anno ante id tempus et quarto et quinto, nonne eodem pacto? *Al.* Eodem. *So.* Atqui ante haec tempora nonne puer? *Al.* Eram. *So.* Tunc sane novi, te cognoscere putavisse. *Al.* Quomodo novisti? *So.* Saepenumero te puerum audivi, cum apud ludimagistros; atque alibi, in calculorum iactu

τινὰ παιδιὰν παίζοις, οὐχ ὡς ἀπορούντος περὶ τῶν δικαίων καὶ ἀδίκων, ἀλλὰ μάλα μέγα καὶ θαρραλέως λέγοντος περὶ ὅτου τύχοις τῶν παίδων, ὡς πονηρός τε καὶ ἄδικος εἴη καὶ ὡς ἀδικοῖ. ἦ οὐκ ἀληθῆ λέγω;

Al. Ἀλλὰ τί ἔμελλον ποιεῖν, ὦ Σώκρατες, ὁπότε τίς με ἀδικοῖ;

So. Σὺ δ' εἰ τύχοις ἀγνοῶν εἴτε ἀδικοῖο εἴτε μὴ τότε, λέγεις τί σε χρὴ ποιεῖν;

Al. Μὰ Δί' ἀλλ' οὐκ ἠγνόουν ἔγωγε, ἀλλὰ σαφῶς ἐγίγνωσκον ὅτι ἠδικούμην.

So. Ὦιον ἄρ' ἐπίστασθαι καὶ παῖς ὤν, ὡς ἔοικε, τὰ δίκαια καὶ τὰ ἄδικα.

Al. Ἔγωγε· καὶ ἠπιστάμην γε.

So. Ἐν ὁποίῳ χρόνῳ ἐξηυρών; οὐ γὰρ δή που ἐν ᾧ γε ᾤου εἰδέναι.

Al. Οὐ δῆτα.

So. Πότε οὖν ἀγνοεῖν ἠγοῦ; σκόπει· οὐ γὰρ εὑρήσεις τοῦτον τὸν χρόνον.

Al. Μὰ τὸν Δί', ὦ Σώκρατες, οὔκουν ἔχω γ' εἰπεῖν.

So. Εὑρὼν μὲν ἄρα οὐκ οἶσθα αὐτά.

Al. Οὐ πάνυ φαίνομαι.

So. Ἀλλὰ μὴν ἄρτι γε οὐδὲ μαθὼν ἔφησθα εἰδέναι. εἰ δὲ μήθ' εὗρες μήτε ἔμαθες, πῶς οἶσθα καὶ πόθεν;

ceterisque puerilibus studiis exercereris, tanquam de iustis atque iniustis minime dubitantem, verum audacter loquentem, de quocunque puero sermo incidebat, quod malus et iniustus esset, et iniuste ageret. Num vera loquor? *Al.* Quid me oportebat facere, cum quis iniuria me afficeret? *So.* Tu, si te ignorare contigerit, utrum inferatur iniuria, necne, tunc quaeris quid agere te oporteat? *Al.* Per Iovem non ignorabam quidem, sed plane intelligebam, iniuriam mihi fieri. *So.* Ergo putabas, etiam dum esses puer, iusta et iniusta dignoscere. *Al.* Et sciebam equidem. *So.* Quo in tempore inveneras? non enim in illo, cum te scire credebas. *Al.* Nequaquam. *So.* Quando igitur haec ignorare putabas? considera, non enim id tempus invenies. *Al.* Per Iovem, o Socrates, quod dicam non habeo. *So.* Non ergo per inventionem ista cognoscis? *Al.* Non videor. *So.* Sed paulo ante neque per disciplinam etiam percepisse dicebas, quod si nec inveneris neque didiceris, quonam pacto et unde cognoscis?

Αλ. Ἀλλ' ἴσως τοῦτό σοι οὐκ ὀρθῶς ἀπεκρινάμην, τὸ φάναι εἰδέναι αὐτὸς ἐξευρών.

ΣΩ. Τὸ δὲ πῶς εἶχεν;

Αλ. Ἔμαθον, οἶμαι, καὶ ἐγὼ ὥς περ καὶ οἱ ἄλλοι.

ΣΩ. Πάλιν εἰς τὸν αὐτὸν ἥκομεν λόγον. παρὰ τοῦ; φράζε καὶ μοί.

Αλ. Παρὰ τῶν πολλῶν.

ΣΩ. Οὐκ εἰς σπουδαίους γε διδασκάλους καταφεύγεις, εἰς τοὺς πολλοὺς ἀναφέρων.

Αλ. Τί δέ; οὐχ ἱκανοὶ διδάξαι οὗτοι;

ΣΩ. Οὔκουν τά γε πεττευτικά γε καὶ τὰ μή· καί τοι φαυλότερα αὐτὰ οἶμαι τῶν δικαίων εἶναι. τί δέ; σὺ οὐχ οὕτως οἴει;

Αλ. Ναί.

ΣΩ. Εἶτα τὰ μὲν φαυλότερα οὐχ οἷοί τε διδάσκειν, τὰ δὲ σπουδαιότερα;

Αλ. Οἶμαι ἔγωγε· ἄλλα γοῦν πολλὰ οἷοί τ' εἰσὶ διδάσκειν σπουδαιότερα τοῦ πεττεύειν. 111

ΣΩ. Ποῖα ταῦτα;

Αλ. Οἷον καὶ τὸ ἑλληνίζειν παρὰ τούτων ἔγωγε ἔμαθον, καὶ οὐκ ἂν ἔχοιμι εἰπεῖν ἐμαυτοῦ διδάσκαλον, ἀλλ' εἰς τοὺς αὐτοὺς ἀναφέρω οὓς σὺ φῂς οὐ σπουδαίους εἶναι διδασκάλους.

ΣΩ. Ἀλλ', ὦ γενναῖε, τούτου μὲν ἀγαθοὶ διδά-

Al. Forte haud recte respondi, cum scire me per inventionem asserui. Id vero in hunc modum se habuit. Didici ipse quoque, ut arbitror, quemadmodum alii. *So.* Rursus in idem relabimur. dic nobis, a quo didicisti? *Al.* A vulgo. *So.* Non ad probatos refugis praeceptores, cum ad vulgus te refers. *Al.* An non sufficiunt ad haec docenda isti? Nonne etiam docere possunt, quae pertinent ad talares ludos, et quae non? etsi viliora ista sunt, quam iusta. An non sic tu quoque putas? *So.* Puto. *Al.* Deinde nonne minora quaedam, atque etiam nonnulla maiora tradere possunt? *So.* Arbitror equidem. *Al.* Enimvero multa docere possunt meliora ludo talari. *So.* Quaenam ista? *Al.* Ut est Graece loqui. ab iis enim didici, nec praeceptorem ullum habui praeter istos, quos tu magistros haud satis probatos esse dicebas. *So.* O generose, huius quidem rei vulgares

σκαλοι οἱ πολλοί, καὶ δικαίως ἐπαινοῖντ' ἂν αὐτῶν εἰς διδασκαλίαν.

Αλ. Τί δή;

Σω. Ὅτι ἔχουσι περὶ αὐτὰ ἃ χρὴ τοὺς ἀγαθοὺς διδασκάλους ἔχειν.

Αλ. Τί τοῦτο λέγεις;

Σω. Οὐκ οἶσθ' ὅτι χρὴ τοὺς μέλλοντας διδάσκειν ὑτιοῦν αὐτοὺς πρῶτον εἰδέναι; ἢ οὔ;

Αλ. Πῶς γὰρ οὔ;

Σω. Οὐκοῦν τοὺς εἰδότας ὁμολογεῖν τε ἀλλήλοις καὶ μὴ διαφέρεσθαι;

Αλ. Ναί.

Σω. Ἐν οἷς δ' ἂν διαφέρωνται, ταῦτα φήσεις εἰδέναι αὐτούς;

Αλ. Οὐ δῆτα.

Σω. Τούτων οὖν διδάσκαλοι πῶς ἂν εἶεν;

Αλ. Οὐδαμῶς.

Σω. Τί οὖν; δοκοῦσί σοι διαφέρεσθαι οἱ πολλοὶ ποῖόν ἐστι λίθος ἢ ξύλον; κἄν τινα ἐρωτᾷς, ἆρ' οὐ ταὐτὰ ὁμολογοῦσι, καὶ ἐπὶ ταὐτὰ ὁρμῶσιν, ὅταν βούλωνται λαβεῖν λίθον ἢ ξύλον; ὡσαύτως καὶ πάνθ' ὅσα τοιαῦτα; σχεδὸν γάρ τι μανθάνω τὸ ἑλληνίζειν ἐπίστασθαι ὅτι τοῦτο λέγεις. ἢ οὔ;

Αλ. Ναί.

Σω. Οὐκοῦν εἰς μὲν ταῦτα, ὥς περ ἔπομεν, ἀλ-

homines idonei praeceptores sunt, et merito in hac doctrina laudantur. *Al.* Cur? *So.* Quoniam habent quod bonos decet praeceptores habere. *Al.* Quid hoc? *So.* Nonne scis, oportere eos qui aliquid docturi sunt, prius quam doceant, intelligere? *Al.* Quidni? *So.* Intelligentes autem consentire invicem, neque differre? *Al.* Ita. *So.* In quibus igitur dissentirent, ea scire illos assereres? *Al.* Minime. *So.* Horum ergo quomodo boni essent magistri? *Al.* Nullo modo. *So.* Videturne tibi dissentire multitudo, si quando interrogetur, quid lapis et quid lignum? an non in idem feruntur omnes, cum lignum volunt aut lapidem capere? atque eodem pacto in cunctis huiusmodi? *Al.* Intelligo ferme, quod tale quiddam Graecam locutionem esse dicis, nonne? *So.* Dico equidem. Atque iccirco in iis nonne con-

λήλοις τε ὁμολογοῦσι καὶ αὐτοὶ ἑαυτοῖς ἰδίᾳ, καὶ δημοσίᾳ αἱ πόλεις πρὸς ἀλλήλας οὐκ ἀμφισβητοῦσιν, αἱ μὲν ταῦθ', αἱ δ' ἄλλα φάσκουσαι;

Αλ. Οὐ γάρ.

Σω. Εἰκότως ἂν ἄρα τούτων γε καὶ διδάσκαλοι εἶεν ἀγαθοί.

Αλ. Ναί.

Σω. Οὐκοῦν εἰ μὲν βουλοίμεθα ποιῆσαί τινα περὶ αὐτῶν εἰδέναι, ὀρθῶς ἂν αὐτὸν πέμποιμεν εἰς διδασκαλίαν τούτων τῶν πολλῶν;

Αλ. Πάνυ γε.

Σω. Τί δ' εἰ βουληθεῖμεν εἰδέναι μὴ μόνον ποῖοι ἄνθρωποί εἰσιν ἢ ποῖοι ἵπποι, ἀλλὰ καὶ τίνες αὐτῶν δρομικοί τε καὶ μή, ἆρ' ἔτι οἱ πολλοὶ τοῦτο ἱκανοὶ διδάξαι;

Αλ. Οὐ δῆτα.

Σω. Ἱκανὸν δέ σοι τεκμήριον ὅτι οὐκ ἐπίστανται οὐδὲ ἡρήγυοι διδάσκαλοι εἰσι τούτων, ἐπειδὴ οὐδὲν ὁμολογοῦσιν ἑαυτοῖς περὶ αὐτῶν;

Αλ. Ἔμοιγε.

Σω. Τί δ' εἰ βουληθείημεν εἰδέναι μὴ μόνον ποῖοί ἄνθρωποί εἰσιν, ἀλλ' ὁποῖοι ὑγιεινοὶ ἢ νοσώδεις, ἆρ' ἱκανοὶ ἂν ἡμῖν ἦσαν διδάσκαλοι οἱ πολλοί;

Αλ. Οὐ δῆτα.

veniunt, ut diximus, et privatim et publice civitates invicem, neque dubitant, hae quidem hoc, hae vero aliud quiddam vocantes? *Al.* Non dubitant. *So.* Merito ergo istorum idonei praeceptores essent. *Al.* Nempe. *So.* Itaque, si quem in his vellemus eruditum evadere, recte hunc in doctrinam multitudinis mitteremus. *Al.* Prorsus. *So.* Si autem nosse vellemus, non modo qui homines et qui equi sint, verum etiam qui ex illis maxime cursu valeant et qui non: nunquid vulgus erudire poterit? *Al.* Nequaquam. *So.* Sufficiens haec tibi coniectura erit, quod nec sciant vulgares omnes, neque apti horum praeceptores sint, quoniam de iis inter se nequaquam conveniunt. *Al.* Videtur. *So.* Quodsi intelligere cupiamus, non tantum qui sint homines, sed qui bene valeant vel aegrotent: nunquid multitudo docebit? *Al.* Non.

ΣΩ. Ἦν δ' ἄν σοι τεκμήριον ὅτι μογθηροί εἰσι τούτων διδάσκαλοι, εἰ ἑώρας αὐτοὺς διαφερομένους;

ΑΛ. Ἔμοιγε.

ΣΩ. Τί δὲ δή; νῦν περὶ τῶν δικαίων καὶ ἀδίκων
112 ἀνθρώπων καὶ πραγμάτων οἱ πολλοὶ δοκοῦσί σοι ὁμολογεῖν αὐτοὶ ἑαυτοῖς ἢ ἀλλήλοις;

ΑΛ. Ἥκιστα νὴ Δί', ὦ Σώκρατες.

ΣΩ. Τί δαί; μάλιστα περὶ αὐτῶν διαφέρεσθαι;

ΑΛ. Πολύ γε.

ΣΩ. Οὐκοῦν οἶμαί γε πώποτέ σε ἰδεῖν οὐδ' ἀκοῦ- 10
σαι σφόδρ' οὕτω διαφερομένους ἀνθρώπους περὶ ὑγιεινῶν καὶ μή, ὥστε διὰ ταῦτα μάχεσθαί τε καὶ ἀποκτιννύναι ἀλλήλους.

ΑΛ. Οὐ δῆτα.

ΣΩ. Ἀλλὰ περὶ τῶν δικαίων καὶ ἀδίκων ἔγωγε οἶδ' ὅτι καὶ εἰ μὴ ἑώρακας, ἀκήκοας γοῦν ἄλλων τε πολλῶν καὶ Ὁμήρου. καὶ Ὀδυσσείας γὰρ καὶ Ἰλιάδος ἀκήκοας.

ΑΛ. Πάντως δή που, ὦ Σώκρατες.

ΣΩ. Οὐκοῦν ταῦτα ποιήματά ἐστι περὶ διαφορᾶς 20
δικαίων τε καὶ ἀδίκων;

ΑΛ. Ναί.

ΣΩ. Καὶ αἱ μάχαι γε καὶ οἱ θάνατοι διὰ ταύτην τὴν διαφορὰν τοῖς τε Ἀχαιοῖς καὶ τοῖς ἄλλοις Τρωσὶν

So. Multitudinem ista docere non posse facile advertes, si discordes opiniones consideraveris. *Al.* Sane. *So.* De iustis autem hominibus atque rebus multitudo secum ipsa et cum aliis consentit? *Al.* Minime per Iovem, o Socrates. *So.* At in iis magnopere discrepat? *Al.* Summopere. *So.* Arbitror nec vidisse te unquam nec audisse homines de sanis et aegrotis inter se adeo dissentire, ut ob ista bellum gererent seque invicem interimerent. *Al.* Nunquam. *So.* Ceterum de iustis atque iniustis quam acriter dissentiant, etsi ipse, ut arbitror, non vidisti, audisti tamen cum ex aliis multis, tum etiam ex Homero in Odyssea atque Iliade. *Al.* Omnino, o Socrates. *So.* Nonne igitur haec omnia poëmata sunt de iusti atque iniusti discrimine? *Al.* Sunt. *So.* Pugnaeque et interitus ob eandem profecto dissensionem inter Achivos Troianosve fuerunt: ea-

ἐγένοντο, καὶ τοῖς μνησθῆναι τοῖς τῆς Πηνελόπης καὶ τῷ Ὀδυσσεῖ.

ΑΛ. Ἀληθῆ λέγεις.

ΣΩ. Οἶμαι δὲ καὶ τοῖς ἐν Τανάγρᾳ Ἀθηναίων τε καὶ Λακεδαιμονίων καὶ Βοιωτῶν ἀποθανοῦσι καὶ τοῖς ὕστερον ἐν Κορωνείᾳ, ἐν οἷς καὶ ὁ σὸς πατὴρ Κλεινίας ἐτελεύτησεν, οὐδὲ περὶ ἑνὸς ἄλλου διαφορὰν ἢ περὶ τοῦ δικαίου τε καὶ ἀδίκου τοὺς θανάτους καὶ τὰς μάχας πεποιηκέναι. ἢ γάρ;

ΑΛ. Ἀληθῆ λέγεις.

ΣΩ. Τούτους οὖν φῶμεν ἐπίστασθαι περὶ ὧν οὕτω σφόδρα διαφέρονται, ὥστε ἀμφισβητοῦντες ἀλλήλοις τὰ ἔσχατα σφᾶς αὐτοὺς ἐργάζονται;

ΑΛ. Οὐ φαίνεταί γε.

ΣΩ. Οὐκοῦν εἰς τοὺς τοιούτους διδασκάλους ἀναφέρεις οὓς ὁμολογεῖς αὐτὸς μὴ εἰδέναι;

ΑΛ. Ἔοικε.

ΣΩ. Πῶς οὖν εἰκός σε εἰδέναι τὰ δίκαια καὶ τὰ ἄδικα, περὶ ὧν οὕτω πλανᾷ καὶ οὔτε μαθὼν φαίνει παρ' οὐδενὸς οὔτε αὐτὸς ἐξευρών;

ΑΛ. Ἐκ μὲν ὧν σὺ λέγεις οὐκ εἰκός.

ΣΩ. Ὁρᾷς αὖ τοῦθ' ὡς οὐ καλῶς εἶπες, ὦ Ἀλκιβιάδη;

ΑΛ. Τὸ ποῖον;

ΣΩ. Ὅτι ἐμὲ φῂς ταῦτα λέγειν.

demque ratione inter procos Penelopes et Ulixem. *Al.* Vera refers. *So.* Reorque et inter Athenienses, Lacedaemonas atque Boeotios, qui primò in Tanagra, deinde in Coronia perierunt, ubi etiam pater tuus Clinias oppetiit, nulla alia de re quam de iusti iniustive differentia pugnam illam acerbissimam exstitisse. *Al.* Vera loqueris. *So.* Eos itaque dicemus illa scivisse, de quibus tam acriter concertarunt, ut de iusto et iniusto altercantes omnia extrema subirent? *Al.* Non videtur. *So.* Nonne in eos praeceptores te refers, quos ipsemet ignorare consentis? *Al.* Videor. *So.* Quoniam pacto conveniens est te iusta et iniusta cognoscere, in quibus sic aberras, nec didicisse ab aliquo videris neque per te etiam invenisse? *Al.* Ex iis, quae tu dicis, non est consentaneum. *So.* Vides iterum, Alcibiades, hoc te non recte dixisse? *Al.* Quid? *So.* Quod me aiebas haec dicere.

ΑΛ. Τί δέ; οὐ νὺ λέγεις ὡς ἐγὼ οὐδὲν ἐπίσταμαι περὶ τῶν δικαίων καὶ ἀδίκων;

ΣΩ. Οὐ μέντοι.

ΑΛ. Ἀλλ' ἐγώ;

ΣΩ. Ναί.

ΑΛ. Πῶς δή;

ΣΩ. Ὧδε εἴσει, ἐάν σε ἔρωμαι τὸ ἓν καὶ τὰ δύο, πότερα πλείω ἐστί, φήσεις ὅτι τὰ δύο;

ΑΛ. Ἔγωγε.

ΣΩ. Πόσῳ; 10

ΑΛ. Ἑνί.

ΣΩ. Πότερος οὖν ἡμῶν ὁ λέγων ὅτι τὰ δύο τοῦ ἑνὸς ἑνὶ πλείω;

ΑΛ. Ἐγώ.

13 ΣΩ. Οὐκοῦν ἐγὼ μὲν ἠρώτων, σὺ δὲ ἀπεκρίνου;

ΑΛ. Ναί.

ΣΩ. Περὶ δὴ τούτων μῶν ἐγὼ φαίνομαι λέγων ὃ ἐρωτῶν, ἢ σὺ ὁ ἀποκρινόμενος;

ΑΛ. Ἐγώ.

ΣΩ. Τί δ' ἂν ἐγὼ μὲν ἔρωμαι ποῖα γράμματα 20 Σωκράτους, σὺ δὲ εἴπῃς, πότερος ὁ λέγων;

ΑΛ. Ἐγώ.

ΣΩ. Ἴθι δή, ἑνὶ λόγῳ εἰπέ· ὅταν ἐρώτησίς τε καὶ ἀπόκρισις γίγνηται, πότερος ὁ λέγων, ὁ ἐρωτῶν ἢ ὁ ἀποκρινόμενος;

ΑΛ. Ὁ ἀποκρινόμενος, ἔμοιγε δοκεῖ, ὦ Σώκρατες.

Al. Quid autem? non ipse dicis me circa iusta et iniusta ignarum esse? *So.* Nequaquam. *Al.* Egone igitur? *So.* Tu, inquam. *Al.* Quonam modo? *So.* Sic intelliges, si te interrogem, utrum unum aut duo plura sint, respondebisne duo? *Al.* Duo. *So.* Quanto? *Al.* Uno. *So.* Uter nostrum erit, qui dicet duo uno plura quam unum? *Al.* Ego. *So.* Nonne ego interrogabam, tu respondebas? *Al.* Ita. *So.* De iis ergo uter nostrum dicere videtur, num ego interrogans, an tu respondens? *Al.* Ego. *So.* Quid autem? si quaeram, quot sunt in Socrate literae, tu vero respondeas, uter nostrum erit qui dicet? *Al.* Ego. *So.* Age, dic uno verbo, quotiens interrogatio fit atque responsio, uter est qui dicit? interrogansne an respondens? *Al.* Respondens mihi videtur, o Socrates.

ΣΩ. Οὐκοῦν ἄρτι διὰ παντὸς ἐγὼ μὲν ἦ ὁ ἐρωτῶν;

ΑΛ. Ναί.

ΣΩ. Σὺ δὲ ὁ ἀποκρινόμενος;

ΑΛ. Πάνυ γε.

ΣΩ. Τί οὖν; τὰ λεχθέντα πότερος ἡμῶν εἴρηκεν;

ΑΛ. Φαίνομαι μέν, ὦ Σώκρατες, ἐκ τῶν ὡμολογημένων ἐγώ.

ΣΩ. Οὐκοῦν ἐλέχθη ὅτι περὶ δικαίων καὶ ἀδίκων Ἀλκιβιάδης ὁ καλὸς ὁ Κλεινίου οὐκ ἐπίσταιτο, οἴοιτο δέ, καὶ μέλλοι εἰς ἐκκλησίαν ἐλθὼν συμβουλεύσειν Ἀθηναίοις περὶ ὧν οὐδὲν οἶδεν; οὐ ταῦτ' ἦν;

ΑΛ. Φαίνεται.

ΣΩ. Τὸ τοῦ Εὐριπίδου ἄρα συμβαίνει, ὦ Ἀλκιβιάδη· σοῦ τάδε κινδυνεύεις ἀλλ' οὐκ ἐμοῦ ἀκηκοέναι, οὐδ' ἐγώ εἰμι ὁ ταῦτα λέγων ἀλλὰ σύ, ἐμὲ δὲ αἰτιᾷ μάτην.

ΑΛ. Καὶ μέντοι καὶ εὖ λέγεις.

ΣΩ. Μανικὸν γὰρ ἐν νῷ ἔχεις ἐπιχείρημα, ἐπιγειρεῖν, ὦ βέλτιστε, διδάσκειν ἃ οὐκ οἶσθα, ἀμελήσας μανθάνειν.

ΑΛ. Οἶμαι μέν, ὦ Σώκρατες, ὀλιγάκις Ἀθηναίους βουλεύεσθαι καὶ τοὺς ἄλλους Ἕλληνας πότερα δικαιότερα ἢ ἀδικώτερα. τὰ μὲν γὰρ τοιαῦτα ἡγοῦνται δῆλα εἶναι· ἐάσαντες οὖν περὶ αὐτῶν, σκοποῦσιν ὁπότερα

So. Ego in superioribus semper interrogavi. *Al.* Semper. *So.* Tu vero respondisti? *Al.* Respondi. *So.* Quae igitur dicta sunt, hactenus, uter nostrum dixit? *Al.* Ex iis quae concessa sunt, ego dixisse videor. *So.* Nonne dictum est, quod Alcibiades bonus Cliniae filius iustorum atque iniustorum inscius, se scire putabat, eratque concionem Atheniensium ascensurus, ea consulens quae nesciret? Sunt haec vera? *Al.* Sunt. *So.* Euripidis illud nunc nobis, o Alcibiades, occurrit. Abs te quippe ista videris audisse, non a me: neque ego haec, sed tu dixisti. me autem frustra accusas. Et profecto bene dicis. Furiosum enim quiddam aggredi, o vir optime, statuisti, docturus illa, quae nescias neque discere cures. *Al.* Reor, o Socrates, Athenienses et alios Graecos raro, quaenam iustiora quaeve iniustiora sint, quaerere. talia enim putant esse perspicua. his igitur omissis, quae conducant agentibus, inquirunt. neque

συνοίσει πράξασιν. οὐ γὰρ ταὐτά, οἶμαι, ἐστὶ τά τε δίκαια καὶ τὰ συμφέροντα, ἀλλὰ πολλοῖς δὴ ἐλυσιτέλησεν ἀδικήσασι μεγάλα ἀδικήματα, καὶ ἑτέροις γε, οἶμαι, δίκαια ἐργασαμένοις οὐ ξυνήνεγκεν.

ΣΩ. Τί οὖν; εἰ ὅτι μάλιστα ἕτερα μὲν τὰ δίκαια τυγχάνει ὄντα, ἕτερα δὲ τὰ συμφέροντα, οὔ τί που αὖ σὺ οἴει ταῦτ' εἰδέναι ἃ συμφέρει τοῖς ἀνθρώποις, καὶ διότι;

ΑΛ. Τί γὰρ κωλύει, ὦ Σώκρατες; εἰ μή με αὖ ἐρήσει παρ' ὅτου ἔμαθον ἢ ὅπως αὐτὸς εὗρον.

ΣΩ. Οἷον τοῦτο ποιεῖς. εἴ τι μὴ ὀρθῶς λέγεις, τυγχάνει δὲ δυνατὸν ὂν ἀποδεῖξαι δι' οὗ περ καὶ τὸ πρότερον λόγου, οἴει δὴ καίν' ἄττα δεῖν ἀκούειν ἀποδείξεις τε ἑτέρας, ὡς τῶν προτέρων οἷον σκευαρίων κατατετριμμένων, καὶ οὐκέτ' ἂν σὺ αὐτὰ ἀμπίσχοιο, εἰ μή τίς σοι τεκμήριον καθαρὸν καὶ ἄγραντον οἴσει. ἐγὼ δὲ
114 χαίρειν ἐάσας τὰς σὰς προδρομὰς τοῦ λόγου, οὐδὲν ἧττον ἐρήσομαι πόθεν μαθὼν αὖ τὰ συμφέροντα ἐπίστασαι καὶ ὅς τίς ἐστιν ὁ διδάσκαλος· καὶ πάντ' ἐκεῖνα τὰ πρότερον ἐρωτῶ μιᾷ ἐρωτήσει. ἀλλὰ γὰρ δῆλον ὡς εἰς ταὐτὸν ἥξεις καὶ οὐχ ἕξεις ἀποδεῖξαι οὔθ' ὡς ἐξευρὼν οἶσθα τὰ ξυμφέροντα οὔθ' ὡς μαθών. ἐπειδὴ δὲ

enim eadem esse iusta et utilia puto. quin multis iniuste agentibus iniustitia profuit: alios contra iuste agentes nil ipsa iustitia iuvit. *So.* Alia ergo iusta erunt, alia conferentia: nunquid vero nosse putas, quae utilia sunt hominibus, et quam ob causam? *Al.* Et quid prohibet, Socrates? nisi rursus exquiras, a quo didicerim aut quomodo ipse invenerim. *So.* Tale quiddam nunc agis: ac si quid non recte dicas, possitque id ostendi per eandem rationem, qua superiora: ipse tamen nova quaedam existimes audienda novasque demonstrationes in medium adducendas, quasi priores discissae et confractae sint instar apparatuum atque vestium, quibus in scena utuntur; quibus quidem tu non amplius induaris, nisi quis aliud quiddam purum immaculatumque afferat. Ego autem, missa faciens sermonis tui praeludia, nihilominus interrogabo, unde utilia didiceris, et quis magister fuerit: et reliqua cuncta quae prius, una interrogatione requiram. Veruntamen eodem, ut arbitror, revolveris, neque ostendere poteris, qua ratione utilia, disciplinane an inventione cognoveris. Quando vero adeo deliciis deditus es,

τρυφᾷς καὶ οὐκέτ' ἂν ἡδέως τοῦ αὐτοῦ γεύσαιο λόγου, τοῦτο μὲν ἐῶ χαίρειν, εἴτε οἶσθα εἴτε μὴ τὰ Ἀθηναίοις συμφέροντα· πότερον δὲ ταὐτά ἐστι δίκαιά τε καὶ συμφέροντα ἢ ἕτερα, τί οὐκ ἀπέδειξας, εἰ μὲν βούλει, ἐρωτῶν με ὥς περ ἐγὼ σέ, εἰ δέ, καὶ αὐτὸς ἐπὶ σεαυτοῦ λόγῳ διέξελθε.

Αλ. Ἀλλ' οὐκ οἶδα εἰ οἷός τ' ἂν εἴην, ὦ Σώκρατες, πρὸς σὲ διελθεῖν.

Σω. Ἀλλ', ὦ γαθέ, ἐμὲ ἐκκλησίαν νόμισον καὶ δῆμον· καὶ ἐκεῖ τοί σε δεήσει ἕνα ἕκαστον πείθειν. ἦ γάρ;

Αλ. Ναί.

Σω. Οὐκοῦν τοῦ αὐτοῦ ἕνα τε οἷόν τε εἶναι κατὰ μόνας πείθειν καὶ ξυμπόλλους περὶ ὧν ἂν εἰδῇ, ὥς περ ὁ γραμματιστὴς ἕνα τέ που πείθει περὶ γραμμάτων καὶ πολλούς;

Αλ. Ναί.

Σω. Ἆρ' οὖν οὐ καὶ περὶ ἀριθμοῦ ὁ αὐτὸς ἕνα τε καὶ πολλοὺς πείσει;

Αλ. Ναί.

Σω. Οὗτος δ' ἔσται ὁ εἰδώς, ὁ ἀριθμητικός;

Αλ. Πάνυ γε.

Σω. Οὐκοῦν καὶ οὗ ἅ περ καὶ πολλοὺς οἷός τε πείθειν εἶ, ταῦτα καὶ ἕνα;

Αλ. Εἰκός γε.

ut non libenter sermonem eundem gustaturus videare: hoc quidem dimitto, noscasne, an non, quid utile quidve inutile sit Atheniensibus. Utrum autem eadem sint iusta et utilia, an diversa, cur non demonstras, aut ipse me interrogans, ut ego te, aut si placet, per te ipsum, tua tantum oratione discurrens? *Al.* Haud scio, o Socrates, an adversus te disputare valerem. *So.* At, o bone vir, concionem me in praesentia populumve esse puta. nonne illic te unicuique persuadere oportebit? *Al.* Oportebit. *So.* Nonne eiusdem est, posse uni seorsum aliquid demonstrare, nec non multis simul in iis, quae cognoscit? sicut grammaticus unum pariter in literis ac multos erudit: et in numeris eodem modo quis poterit uni ac multis ostendere? *Al.* Certe. *So.* Hic autem est arithmeticus? *Al.* Est. *So.* Et tu ergo quae pluribus, eadem uni persuadere potes? *Al.* Consentaneum est.

ΣΩ. Ἔστι δὲ ταῦτα δῆλον ὅτι ἃ οἶσθα.

ΑΛ. Ναί.

ΣΩ. Ἄλλο τι οὖν τοσοῦτον μόνον διαφέρει τοῦ ἐν τῷ δήμῳ ῥήτορος ὃ ἐν τῇ τοιᾷδε ξυνουσίᾳ, ὅτι ἃ μὲν ἀθρόους πείθει ταὐτά, ὃ δὲ καθ' ἕνα;

ΑΛ. Κινδυνεύει.

ΣΩ. Ἴθι νῦν, ἐπειδὴ τοῦ αὐτοῦ φαίνεται πολλούς τε καὶ ἕνα πείθειν, ἐν ἐμοὶ ἐμμελέτησον καὶ ἐπιχείρησον ἐπιδεῖξαι ὡς τὸ δίκαιον ἐνίοτε οὐ ξυμφέρει.

ΑΛ. Ὑβριστὴς εἶ, ὦ Σώκρατες. 19

ΣΩ. Νῦν γοῦν ὑφ' ὕβρεως μέλλω σε πείθειν τἀναντία οἷς σὺ ἐμὲ οὐκ ἐθέλεις.

ΑΛ. Λέγε δή.

ΣΩ. Ἀποκρίνου μόνον τὰ ἐρωτώμενα.

ΑΛ. Μή, ἀλλὰ σὺ αὐτὸς λέγε.

ΣΩ. Τί δαί; οὐχ ὅτι μάλιστα βούλει πεισθῆναι;

ΑΛ. Πάντως δή που.

ΣΩ. Οὐκοῦν εἰ λέγεις ὅτι ταὐθ' οὕτως ἔχει, μάλιστ' ἂν εἴης πεπεισμένος;

ΑΛ. Ἔμοιγε δοκεῖ. 20

ΣΩ. Ἀποκρίνου δή· καὶ ἐὰν μὴ αὐτὸς σὺ ταυτοῦ ἀκούσῃς ὅτι τὰ δίκαια συμφέροντά ἐστιν, ἄλλῳ γε λέγοντι μὴ πιστεύσῃς.

So. Sunt autem haec videlicet, quae cognoscis. *Al.* Profecto. *So.* Hoc vero duntaxat differt rhetor qui apud populum loquitur, ab eo qui in huiusmodi congressu: quod ille simul universis, hic seorsum singulis persuadet. *Al.* Videtur. *So.* Age, cum eiusdem esse appareat, multis atque uni ostendere, meditare nunc coram me, atque enitere, ut ostendas mihi, quod iustum est, aliquando non prodesse. *Al.* Contumeliosus es, o Socrates. *So.* Nunc per contumeliam demonstraturus sum tibi contraria eorum, quae tu mihi non vis. *Al.* Dic. *So.* Responde modo interroganti. *Al.* Minime: sed tu ipse dicas. *So.* Nonne vis quam maxime persuaderi? *Al.* Prorsus. *So.* Si dixeris haec ita se habere, an non eris maxime persuasus? *Al.* Mihi quidem videtur. *So.* Responde igitur. nam nisi a te ipso audieris iusta omnia utilia esse, alteri dicenti non credes.

Αλ. Οὔ τοι, ἀλλ' ἀποκριτέον· καὶ γὰρ οὐδὲν οἶομαι βλαβήσεσθαι.

Σω. Μαντικὸς γὰρ εἶ. καί μοι λέγε· τῶν δικαίων φῂς ἔνια μὲν συμφέρειν, ἔνια δ' οὔ; 113

Αλ. Ναί.

Σω. Τί δαί; τὰ μὲν καλὰ αὐτῶν εἶναι, τὰ δ' οὔ;

Αλ. Πῶς τοῦτ' ἐρωτᾷς;

Σω. Εἴ τις ἤδη σοι ἔδοξεν αἰσχρὰ μέν, δίκαια δὲ πράττειν.

Αλ. Οὐκ ἔμοιγε.

Σω. Ἀλλὰ πάντα τὰ δίκαια καὶ καλά;

Αλ. Ναί.

Σω. Τί δ' αὖ τὰ καλά; πότερον πάντα ἀγαθά, ἢ τὰ μέν, τὰ δ' οὔ;

Αλ. Οἶμαι ἔγωγε, ὦ Σώκρατες, ἔνια τῶν καλῶν κακὰ εἶναι.

Σω. Ἦ καὶ αἰσχρὰ ἀγαθά;

Αλ. Ναί.

Σω. Ἆρα λέγεις τὰ τοιάδε; οἷον πολλοὶ ἐν πολέμῳ βοηθήσαντες ἑταίρῳ ἢ οἰκείῳ τραύματα ἔλαβον καὶ ἀπέθανον, οἱ δ' οὐ βοηθήσαντες, θέον, ὑγιεῖς ἀπῆλθον.

Αλ. Πάνυ μὲν οὖν.

Σω. Οὐκοῦν τὴν τοιαύτην βοήθειαν καλὴν μὲν

Al. Non, sed iam respondendum est. nihil enim nociturum existimo. *So.* Vates profecto es. verum dic: fustorum quaedam conferre asseris, quaedam minime? *Al.* Assero. *So.* Quid autem, horum partim esse pulchra, partim contra? *Al.* Quomodo istud interrogas? *So.* Utrum quispiam tibi aliquando visus sit turpia quidem facere, sed tamen iusta? *Al.* Mihi nunquam. *So.* Omnia itaque iusta etiam pulchra. *Al.* Ita. *So.* Rursus pulchra, utrum omnia bona, an partim bona, partim mala? *Al.* Arbitror equidem, o Socrates, nonnulla ex pulchris mala esse. *So.* Et turpia quaedam bona? *Al.* Certe. *So.* Nunquid tale quiddam dicis, perinde ac si nonnulli, dum in proelio amico vel propinquo cuidam opem ferre vellent, vulnerati perierint: qui vero debitum auxilium non praestiterunt, incolumes inde discesserint? *Al.* Et maxime quidem. *So.* Nonne auxilium huiusmodi pulchrum

λέγεις κατὰ τὴν ἐπιχείρησιν τοῦ σῶσαι οὓς ἔδει· τοῦτο δ' ἐστὶν ἀνδρία. ἦ οὔ;

Αλ. Ναί.

ΣΩ. Κακὴν δέ γε κατὰ τοὺς θανάτους τε καὶ τὰ ἕλκη, ἦ γάρ;

Αλ. Ναί.

ΣΩ. Ἆρ' οὖν οὐκ ἄλλο μὲν ἡ ἀνδρία, ἄλλο δὲ ὁ θάνατος;

Αλ. Πάνυ γε.

ΣΩ. Οὐκ ἄρα κατὰ ταὐτόν γέ ἐστι καλὸν καὶ κακὸν τὸ τοῖς φίλοις βοηθεῖν;

Αλ. Οὐ φαίνεται.

ΣΩ. Ὅρα τοίνυν εἰ ἦ γε καλόν, καὶ ἀγαθόν, ὥς περ καὶ ἐνταῦθα. κατὰ τὴν ἀνδρίαν γὰρ ὡμολόγεις καλὸν εἶναι τὴν βοήθειαν. τοῦτ' οὖν αὐτὸ σκόπει, τὴν ἀνδρίαν, ἀγαθὸν ἢ κακόν; ὧδε δὲ σκόπει, σὺ πότερ' ἂν δέξαιό σοι εἶναι, ἀγαθὰ ἢ κακά;

Αλ. Ἀγαθά.

ΣΩ. Οὐκοῦν τὰ μέγιστα μάλιστα, καὶ ἥκιστα τῶν τοιούτων δέξαι' ἂν στέρεσθαι;

Αλ. Πῶς γὰρ οὔ;

ΣΩ. Πῶς οὖν λέγεις περὶ ἀνδρίας; ἐπὶ πόσῳ ἂν αὐτοῦ δέξαιο στέρεσθαι;

Αλ. Οὐδὲ ζῆν ἂν ἐγὼ δεξαίμην δειλὸς ὤν.

ΣΩ. Ἔσχατον ἄρα κακῶν εἶναί σοι δοκεῖ ἡ δειλία.

appellas, ubi quis servare conatur, quos oportebat? eaque fortitudo est? *Al.* Profecto. *So.* Malum vero vocas ob interitus ac vulnera? *Al.* Voco. *So.* An non est aliud fortitudo, aliud mors? *Al.* Aliud. *So.* Non ergo secundum idem pulchrum simul ac malum est, amicis opem ferre? *Al.* Non videtur. *So.* Vide itaque, utrum qua ratione pulchrum, etiam bonum sit, quemadmodum in iis. secundum fortitudinem enim concedis pulchrum esse auxilium ferre. ipsa autem fortitudo bonumne an malum? Sic vero considera: Utra eligeres adesse tibi, bona an mala? *Al.* Bona. *So.* Nonne maxima bona maxime notares: ac minime omnium his privari velles? *Al.* Quidni? *So.* Quid de fortitudine dicis? quanto illam pretio commutares? *Al.* Ne vivere quidem vellem, si timidus essem. *So.* Extremumne malum tibi videtur esse timiditas?

Αλ. Ἔμοιγε.

Σω. Ἐξ ἴσου τῷ τεθνάναι, ὡς ἔοικεν.

Αλ. Φημί.

Σω. Οὐκοῦν θαυμάτῳ τε καὶ δειλίᾳ ἐναντιώτατον ζωὴ καὶ ἀνδρία;

Αλ. Ναί.

Σω. Καὶ τὰ μὲν μάλιστ' ἂν εἶναι βούλοιό σοι, τὰ δὲ ἥκιστα;

Αλ. Ναί.

Σω. Ἆρ' ὅτι τὰ μὲν ἄριστα ἡγεῖ, τὰ δὲ κάκιστα;

Αλ. Ἔγωγε.

Σω. Τὸ ἄρα βοηθεῖν ἐν πολέμῳ τοῖς φίλοις, ἢ μὲν καλόν, κατ' ἀγαθοῦ πρᾶξιν τὴν τῆς ἀνδρίας, καλὸν αὐτὸ προσεῖπας;

Αλ. Φαίνομαί γε.

Σω. Κατὰ δὲ κακοῦ πρᾶξιν τὴν τοῦ θανάτου κακόν;

Αλ. Ναί.

Σω. Οὐκοῦν· ὧδε δίκαιον προσαγορεύειν ἑκάστην τῶν πράξεων· εἴ περ ἢ κακὸν ἀπεργάζεται, κακὴν καλεῖς, καὶ ἢ ἀγαθόν, ἀγαθὴν κλητέον. 116

Αλ. Ἔμοιγε δοκεῖ.

Σω. Ἆρ' οὖν καὶ ἢ ἀγαθόν, καλόν, ἢ δὲ κακόν, αἰσχρόν;

Αλ. Ναί.

Al. Mihi vero. *So.* Aeque ac movi, ut videtur. *Al.* Aeque. *So.* Morti atque timiditati vita et fortitudo contraria sunt? *Al.* Sunt. *So.* Et haec quidem maxime optares adesse tibi: illa minime? *Al.* Certe. *So.* An non ex eo, quod haec optima, illa pessima esse censes? *Al.* Valde. *So.* Igitur auxilium ferre amicis in proelio, pulchrum quidem vocabas secundum boni, id est fortitudinis actionem. *Al.* Videor sane. *So.* Secundum vero actionem mali, id est mortis, malum. *Al.* Mihi quidem videtur. *So.* An non congruum est, sic unamquamque actionem denominare? si enim eam, prout malum fert, malam appellas, contra prout fert bonum, bonam vocare decet? *Al.* Videtur. *So.* Nonne etiam qua bonum, pulchrum: qua malum, turpe? *Al.* Maxime.

ΣΩ. Τὴν ἄρα ἐν τῷ πολέμῳ τοῖς φίλοις βοήθειαν λέγων καλὴν μὲν εἶναι, κακὴν δέ, οὐδὲν διαφερόντως λέγεις ἢ εἰ προσεῖπες αὐτὴν ἀγαθὴν μέν, κακὴν δέ.

ΑΛ. Ἀληθῆ μοι δοκεῖς λέγειν, ὦ Σώκρατες.

ΣΩ. Οὐδὲν ἄρα τῶν καλῶν, καθ' ὅσον καλόν, κακόν, οὐδὲ τῶν αἰσχρῶν, καθ' ὅσον αἰσχρόν, ἀγαθόν.

ΑΛ. Οὐ φαίνεται.

ΣΩ. Ἔτι τοίνυν καὶ ὧδε σκέψαι. ὅς τις καλῶς πράττει, οὐχὶ καὶ εὖ πράττει;

ΑΛ. Ναί.

ΣΩ. Οἱ δ' εὖ πράττοντες οὐκ εὐδαίμονες;

ΑΛ. Πῶς γὰρ οὔ;

ΣΩ. Οὐκοῦν εὐδαίμονες δι' ἀγαθῶν κτῆσιν;

ΑΛ. Μάλιστα.

ΣΩ. Κτῶνται δὲ ταῦτα τῷ εὖ καὶ καλῶς πράττειν;

ΑΛ. Ναί.

ΣΩ. Τὸ εὖ ἄρα πράττειν ἀγαθόν;

ΑΛ. Πῶς δ' οὔ;

ΣΩ. Οὐκοῦν καλὸν ἡ εὐπραγία;

ΑΛ. Ναί.

ΣΩ. Ταὐτὸν ἄρ' ἐφάνη ἡμῖν πάλιν αὖ καλόν τε καὶ ἀγαθόν.

ΑΛ. Φαίνεται.

ΣΩ. Ὅ τι ἂν ἄρα εὑρῶμεν καλόν, καὶ ἀγαθὸν εὑρήσομεν ἔκ γε τούτου τοῦ λόγου.

So. Cum ergo dicis auxilium ipsum in bello pulchrum esse, sed malum: idem est ac si dixisses ipsum bonum quidem, malum tamen. *Al.* Vera mihi dicere videris, o Socrates. *So.* Nihil igitur pulchrum, quatenus pulchrum, malum est: neque turpe quicquam, quatenus turpe, bonum. *Al.* Non videtur. *So.* Praeterea hunc in modum contemplare. Quisquis pulchre agit, nonne bene agit? *Al.* Utique. *So.* Bene autem agentes, nonne felices? *Al.* Quidni? *So.* An non felices propter bonorum possessionem? *Al.* Et maxime. *So.* Acquirunt autem haec ex eo, quod pulchre ac bene agunt? *Al.* Certe. *So.* Igitur bene agere, bonum. *Al.* Quidni? *So.* Nonne pulchrum actio bona? *Al.* Certe. *So.* Idem itaque rursus apparet nobis pulchrum ac bonum. *Al.* Apparet. *So.* Quicquid igitur inveniemus pulchrum esse, idem quoque bonum exsistere hac ratione reperiemus.

ΑΛ. Ἀνάγκη.

ΣΩ. Τί δέ; τὰ ἀγαθὰ συμφέρει ἢ οὔ;

ΑΛ. Συμφέρει.

ΣΩ. Μνημονεύεις οὖν περὶ τῶν δικαίων πῶς ὡμολογήσαμεν;

ΑΛ. Οἶμαί γε τοὺς τὰ δίκαια πράττοντας ἀναγκαῖον εἶναι καλὰ πράττειν.

ΣΩ. Οὐκοῦν καὶ τοὺς τὰ καλὰ ἀγαθά;

ΑΛ. Ναί.

ΣΩ. Τὰ δὲ ἀγαθὰ συμφέρειν.

ΑΛ. Ναί.

ΣΩ. Τὰ δίκαια ἄρα, ὦ Ἀλκιβιάδη, συμφέροντά ἐστιν.

ΑΛ. Ἔοικεν.

ΣΩ. Τί οὖν; ταῦτα οὐ σὺ ὃ λέγων, ἐγὼ δὲ ὃ ἐρωτῶν;

ΑΛ. Φαίνομαι, ὡς ἔοικα.

ΣΩ. Εἰ οὖν τις ἀνίσταται ξυμβουλεύσων εἴτε Ἀθηναίοις εἴτε Πεπαρηθίοις, οἰόμενος γιγνώσκειν τὰ δίκαια καὶ τὰ ἄδικα, φήσει δ' εἰδέναι τὰ δίκαια καὶ ἐνίοτε, ἄλλο τι καταγελάσῃς ἂν αὐτοῦ, ἐπειδή περ τυγχάνεις καὶ σὺ λέγων ὅτι ταὐτά ἐστι δίκαιά τε καὶ ξυμφέροντα;

ΑΛ. Ἀλλὰ μὰ τοὺς θεούς, ὦ Σώκρατες, οὐκ οἶδ' ἔγωγε οὐδ' ὅ τι λέγω, ἀλλ' ἀτεχνῶς ἔοικα ἀτόπως ἔχοντι. τοτὲ μὲν γάρ μοι ἕτερα δοκεῖ σοῦ ἐρωτῶντος, τοτὲ δὲ ἄλλα.

Al. Necesse est. *So.* Bona autem conferunt, necne? *Al.* Conferunt. *So.* Meministi, quid supra de iustis confessi simus? *Al.* Reor, iusta agentes necessarium esse pulchra facere. *So.* Pulchra vero agentes, nonne etiam bona? *Al.* Ita. *So.* Et bona prodesse? *Al.* Penitus. *So.* Iusta igitur, o Alcibiades, utilia sunt. *Al.* Videtur. *So.* Haec nonne ipse dixisti, ego autem interrogavi? *Al.* Apparet. *So.* Si quis igitur surgat, Atheniensibus vel Peparethiis consulturus, putans iusta se et iniusta dignoscere, dicatque scire se iusta interdum esse mala, nonne ipsum irrideres, cum tu asseras eadem iusta et utilia esse? *Al.* Per deos, o Socrates, quid dicam nescio, sed absurdo quodam modo habere mihi videor: nunc enim alia videntur mihi interrogante te, nunc alia.

ΣΩ. Εἶτα τοῦτο, ὦ φίλε, ἀγνοεῖς τὸ πάθημα τί ἔστιν;

ΑΛ. Πάνυ γε.

ΣΩ. Οἴει ἄν οὖν, εἴ τις ἐρωτῴη σε, δύο ὀφθαλμοὺς ἢ τρεῖς ἔχεις, καὶ δύο χεῖρας ἢ τέτταρας, ἢ ἄλλο τι τῶν τοιούτων, τοτὲ μὲν ἕτερ' ἂν ἀποκρίνασθαι, τοτὲ δὲ ἄλλα, ἢ ἀεὶ τὰ αὐτά;

217 ΑΛ. Δέδοικα μὲν ἔγωγε ἤδη περὶ ἐμαυτοῦ, οἶμαι μέντοι τὰ αὐτά.

ΣΩ. Οὐκοῦν ὅτι οἶσθα; τοῦτ' αἴτιον;

ΑΛ. Οἶμαι ἔγωγε.

ΣΩ. Περὶ ὧν ἄρα ἄκων ταὐναντία ἀποκρίνει, δῆλον ὅτι περὶ τούτων οὐκ οἶσθα.

ΑΛ. Εἰκός γε.

ΣΩ. Οὐκοῦν καὶ περὶ τῶν δικαίων καὶ ἀδίκων καὶ καλῶν καὶ αἰσχρῶν καὶ κακῶν καὶ ἀγαθῶν καὶ συμφερόντων καὶ μὴ ἀποκρινόμενος φῂς πλανᾶσθαι; εἶτα οὐ δῆλον ὅτι διὰ τὸ μὴ εἰδέναι περὶ αὐτῶν, διὰ ταῦτα πλανᾷ;

ΑΛ. Ἔμοιγε.

ΣΩ. Ἆρ' οὖν οὕτω καὶ ἔχει; ἐπειδάν τίς τι μὴ εἰδῇ, ἀναγκαῖον περὶ τούτου πλανᾶσθαι τὴν ψυχήν;

ΑΛ. Πῶς γὰρ οὔ;

ΣΩ. Τί οὖν; οἶσθα ὃν τινα τρόπον ἀναβήσει εἰς τὸν οὐρανόν;

So. Ignoras, o amice, quaenam haec affectio sit? *Al.* Ignoro. *So.* Si quis te interrogasset, duosne an tres oculos habeas, manusve duas an quatuor, aut aliud quiddam huiusmodi: putas illi te tum hoc tum illud, an idem semper responsurum fuisse? *Al.* Etsi de me ipso iam vereor, puto tamen eadem responsurum. *So.* An non huius causa est, quia cognoscis? *Al.* Arbitror. *So.* De quibus igitur invitus contraria respondes, constat illa te ignorare. *Al.* Consentaneum est. *So.* Nonne circa iusta et iniusta, pulchra et turpia, bona et mala, utilia et inutilia respondendo te errasse fateris? deinde non manifestum est, ob eam causam erravisse, quod ignoraveris? *Al.* Videtur mihi. *So.* Num ita res se habet? cum quis aliquid ignorat, illius animum circa id errare necesse est? *Al.* Quidni? *So.* Scisne, quo pacto in coelum ascendas?

Αλ. Μὰ Δί' οὐκ ἔγωγε.

ΣΩ. Ἦ καὶ πλανᾶταί σου ἡ δόξα περὶ ταῦτα;

Αλ. Οὐ δῆτα.

ΣΩ. Τὰ δ' αἴτιον οἶσθα ἢ ἐγὼ φράσω;

Αλ. Φράσον.

ΣΩ. Ὅτι, ὦ φίλε, οὐκ οἴει αὐτὸ ἐπίστασθαι οὐκ ἐπιστάμενος.

Αλ. Πῶς αὖ τοῦτο λέγεις;

ΣΩ. Ὅρα καὶ σὺ κοινῇ. ἃ μὴ ἐπίστασαι, γιγνώσκεις δὲ ὅτι οὐκ ἐπίστασαι, πλανᾷ περὶ τὰ τοιαῦτα; ὡς περ περὶ ὄψου σκευασίας, οἶσθα δή που ὅτι οὐκ οἶσθα;

Αλ. Πάνυ γε.

ΣΩ. Πότερον οὖν αὐτὸς περὶ ταῦτα δοξάζεις ὅπως χρὴ σκευάζειν, καὶ πλανᾷ, ἢ τῷ ἐπισταμένῳ ἐπιτρέπεις;

Αλ. Οὕτως.

ΣΩ. Τί δ' εἰ ἐν νηῒ πλέοις, ἆρα δοξάζοις ἂν πότερον χρὴ τὸν οἰακα εἴσω ἄγειν ἢ ἔξω, καὶ ἅτε οὐκ εἰδὼς πλανῷο ἄν, ἢ τῷ κυβερνήτῃ ἐπιτρέψας ἂν ἡσυχίαν ἄγοις;

Αλ. Τῷ κυβερνήτῃ.

ΣΩ. Οὐκ ἄρα περὶ ἃ μὴ οἶσθα πλανᾷ, ἄν περ εἰδῇς ὅτι οὐκ οἶσθα;

Αλ. Οὐκ ἔοικα.

ΣΩ. Ἐννοεῖς οὖν ὅτι καὶ τὰ ἁμαρτήματα ἐν τῇ

Al. Minime per Iovem. *So.* Aberrat circa haec opinio tua? *Al.* Non certe. *So.* Scis autem huius causam, an me dicere mavis? *Al.* Dic. *So.* Quoniam cum nescias, non putas te scire. *Al.* Quomodo rursus id ais? *So.* Inspice tu quoque una mecum: Quae nescis cognoscisque te ea nescire, num in illis laberis? quemadmodum de parandis obsoniis, nosti sane quod nescis? *Al.* Penitus. *So.* Utrum circa haec opinaris, quomodo parare conveniat, atque erras? an potius scienti concedis? *Al.* Hoc pacto. *So.* Quid si navigares? nunquid opinareris et inquireres, quomodo gubernaculum esset ad internane an ad externa flectendum, atque utpote nescius aberrares? vel potius gubernatori concedens, quietem ageres? *Al.* Gubernatori. *So.* Non igitur erras in iis quae nescis, si nescire te noveris. *Al.* Non videtur. *So.* Cernis errores in actionibus esse ob hanc igno-

πράξει διὰ ταύτην τὴν ἄγνοιάν ἐστι, τὴν τοῦ μὴ εἰδότα οἴεσθαι εἰδέναι;

Αλ. Πῶς αὖ λέγεις τοῦτο;

Σω. Ὅτε που ἐπιχειροῦμεν πράττειν, ὅταν οἰώμεθα εἰδέναι ὅ τι πράττομεν;

Αλ. Ναί.

Σω. Ὅταν δέ γέ που τινες μὴ οἴωνται εἰδέναι, ἄλλοις παραδιδόασιν;

Αλ. Πῶς δ' οὔ;

Σω. Οὐκοῦν οἱ τοιοῦτοι τῶν μὴ εἰδότων ἀναμάρτητοι ζῶσι διὰ τὸ ἄλλοις περὶ αὐτῶν ἐπιτρέπειν;

Αλ. Ναί.

Σω. Τίνες οὖν οἱ ἁμαρτάνοντες; οὐ γάρ που οἵ γε εἰδότες.

Αλ. Οὐ δῆτα.

Σω. Ἐπειδὴ δὲ οὔθ' οἱ εἰδότες οὔθ' οἱ τῶν μὴ εἰδότων εἰδότες ὅτι οὐκ ἴσασιν, ἦ ἄλλοι λείπονται ἢ οἱ μὴ εἰδότες, οἰόμενοι δ' εἰδέναι;

Αλ. Οὐκ, ἀλλ' οὗτοι.

Σω. Αὕτη ἄρα ἡ ἄγνοια τῶν πακῶν αἰτία καὶ ἡ ἐπονειδιστος ἀμαθία.

Αλ. Ναί.

Σω. Οὐκοῦν ὅταν ἡ περὶ τὰ μέγιστα, τότε πανουργοτάτη καὶ αἰσχίστη;

Αλ. Πολύ γε.

rantiam, quod qui nescit, scire se putat? *Al.* Quo pacto id ais? *So.* Tunc agere aggredimur, cum nosse putamus, quod agimus. *Al.* Ita est. *So.* Quodsi qui ignorantiae suae conscii sunt, aliis se committunt. *Al.* Quidni? *So.* Quapropter isti ex ignorantibus soli sine culpa vitam agunt, ex eo quod aliorum curae se credunt. *Al.* Profecto. *So.* Quinam peccant? non enim scientes. *Al.* Non certe. *So.* Postquam neque scientes neque ex ignorantibus ii, qui ignorantiae suae conscii sunt, errant: quinam alii restant quam ii, qui cum nesciant, scire se putant? *Al.* Non alii, sed isti. *So.* Haec igitur ignorantia malorum causa est et vituperanda inscitia. *Al.* Nempe. *So.* Et quando circa maxima est, tunc deterrima atque turpissima. *Al.* Maxime.

ΣΩ. Τί οὖν; ἔχεις μεῖζω εἰπεῖν δικαίων τε καὶ καλῶν καὶ ἀγαθῶν καὶ ξυμφερόντων;

ΑΛ. Οὐ δῆτα.

ΣΩ. Οὐκοῦν περὶ ταῦτα σὺ φῂς πλανᾶσθαι;

ΑΛ. Ναί.

ΣΩ. Εἰ δὲ πλανᾷ, ἆρ' οὐ δῆλον ἐκ τῶν ἔμπροσθεν ὅτι οὐ μόνον ἀγνοεῖς τὰ μέγιστα, ἀλλὰ καὶ οὐκ εἰδὼς οἴει αὐτὰ εἰδέναι;

ΑΛ. Κινδυνεύω.

ΣΩ. Βαβαὶ ἄρα, ὦ Ἀλκιβιάδη, οἷον πάθος πέπονθας· ὃ ἐγὼ ὀνομάζειν μὲν οἰκνῶ, ὅμως δέ, ἐπειδὴ μόνῳ σοὶ ἐσμέν, ῥητέον. ἀμαθία γὰρ ξυνοικεῖς, ὦ βέλτιστε, τῇ αἰσχίστῃ, ὡς ὁ λόγος σου κατηγορεῖ καὶ σὺ σαυτοῦ. διὸ καὶ ἄττεις ἆρα πρὸς τὰ πολιτικὰ πρὶν παιδευθῆναι. πέπονθας δὲ τοῦτο οὐ σὺ μόνος, ἀλλὰ καὶ οἱ πολλοὶ τῶν πραττόντων τὰ τῇδε τῆς πόλεως, πλὴν ὀλίγων γε καὶ ἴσως τοῦ σοῦ ἐπιτρόπου Περικλέους.

ΑΛ. Λέγεταί γέ τοι, ὦ Σώκρατες, οὐκ ἀπὸ ταυτομάτου σοφὸς γεγονέναι, ἀλλὰ πολλοῖς καὶ σοφοῖς συγγεγονέναι, καὶ Πυθοκλείδῃ καὶ Ἀναξαγόρᾳ· καὶ νῦν ἔτι τηλικοῦτος ὢν Δάμωνι ξύνεστιν αὐτοῦ τούτου ἕνεκα.

ΣΩ. Τί οὖν; ἤδη τινὰ εἶδες σοφὸν ὁτιοῦν ἀδυνατοῦντα ποιῆσαι ἄλλον σοφὸν ἃ περ αὐτός; ὥς περ

So. Num habes quicquam maius quam iustum, honum, utile? *Al.* Nequaquam. *So.* Nonne circa haec errasse te asseris? *Al.* Assero. *So.* Quod si erras, nonne ex superioribus perspicuum est, quod non modo in maximis rebus inscius es, verum etiam, cum sis ignarus, scire te putas? *Al.* Videor. *So.* Papae, o Alcibiades, quo pressus es morbo! hunc equidem nominare horresco. veruntamen, cum soli simus, dicendum est. In turpissima namque inscitia, o optime, versaris, ut ipse oratione tua de te arguis: quamobrem prius te ad civilia confers, quam sis gubernandi peritus. neque te solum morbus hic tenuit, verum etiam omnes, qui hanc rem publicam administrarunt, praeter admodum paucos ac fortasse praeter tutorem tuum Periclem. *Al.* Fertur, o Socrates, non casu quodam sapiens evasisse Pericles, quin multis ac sapientibus viris familiariter usus fuisse, Pythoclide in primis et Anaxagora: et nunc etiam tam grandis natu sapientiae gratia Damone utitur. *So.* Num quem vidisti sapientem, qui in ea re, in qua ipse sapit, alium sapientem efficere

ὅς σε ἐδίδαξε γράμματα, αὐτός τε ἦν σοφὸς καὶ σὲ ἐποίησε τῶν τε ἄλλων ὅν τιν' ἐβούλετο. ἦ γάρ;

Αλ. Ναί.

ΣΩ. Οὐκοῦν καὶ οὗ ὁ παρ' ἐκείνου μαθὼν ἄλλον οἷός τε ἔσει;

Αλ. Ναί.

ΣΩ. Καὶ ὁ κιθαριστὴς δὲ καὶ ὁ παιδοτρίβης ὡσαύτως;

Αλ. Πάνυ γε.

ΣΩ. Καλὸν γὰρ δή που τεκμήριον τοῦτο τῶν ἐπισταμένων ὁτιοῦν, ὅτι ἐπίστανται, ἐπειδὰν καὶ ἄλλον οἷοί τ' ὦσιν ἀποδεῖξαι ἐπιστάμενον.

Αλ. Ἔμοιγε δοκεῖ.

ΣΩ. Τί οὖν; ἔχεις εἰπεῖν Περικλῆς τίνα ἐποίησε σοφόν, ἀπὸ τῶν υἱέων ἀρξάμενος;

Αλ. Τί δ', εἰ τὼ Περικλέους υἱὲ ἠλιθίω ἐγενέσθην, ὦ Σώκρατες;

ΣΩ. Ἀλλὰ Κλεινίαν τὸν σὸν ἀδελφόν.

Αλ. Τί δ' ἂν αὖ Κλεινίαν λέγοις, μαινόμενον ἄνθρωπον;

ΣΩ. Ἐπειδὴ τοίνυν Κλεινίας μὲν μαίνεται, τὼ δὲ Περικλέους υἱέε ἠλιθίω ἐγενέσθην, σοὶ τίν' αἰτίαν ἀναθῶμεν διότι σε οὕτως ἔχοντα περιορᾷ;

Αλ. Ἐγώ, οἶμαι, αἴτιος οὐ προσέχων τὸν νοῦν.

non posset? veluti qui te in literis erudivit, ipse quidem erat sapiens, teque pariter reddidit sapientem: et eodem pacto quemvis alium poterat. *Al.* Profecto. *So.* Et tu quoque, eruditus ab illo, alium instruere poteris? *Al.* Potero. *So.* Similiter citharoedus et magister gymnasii. *Al.* Penitus. *So.* Optima igitur haec coniectura est, quosdam aliquid nosse, cum alium quoque doctum ab ipsis ostendere possunt. *Al.* Mihi quidem videtur. *So.* Habes quem dicere possis a Pericle sapientem factum, a filiis incipiens? *Al.* Quid si Periclis filii stolidi nati sunt? *So.* At vero fratrem tuum Cliniam? *Al.* Quid Cliniam in medium adducis, hominem insanum? *So.* Postquam Clinias quidem furit, filii vero Periclis stolidi nati sunt, tibi quam causam adscribemus, propter quam te, cum talis sis, negligat? *Al.* Ego ipse, ut arbitror, in culpa sum, cum illi mentem non adhibuerim.

ΣΩ. Ἀλλὰ τῶν ἄλλων Ἀθηναίων ἢ τῶν ξένων δοῦλον ἢ ἐλεύθερον εἰπέ, ὅς τις αἰτίαν ἔχει διὰ τὴν Περικλέους συνουσίαν σοφώτερος γεγονέναι, ὥς περ ἐγὼ ἔχω σοι εἰπεῖν διὰ τὴν Ζήνωνος Πυθόδωρον τὸν Ἰσολόχου καὶ Καλλίαν τὸν Καλλιάδου, ὧν ἑκάτερος Ζήνωνι ἑκατὸν μνᾶς τελέσας σοφός τε καὶ ἐλλόγιμος γέγονεν.

ΑΛ. Ἀλλὰ μὰ Δί' οὐκ ἔχω.

ΣΩ. Εἶεν. τί οὖν διανοεῖ περὶ σαυτοῦ; πότερον ἐᾷν ὡς νῦν ἔχεις, ἢ ἐπιμέλειάν τινα ποιεῖσθαι;

ΑΛ. Κοινῇ βουλῇ, ὦ Σώκρατες. Καί τοι ἐννοῶ σου εἰπόντος καὶ ξυγχωρῶ. δοκοῦσι γάρ μοι οἱ τὰ τῆς πόλεως πράττοντες ἐκτὸς ὀλίγων ἀπαίδευτοι εἶναι.

ΣΩ. Εἶτα τί δὴ τοῦτο;

ΑΛ. Εἰ μέν που ἦσαν πεπαιδευμένοι, ἔδει ἂν τὸν ἐπιχειροῦντα αὐτοῖς ἀνταγωνίζεσθαι μαθόντα καὶ ἀσκήσαντα ἰέναι ὡς ἐπ' ἀθλητάς· νῦν δ' ἐπειδὴ καὶ οὗτοι ἰδιωτικῶς ἔχοντες ἐληλύθασιν ἐπὶ τὰ τῆς πόλεως, τί δεῖ ἀσκεῖν καὶ μανθάνοντα πράγματ' ἔχειν; ἐγὼ γὰρ εὖ οἶδα ὅτι τούτων τῇ γε φύσει πάνυ πολὺ περιέσομαι.

ΣΩ. Βαβαί, οἷον, ὦ ἄριστε, τοῦτ' εἴρηκας· ὡς ἀνάξιον τῆς ἰδέας καὶ τῶν ἄλλων τῶν σοι ὑπαρχόντων.

So. Verum ex aliis Atheniensibus vel hospitibus, dic quem vel servum vel liberum sapientiorem sua consuetudine fecerit: sicuti ego tibi ostendere possum propter Xenonis familiaritatem Pythodorum Isolochi et Calliam Calliadae filios factos esse dignos sapientesque viros, quorum uterque centum minas Xenoni tradidit. *Al.* Per Iovem non habeo, quem dicam. *So.* Esto. quid ergo de te ipso cogitas? utrum qualis nunc es, et in posterum fore, an curari quodam modo? *Al.* Communi consilio opus est, o Socrates. etenim tua dicta intelligo, eisque assentior. nam qui rem publicam administrant, praeter admodum paucos, ineruditi mihi quoque videntur. *So.* Quid tum? *Al.* Si periti essent, oportebat aggredientem cum illis pariter concertare, postquam didicisset ac se ipsum exercuisset, tunc demum tanquam ad athletas proficisci: nunc autem postquam et isti imperiti ad rem publicam accesserunt, quid exercitatione opus est mihi? quid studio disciplinae? novi enim, quod naturae dotibus longe hos superabo. *So.* Papae, quidnam, o optime, dixisti? quam indignum indole tua ac reliquis, quae tibi adsunt!

ΑΛ. Τί μάλιστα καὶ πρὸς τί τοῦτο λέγεις, ὦ Σώκρατες;

ΣΩ. Ἀγανακτῶ ὑπέρ τε τοῦ σοῦ καὶ τοῦ ἐμαυτοῦ ἔρωτος.

ΑΛ. Τί δή;

ΣΩ. Εἰ ἠξίωσας τὸν ἀγῶνά σοι εἶναι πρὸς τοὺς ἐνθάδε ἀνθρώπους.

ΑΛ. Ἀλλὰ πρὸς τίνας μήν;

ΣΩ. Ἄξιον τοῦτό γε καὶ ἐρέσθαι ἄνδρα οἰόμενον μεγαλόφρονα εἶναι.

ΑΛ. Πῶς λέγεις; οὐ πρὸς τούτους μοι ὁ ἀγών;

ΣΩ. Ἀλλὰ κἂν εἰ τριήρη διενοοῦ κυβερνᾶν μέλλουσαν ναυμαχεῖν, ἤρκει ἄν σοι τῶν συνναυτῶν βελτίστῳ εἶναι τὰ κυβερνητικά, ἢ ταῦτα μὲν ᾧου ἂν δεῖν ὑπάρχειν, ἀπέβλεπες δ' εἰς τοὺς ὡς ἀληθῶς ἀνταγωνιστάς, ἀλλ' οὐχ ὡς νῦν εἰς τοὺς συναγωνιστάς; ὧν δή που περιγενέσθαι σε δεῖ τοσοῦτον, ὥστε μὴ ἀξιοῦν ἀνταγωνίζεσθαι ἀλλὰ καταφρονηθέντας συναγωνίζεσθαί σοι πρὸς τοὺς πολεμίους, εἰ δὴ τῷ ὄντι γε καλόν τι ἔργον ἀποδείξασθαι διανοεῖ καὶ ἄξιον σαυτοῦ τε καὶ τῆς πόλεως.

ΑΛ. Ἀλλὰ μὲν δὴ διανοοῦμαί γε.

ΣΩ. Πάνυ σοι ἄρα ἄξιον ἀγαπᾶν εἰ τῶν στρατιωτῶν βελτίων εἶ, ἀλλ' οὐ πρὸς τοὺς τῶν ἀντιπάλων

Al. Quorsum haec, o Socrates? *So.* Graviter enim fero ob mutuam inter nos benevolentiam. *Al.* Quidnam? *So.* Quod dignum putaveris adversus homines, qui hic sunt, fore tibi certamen. *Al.* Adversus quos igitur? *So.* Decetne, ut id quaerat vir, qui tanti se facit? *Al.* Quid ais? nonne adversus istos mihi certamen? *So.* Si pugnaturam triremem gubernare statueres, satisne tibi esset, tuis connautis in gubernatione praestare? aut hoc existimares quidem adesse oportere, respiceres autem ad strenuos adversarios, non, ut nunc facis, ad propugnatores tuos: quibus te tantum oportet excellere, ut non contra illos pugnandum existimes, sed eos potius parvi pendens, ceu ministris adversus externos hostes utaris: si quidem revera egregium aliquod facinus edere velis, te ac re publica tua dignum? *Al.* At id quidem cogito. *So.* Quam dignum est, ut sat tibi factum putes, si sis tuorum militum praestantissimus, non autem

ἡγεμόνας ἀποβλέπειν, ὁπότε ἐκείνων βελτίων γέγονας, σκοποῦντα καὶ ἀσκοῦντα πρὸς ἐκείνους.

Αλ. Λέγεις δὲ τίνας τούτους, ὦ Σώκρατες;

Σω. Οὐκ οἶσθα ἡμῶν τὴν πόλιν Λακεδαιμονίοις τε καὶ τῷ μεγάλῳ βασιλεῖ πολεμοῦσαν ἑκάστοτε;

Αλ. Ἀληθῆ λέγεις.

Σω. Οὐκοῦν εἴ περ ἐν νῷ ἔχεις ἡγεμὼν εἶναι τῆσδε τῆς πόλεως, πρὸς τοὺς Λακεδαιμονίων βασιλεῖς καὶ τοὺς Περσῶν τὸν ἀγῶνα ἡγούμενός σοι εἶναι ὀρθῶς ἂν ἡγοῖο;

Αλ. Κινδυνεύεις ἀληθῆ λέγειν.

Σω. Οὔκ, ὦ ᾽γαθέ, ἀλλὰ πρὸς Μειδίαν σε δεῖ τὸν ὀρτυγοτρόφον ἀποβλέπειν καὶ ἄλλους τοιούτους, οἳ τὰ τῆς πόλεως πράττειν ἐπιχειροῦσιν ἔτι τὴν ἀνδραποδώδη, φαῖεν ἂν αἱ γυναῖκες, τρίχα ἔχοντες ἐν τῇ ψυχῇ ὑπ᾽ ἀμουσίας καὶ οὔπω ἀποβεβληκότες, ἔτι δὲ βαρβαρίζοντες ἐληλύθασι κολακεύσοντες τὴν πόλιν ἀλλ᾽ οὐχ ἄρξοντες. πρὸς τούτους σε δεῖ οὓς περ λέγω βλέποντα σαυτοῦ [δὲ] ἀμελεῖν, καὶ μήτε μανθάνειν ὅσα μαθήσεως ἔχεται, μέλλοντα τοσοῦτον ἀγῶνα ἀγωνίζεσθαι, μήτε ἀσκεῖν ὅσα δεῖται ἀσκήσεως, καὶ πᾶσαν παρασκευὴν παρεσκευασμένον οὕτως ἰέναι ἐπὶ τὰ τῆς πόλεως.

respicias ad hostium duces, qua ratione illis excellas, coniectans ad eos semper, et contra illos te muniens? *Al.* Quos dicis, o Socrates? *So.* Nostin urbem nostram cum Lacedaemoniis ac magno Persarum rege undique bellum gerere? *Al.* Vera dicis. *So.* Nonne, cum habeas in animo, huius civitatis dux fieri, recte senties, si putaveris adversus Lacedaemoniorum Persarumque reges certamen te subiturum? *Al.* Vera dicere videris. *So.* Non, o bone vir: sed ad Midiam coturnicum nutritorem te decet inspicere et alios huiusmodi, qui civilia tractare similiter aggrediuntur, adhuc serviles, ut mulieres dicerent, habentes in animo pilos ob rusticam imperitiam, necdum illos abiicientes, verum adhuc barbariem redolentes: atque ita affecti prodeunt, adulaturi civitati, non autem imperaturi. ad istos, inquam, intueri te decet, ac te ipsum negligere, neque discere, quaecunque ad eruditionem pertinent, cum sis tantum certamen aditurus: neque te in quibus oportet exercere, et quae sunt praeparanda, parare, atque ita institutum civilem administrationem capessere?

Αλ. Ἀλλ', ὦ Σώκρατες, δοκεῖς μέν μοι ἀληθῆ λέγειν, οἶμαι μέντοι τούς τε Λακεδαιμονίων στρατηγοὺς καὶ τὸν Περσῶν βασιλέα οὐδὲν διαφέρειν τῶν ἄλλων.

Σω. Ἀλλ', ὦ ἄριστε, τὴν οἴησιν ταύτην σκόπει οἵαν ἔχεις.

Αλ. Τοῦ πέρι;

Σω. Πρῶτον μὲν πότερος ἂν οἴει σαυτοῦ μᾶλλον ἐπιμεληθῆναι, φοβούμενός τε καὶ οἰόμενος δεινοὺς αὐτοὺς εἶναι ἢ μή;

Αλ. Δῆλον ὅτι εἰ δεινοὺς οἰοίμην.

Σω. Μῶν οὖν οἴει τι βλαβήσεσθαι ἐπιμεληθεὶς σαυτοῦ;

Αλ. Οὐδαμῶς, ἀλλὰ καὶ μεγάλα ὀνήσεσθαι.

Σω. Οὐκοῦν ἓν μὲν τοῦτο τοσοῦτο κακὸν ἔχει ἡ οἴησις αὕτη.

Αλ. Ἀληθῆ λέγεις.

Σω. Τὸ δεύτερον τοίνυν, ὅτι καὶ ψευδής ἐστιν, ἐκ τῶν εἰκότων σκέψαι.

Αλ. Πῶς δή;

Σω. Πότερον εἰκὸς ἀμείνους γίγνεσθαι φύσεις ἐν γενναίοις γένεσιν ἢ μή;

Αλ. Δῆλον ὅτι ἐν τοῖς γενναίοις.

Σω. Οὐκοῦν τοὺς εὖ φύντας, ἐὰν καὶ εὖ τραφῶσιν, οὕτω τελέους γίγνεσθαι πρὸς ἀρετήν;

Al. O Socrates, vera mihi dicere videris. arbitror tamen Lacedaemoniorum duces regemque Persarum nihilo ab aliis discrepare. *So.* At, o vir optime, animadverte, quaeso, qualis haec sit opinio tua. *Al.* Qua in re? *So.* Num existimas te ipsum diligentius curaturum, si illos tanquam formidaveris potentesque censueris, an si minime eos timueris? *Al.* Si potentes illos existimavero. *So.* An censes, tui ipsius curam in aliquo tibi posse nocere? *Al.* Nullo modo: at contra, maxime iuvare. *So.* Unum quidem hoc inprimis tantum malum ista tua opinio continet. *Al.* Vera dicis. *So.* Secundum vero, quod falsa est: atque id ex veri similibus adverte. *Al.* Quomodo? *So.* Utrum consentaneum est, meliores esse naturas in nobili genere, quam ignobili? *Al.* Manifestum, quod in generoso. *So.* Nonne bene nati, si bene etiam nutriantur, ita demum ad virtutem perveniunt?

Αλ. Ἀνάγκη.

ΣΩ. Σκεψώμεθα δή, τοῖς ἐκείνων τὰ ἡμέτερα ἀντιτιθέντες, πρῶτον μὲν εἰ δοκοῦσι φαυλοτέρων γενῶν εἶναι οἱ Λακεδαιμονίων καὶ Περσῶν βασιλεῖς. ἢ οὐκ ἴσμεν ὡς οἱ μὲν Ἡρακλέους, οἱ δὲ Ἀχαιμένους ἔκγονοι, τὸ δὲ Ἡρακλέους τε γένος καὶ τὸ Ἀχαιμένους εἰς Περσέα τὸν Διὸς ἀναφέρεται; 121

Αλ. Καὶ γὰρ τὸ ἡμέτερον, ὦ Σώκρατες, εἰς Εὐρυσάκη, τὸ δ' Εὐρυσάκους εἰς Δία.

ΣΩ. Καὶ γὰρ τὸ ἡμέτερον, ὦ γενναῖε Ἀλκιβιάδη, εἰς Δαίδαλον, ὁ δὲ Δαίδαλος εἰς Ἥφαιστον τὸν Διός. ἀλλὰ τὰ μὲν τούτων ἀπ' αὐτῶν ἀρξάμενα βασιλεῖς εἰσὶν ἐκ βασιλέων μέχρι Διός, οἱ μὲν Ἄργους τε καὶ Λακεδαίμονος, οἱ δὲ τῆς Περσίδος τὸ ἀεί, πολλάκις δὲ καὶ τῆς Ἀσίας, ὡς περ καὶ νῦν· ἡμεῖς δὲ αὐτοί τε ἰδιῶται καὶ οἱ πατέρες. εἰ δὲ καὶ τοὺς προγόνους σε δέοι καὶ τὴν πατρίδα Εὐρυσάκους ἐπιδεῖξαι Σαλαμῖνα, ἢ τὴν Αἰακοῦ τοῦ ἔτι προτέρου Αἴγιναν, Ἀρτοξέρξῃ τῷ Ξέρξου, πόσον ἂν οἴει γέλωτα ὀφλεῖν; ἀλλ' ὅρα μὴ τῷ τε γένους ὄγκῳ ἐλαττώμεθα τῶν ἀνδρῶν καὶ τῇ ἄλλῃ τροφῇ. ἢ οὐκ ἠσθησαι τοῖς τε Λακεδαιμονίων βασιλεῦσιν ὡς μεγάλα τὰ ὑπάρχοντα, ὧν αἱ γυναῖκες δημοσίᾳ φυ-

Al. Necesse est. *So.* Consideremus itaque, illis nostra comparantes: primum quidem, utrum Lacedaemoniorum Persarumque reges ignobiliori, quam nos, genere orti videantur. An ignoramus illos quidem ab Hercule, hos autem ab Achaemene genus ducere? Herculis autem et Achaemenis origo in Persem Iovis filium reducitur. *Al.* Et nostrum quidem, o Socrates, in Eurysacem: Eurysacis in Iovem. *So.* Atqui nostrum, o generose Alcibiades, in Daedalum etiam: Daedalus autem in Vulcanum Iovis filium. Verum istorum maiores, ab iis incipientes, reges sunt ex regibus usque ad Iovem: illi quidem Argorum et Lacedaemonis, isti vero Persidis semper; saepe etiam, ut et nunc, Asiae. Nos autem superioresque nostri privati. Quod si te oporteret progenitores ac patriam Eurysacis ostendere Salaminam, vel Aeaci etiam prioris Aeginam Artaxerxi Xerxis filio, quos te risus reportaturum putas? sed vide, ne generis dignitate, ac etiam educatione illis inferiores simus. Nunquid audisti, quanta sit Lacedaemoniorum regum dignitas? quorum uxo-

λάττονται ὑπὸ τῶν ἐφόρων, ὅπως εἰς δύναμιν μὴ λάθῃ ἐξ ἄλλου γενόμενος ὁ βασιλεὺς ἢ ἐξ Ἡρακλειδῶν· ὁ δὲ Περσῶν τοσοῦτον ὑπερβάλλει, ὥστε οὐδεὶς ὑποψίαν ἔχει ὡς ἐξ ἄλλου ἂν βασιλεὺς γένοιτο ἢ ἐξ αὐτοῦ· διὸ οὐ φρουρεῖται ἡ βασιλέως γυνὴ ἀλλ' ἢ ὑπὸ φόβου. ἐπειδὰν δὲ γένηται ὁ παῖς ὁ πρεσβύτατος, οὗ περ ἡ ἀρχή, πρῶτον μὲν ἑορτάζουσι πάντες οἱ ἐν τῇ βασιλέως, ὧν ἂν ἄρχῃ, εἶτα εἰς τὸν ἄλλον χρόνον ταύτῃ τῇ ἡμέρᾳ βασιλέως γενέσια ἅπασα θύει καὶ ἑορτάζει ἡ Ἀσία· ἡμῶν δὲ γενομένων, τὸ τοῦ κωμῳδοποιοῦ, οὐδ' οἱ γείτονες σφόδρα τι αἰσθάνονται, ὦ Ἀλκιβιάδη. μετὰ τοῦτο τρέφεται ὁ παῖς οὐχ ὑπὸ γυναικὸς τροφοῦ ὀλίγου ἀξίας, ἀλλ' ὑπ' εὐνούχων οἳ ἂν δοκῶσι τῶν περὶ βασιλέα ἄριστοι εἶναι· οἷς τά τε ἄλλα προστέτακται ἐπιμελεῖσθαι τοῦ γενομένου, καὶ ὅπως ὅτι κάλλιστος ἔσται μηχανᾶσθαι, ἀναπλάττοντας τὰ μέλη τοῦ παιδὸς καὶ κατορθοῦντας· καὶ ταῦτα δρῶντες ἐν μεγάλῃ τιμῇ εἰσίν. ἐπειδὰν δὲ ἑπτέτεις γένωνται οἱ παῖδες, ἐπὶ τοὺς ἵππους καὶ ἐπὶ τοὺς τούτων διδασκάλους φοιτῶσι, καὶ ἐπὶ τὰς θήρας ἄρχονται ἰέναι. δὶς ἑπτὰ δὲ γενομένων ἐτῶν τὸν παῖδα παραλαμβάνουσιν οὓς ἐκεῖνοι βασι-

res publice observantur ab Ephoris i. e. praefectis, ut, quoad fieri potest, rex non ex alio latenter, quam Heraclidarum genere oriatur. Persarum vero rex adeo excellit, ut nemo suspicetur regem ex alio quam ex ipso genitum esse. quamobrem regis uxor non ab alio quam metu custoditur. Postquam vero natus est primogenitus, qui succedit in regno, primo quidem eum diem omnes, qui sub regno sunt, celebrant: atque ita in posterum quotannis natalem regis diem sacris ac festis omnis Asia colit. cum vero apud nos quis nascitur, ne vicini quidem, ut ait Comoedus, sentiunt, o Alcibiades. Deinceps nutritur puer, non a quavis nutrice, verum ab eunuchis, qui reliquorum circa regem optimi videantur: quibus et alia, quae spectant ad curam pueri, demandantur, ac praecipue ut natum quam pulcherrimum reddant, componentes membra eius atque dirigentes. atque haec facientes magno in honore habentur. Cum autem pueri septimum aetatis annum impleverunt, ad equestris artis magistros proficiscuntur, deinde in venationem tendunt. Anno vero quartodecimo puerum suscipiunt hi, quos regios

λείους παιδαγωγοὺς ὀνομάζουσιν· εἰσὶ δὲ ἐξειλεγμένοι Περσῶν οἱ ἄριστοι δόξαντες ἐν ἡλικίᾳ τέτταρες, ὅ τε σοφώτατος καὶ ὁ δικαιότατος καὶ ὁ σωφρονέστατος καὶ ὁ ἀνδρειότατος. ὧν ὁ μὲν μαγείαν τε διδάσκει τὴν Ζω- 122
ροάστρου τοῦ Ὡρομάζου — ἔστι δὲ τοῦτο θεῶν θεραπεία —, διδάσκει δὲ καὶ τὰ βασιλικά· ὁ δὲ δικαιότατος ἀληθεύειν διὰ παντὸς τοῦ βίου· ὁ δὲ σωφρονέστατος μηδ' ὑπὸ μιᾶς ἄρχεσθαι τῶν ἡδονῶν, ἵνα ἐλεύθερος εἶναι ἐθίζηται καὶ ὄντως βασιλεύς, ἄρχων πρῶτον τῶν ἐν αὐτῷ, ἀλλὰ μὴ δουλεύων· ὁ δὲ ἀνδρειότατος ἄφοβον καὶ ἀδεᾶ παρασκευάζει, ὡς ὅταν δείσῃ δοῦλον ὄντα. σοὶ δ', ὦ Ἀλκιβιάδη, Περικλῆς ἐπέστησε παιδαγωγὸν τῶν οἰκετῶν τὸν ἀχρειότατον ὑπὸ γήρως, Ζώπυρον τὸν Θρᾷκα. διῆλθον δὲ καὶ τὴν ἄλλην ἂν σοι τῶν ἀνταγωνιστῶν τροφήν τε καὶ παιδείαν, εἰ μὴ πολὺ ἔργον ἦν· καὶ ἅμα ταῦτα ἱκανὰ δηλῶσαι καὶ τἄλλα ὅσα τούτοις ἀκόλουθα. τῆς δὲ σῆς γενέσεως, ὦ Ἀλκιβιάδη, καὶ τροφῆς καὶ παιδείας, ἢ ἄλλου ὁτουοῦν Ἀθηναίων, ὡς ἔπος εἰπεῖν οὐδενὶ μέλει, εἰ μή εἴ τις ἐραστής σου τυγχάνει ὤν. εἰ δ' αὖ ἐθέλεις εἰς πλούτους ἀποβλέψαι καὶ τρυφὰς καὶ ἐσθῆτας ἱματίων θ' ἕλξεις καὶ μύρων

paedagogos appellant. sunt ii profecto electi ex omnibus Persis aetate sua praecipui quatuor, sapientissimus, iustissimus, temperatissimus atque fortissimus. quorum primus magicam Zoroastris Oromasii filii docet. est autem illa deorum cultus. atque idem tradit instituta regia. Secundus admonet, ut in omni vita sit verax. Tertius, ne ulla cupidine superetur, ut liber vivere consuescat, ac revera rex, imperans primum iis, quae in se sunt, nec ulli serviens. Quartus denique impavidum illum et intrepidum reddit, ne quando quippiam metuens servus fiat. Tibi autem, o Alcibiades, Pericles instituit paedagogum Zopyrum Thracem, omnium servorum suorum ob senium inutilissimum. Narrarem praeterea tibi reliquam educationem et disciplinam adversariorum tuorum, nisi prolixitatem vererer, quin etiam satis haec sunt ad cetera, quae ex iis sequuntur, ostendenda. Tuae vero aliorumve Atheniensium generationis, educationis et disciplinae nulli, ut ita dicam, propinquorum cura est, nisi forte amici id curent. Si autem divitias deliciasque et vestium luxuriosum ornatum, unguentorumque odores ac mi-

ἀλοιφὰς καὶ θεραπόντων πλήθους ἀκολουθίας τήν τε ἄλλην ἁβρότητα τὴν Περσῶν, αἰσχυνθείης ἂν ἐπὶ σεαυτῷ, αἰσθόμενος ὅσον αὐτῶν ἐλλείπεις. εἰ δ' αὖ ἐθελήσεις εἰς σωφροσύνην τε καὶ κοσμιότητα ἀποβλέψαι καὶ εὐχέρειαν καὶ εὐκολίαν καὶ μεγαλοφροσύνην καὶ εὐταξίαν καὶ ἀνδρίαν καὶ καρτερίαν καὶ φιλοπονίαν καὶ φιλονεικίαν καὶ φιλοτιμίας τὰς Λακεδαιμονίων, παῖδα ἂν ἡγήσαιο σαυτὸν πᾶσι τοῖς τοιούτοις. εἰ δ' αὖ τι καὶ πλούτῳ προσέχεις καὶ κατὰ τοῦτο οἴει τι εἶναι, μηδὲ τοῦτο ἀν ἡμῖν ἄρρητον ἔστω, ἐάν πως αἴσθῃ οὗ εἶ. τοῦτο μὲν γὰρ εἰ ἐθέλεις τοὺς Λακεδαιμονίων πλούτους ἰδεῖν, γνώσει ὅτι πολὺ ταὐθάδε τῶν ἐκεῖ ἐλλείπει. γῆν μὲν γὰρ ὅσην ἔχουσι τῆς δ' ἑαυτῶν καὶ Μεσσήνης, οὐδ' ἂν εἰς ἀμφισβητήσειε τῶν τῇδε πλήθει οὐδὲ ἀρετῇ, οὐδ' αὖ ἀνδραποδῴῳ κτήσει, τῶν τε ἄλλων καὶ τῶν Εἱλωτικῶν, οὐδὲ μὴν ἵππῳ γε, οὐδ' ὅσα ἄλλα βοσκήματα κατὰ Μεσσήνην νέμεται. ἀλλὰ ταῦτα μὲν πάντα ἐῶ χαίρειν, χρυσίον δὲ καὶ ἀργύριον οὐκ ἔστιν ἐν πᾶσιν Ἕλλησιν ὅσον ἐν Λακεδαίμονι ἰδίᾳ· πολλὰς γὰρ ἤδη γενεὰς εἰσέρχεται μὲν αὐτόσ' ἐξ ἁπάντων τῶν Ἑλλήνων, πολλάκις δὲ καὶ ἐκ τῶν βαρβάρων, ἐξέρχε-

nistrorum sequentium turbam, aliamque Persarum mollitiem, considerare volueris, ipse tecum tui gratia erubesces, sentiens quanto sis illis inferior. Rursus si respicere velis ad Lacedaemoniorum temperantiam, modestiam, facilitatem, mansuetudinem, magnanimitatem, moderationem, compositionem, fortitudinem constantiam, tolerantiam, victoriae cupiditatem et amorem gloriae: puerum te in iis omnibus iudicabis. Si quid rursus opulentiae tribuis, et in hac putas aliquid esse, neque haec a nobis silentio praetereatur. Modo enim sentias, ubinam sis, et Lacedaemoniorum divitias intuearis, cognosces profecto nos ab illis longe admodum superari. quicquid enim agrorum aut sui aut Messaniae possident, nemo utique dubitaret, quin amplitudine et ubertate ac servorum tam aliorum quam Iletiçorum frequentia, et equorum praeterea aliorumque pecorum, quae fert, Messania, copia nostros exsuperet. Ceterum haec omnia in praesentia omitto. Auri vero et argenti apud Lacedaemonas copia tanta, quantam ne universa quidem reliqua Graecia possidet. multa enim iam secula infertur quidem illuc ex universa Graecia, saepe etiam ex Barbaria: effertur autem

καὶ δὲ οὐδαμόσε, ἀλλ' ἀτεχνῶς κατὰ τὸν Αἰσώπου μῦ- 123
θον ὃν ἡ ἀλώπηξ πρὸς τὸν λέοντα εἶπε, καὶ τοῦ εἰς Λακεδαίμονα νομίσματος εἰσιόντος μὲν τὰ ἴχνη τὰ ἐκεῖσε τετραμμένα θῆλα, ἐξιόντος δὲ οὐδαμῇ ἄν τις ἴδοι, ὥστε εὖ χρὴ εἰδέναι ὅτι καὶ χρυσῷ καὶ ἀργύρῳ οἱ ἐκεῖ πλουσιώτατοί εἰσι τῶν Ἑλλήνων, καὶ αὐτῶν ἐκείνων ὁ βασιλεύς· ἔκ τε γὰρ τῶν τοιούτων μέγισται λήψεις καὶ πλεῖσταί εἰσι τοῖς βασιλεῦσιν, ἔτι δὲ καὶ ὁ βασιλικὸς φόρος οὐκ ὀλίγος γίγνεται, ὃν τελοῦσιν οἱ Λακεδαι-
10 μόνιοι τοῖς βασιλεῦσι. καὶ τὰ μὲν Λακεδαιμονίων ὡς πρὸς Ἑλληνικοὺς μὲν πλούτους μεγάλα, ὡς δὲ πρὸς τοὺς Περσικοὺς καὶ τοῦ ἐκείνων βασιλέως οὐδέν, ἐπεί ποτ' ἐγὼ ἤκουσα ἀνδρὸς ἀξιοπίστου τῶν ἀναβεβηκότων παρὰ βασιλέα, ὃς ἔφη παρελθεῖν χώραν πάνυ πολλὴν καὶ ἀγαθήν, ἐγγὺς ἡμερησίαν ὁδόν, ἣν καλεῖν τοὺς ἐπιχωρίους ζώνην τῆς βασιλέως γυναικός· εἶναι δὲ καὶ ἄλλην ἣν αὖ καλεῖσθαι καλύπτραν, καὶ ἄλλους πολλοὺς τόπους καλοὺς καὶ ἀγαθοὺς εἰς τὸν κόσμον ἐξηρημένους τὸν τῆς γυναικός, καὶ ὀνόματ' ἔχειν ἑκάστους
20 τῶν τόπων ἀπὸ ἑκάστου τῶν κόσμων. ὥστε οἶμαι ἐγώ, εἴ τις εἴποι τῇ βασιλέως μητρί, Ξέρξου δὲ γυναικὶ Ἀμήστριδι, ὅτι Ἐν νῷ ἔχει σου τῷ υἱεῖ ἀντιτάττεσθαι

nusquam. sed re vera, quemadmodum apud Aesopum vulpes leoni dixit de ferarum vestigiis, sic et nummorum vestigia ingredientium Lacedaemonem trita quidem videntur in pulvere: egredientium vero nusquam apparent. unde coniectare licet Lacedaemonios auri atque argenti Graecorum omnium esse ditissimos. quin etiam rex illorum pecuniosissimus est. ex iis enim maxima pars ad ipsum pervenit. tributum praeterea regi pergrande impenditur. Et res quidem Lacedaemoniorum quoad reliquos Graecos amplae: quoad vero Persas regesque Persarum angustae. Retulit quippe nobis vir quidam gravis, unus ex iis, qui ad Persarum regem profecti erant, se quandoque integrum paene diem, latam ac fertilem peragrasse provinciam, quam incolae uxoris regiae Zonam appellant. esse quoque aliam, nomine Calyptram i. e. ornatum capitis muliebrem: atque ita multas alias regiones pulchras ac fertiles ad ornatum reginae referri nominaque singulis locis a singulis ornamentis imposita. Quamobrem, opinor, si quis diceret Amistridi Xerxis quidem uxori, regis autem matri, Dinomaches filium in animo habere

ὁ Δεινομάχης υἱός, ᾗ ἔστι κόσμος ἴσως ἄξιος μνῶν πεντήκοντα, εἰ πάνυ πολλοῦ, τῷ δὲ υἱεῖ αὐτῆς γῆς πλέθρα Ἐρχιᾶσιν οὐδὲ τριακόσια, θαυμάσαι ἂν ὅτῳ ποτὲ πιστεύων ἐν νῷ ἔχει οὗτος ὁ Ἀλκιβιάδης τῷ Ἀρτοξέρξῃ διαγωνίζεσθαι, καὶ οἶμαι ἂν αὐτὴν εἰπεῖν ὅτι Οὐκ ἔσθ' ὅτῳ ἄλλῳ πιστεύων οὗτος ὁ ἀνὴρ ἐπιχειρεῖ πλὴν ἐπιμελείᾳ τε καὶ σοφίᾳ· ταῦτα γὰρ μόνα ἄξια λόγου ἐν Ἕλλησιν. ἐπεὶ εἴ γε πύθοιτο ὡς ὁ Ἀλκιβιάδης οὗτος νῦν ἐπιχειρεῖ πρῶτον μὲν ἔτη οὐδέπω γεγονὼς σφόδρα εἴκοσιν, ἔπειτα παντάπασιν ἀπαίδευτος, πρὸς δὲ τούτοις, τοῦ ἐραστοῦ αὐτῷ λέγοντος ὅτι χρὴ πρῶτον μαθόντα καὶ ἐπιμεληθέντα αὐτοῦ καὶ ἀσκήσαντα οὕτως ἰέναι διαγωνιούμενον βασιλεῖ, οὐκ ἐθέλει ἀλλά φησιν ἐξαρκεῖν καὶ ὡς ἔχει, οἶμαι ἂν αὐτὴν θαυμάσαι τε καὶ ἐρέσθαι Τί οὖν ποτ' ἔστιν ὅτῳ πιστεύει τὸ μειράκιον; εἰ οὖν λέγοιμεν ὅτι κάλλει τε καὶ μεγέθει καὶ γένει καὶ πλούτῳ καὶ φύσει τῆς ψυχῆς, ἡγήσαιτ' ἂν ἡμᾶς, ὦ Ἀλκιβιάδη, μαίνεσθαι πρὸς τὰ παρὰ σφίσιν ἀποβλέψασα πάντα τὰ τοιαῦτα. οἶμαι δὲ κἂν
124 Λαμπιδώ, τὴν Λεωτυχίδου μὲν θυγατέρα, Ἀρχιδάμου δὲ γυναῖκα, Ἄγιδος δὲ μητέρα, οἳ πάντες βασιλεῖς γεγόνασι, θαυμάσαι ἂν καὶ ταύτην εἰς τὰ παρὰ σφίσιν

cum suo pugnare: cum Dinomachi ornatus adsit forte quinquaginta minarum; filio vero agri plethra in Erchiasis minus quam trecenta: eam admiraturam, qua re fretus Alcibiades audeat cum Artaxerxe pugnare. reorque illam arbitraturam, hunc virum in nulla alia re, nisi diligentia sapientiaque, confisum id aggredi: haec quippe sola apud Graecos aestimatione digna existere. Quod si forte audiret Alcibiadem istum certamen tantum inire, primo quidem nondum integros viginti annos natum: deinde omnino indoctum, nec amico suo obedientem, dicenti prius discendum exercendumque, quam tantum regem invadat: arbitror illam admiratione concitam interrogaturam, quidnam sit, quo adolescens iste confidat. Cui si responderemus, pulchritudine, proceritate, nobilitate, divitiis, animo te fidere: nos, o Alcibiades, insanire putaret, haec apud suos omnia potiora conspiciens. Eodemque modo Lampidonem Leotychidae filiam, Archidami vero uxorem, Agidis autem matrem, qui omnes reges exstitere, miraturam, cum norit qualia circa

ὑπάρχοντα ἀποβλέψασαν, εἰ σὺ ἐν νῷ ἔχεις τῷ υἱεῖ αὐτῆς διαγωνίζεσθαι, οὕτω κακῶς ἠγμένος. καί τοι οὐκ αἰσχρὸν δοκεῖ εἶναι, εἰ αἱ τῶν πολεμίων γυναῖκες βέλτιον περὶ ἡμῶν διανοοῦνται, οἵους χρὴ ὄντας σφίσιν ἐπιχειρεῖν, ἢ ἡμεῖς περὶ ἡμῶν αὐτῶν; ἀλλ', ὦ μακάριε, πειθόμενος ἐμοί τε καὶ τῷ ἐν Δελφοῖς γράμματι, γνῶθι σαυτόν, ὅτι οὗτοι ἡμῖν εἰσὶν ἀνυπόπαλοι, ἀλλ' οὐχ οὓς σὺ οἴει· ὧν ἄλλῳ μὲν οὐδ' ἂν ἑνὶ περιγενοίμεθα, εἰ μὴ ἐπιμελείᾳ τε ἂν καὶ τέχνῃ. ὧν σὺ εἰ ἀπολειφθήσει, καὶ τοῦ ὀνομαστὸς γενέσθαι ἀπολειφθήσει ἐν Ἕλλησί τε καὶ βαρβάροις, οὗ μοι δοκεῖς ἐρᾶν ὡς οὐδεὶς ἄλλος ἄλλου.

Αλ. Τίνα οὖν χρὴ τὴν ἐπιμέλειαν, ὦ Σώκρατες, ποιεῖσθαι; ἔχεις ἐξηγήσασθαι; παντὸς γὰρ μᾶλλον ἔοικας ἀληθῆ εἰρηκότι.

Σω. Ναί, ἀλλὰ γὰρ κοινῇ βουλῇ ᾧ τινὶ τρόπῳ ἂν ὅτι βέλτιστοι γενοίμεθα. ἐγὼ γάρ τοι οὐ περὶ μὲν σοῦ λέγω ὡς χρὴ παιδευθῆναι, περὶ ἐμοῦ δὲ οὔ· οὐ γὰρ ἔσθ' ὅτῳ σου διαφέρω πλήν γε ἑνί.

Αλ. Τίνι;

Σω. Ὁ ἐπίτροπος ὁ ἐμὸς βελτίων ἐστὶ καὶ σοφώτερος ἢ Περικλῆς ὁ σός.

Αλ. Τίς οὗτος, ὦ Σώκρατες;

se sunt, te tam male instructum filio suo non dubitare bellum indicere. Atqui nonne turpe videtur, si hostium mulieres rectius de nobis sentiunt, quam nos ipsi, quemadmodum contra illos nos ipsos accingere debeamus? Ceterum, o beate, mihi parens, et illi, quod in Delphis est, epigrammati, Nosce te ipsum: quoniam ii sunt adversarii nostri, non quos ipse rebaris: quos, quidem nulla re alia, nisi industria et arte, superare possumus, quibus profecto si inferior fueris, gloria quoque apud Graecos et Barbaros tibi deerit: quam sic ardenter videris appetere, ut nemo unquam aliquid ardentius concupiverit. *Al.* Quam igitur curam adhibendam censes, o Socrates? An potes ostendere? mihi enim supra quam dici possit, vera dixisse videris. *So.* Possum quidem. verum communi consilio opus est, qua ratione quam optimi efficiamur. ego enim non te tantum, verum etiam me disciplina indigere dico. nam unum solum est, quo a te differo. *Al.* Quid? *So.* Curator meus melior est et sapientior quam tuus Pericles. *Al.* Quis hic, o Socrates?

ΣΩ. Θεός, ὦ Ἀλκιβιάδη, ὅς πέρ σοί με οὐκ εἴα πρὸ τῆσδε τῆς ἡμέρας διαλεχθῆναι· ᾧ καὶ πιστεύων λέγω ὅτι ἡ ἐπιφάνεια δι' οὐδενὸς ἄλλου σοι ἔσται ἢ δι' ἐμοῦ.

ΑΛ. Παίζεις, ὦ Σώκρατες.

ΣΩ. Ἴσως· λέγω μέντοι ἀληθῆ, ὅτι ἐπιμελείας δεόμεθα, μᾶλλον μὲν πάντες ἄνθρωποι, ἀτὰρ νώ γε καὶ μάλα σφόδρα.

ΑΛ. Ὅτι μὲν ἐγώ, οὐ ψεύδει.

ΣΩ. Οὐδὲ μὴν ὅτι γε ἐγώ. 10

ΑΛ. Τί οὖν ἂν ποιοῖμεν;

ΣΩ. Οὐκ ἀποκνητέον οὐδὲ μαλθακιστέον, ὦ ἑταῖρε.

ΑΛ. Οὐ τοι δὴ πρέπει γε, ὦ Σώκρατες.

ΣΩ. Οὐ γάρ, ἀλλὰ σκεπτέον κοινῇ. καί μοι λέγε· φαμὲν γὰρ δὴ ὡς ἄριστοι βούλεσθαι γενέσθαι. ἦ γάρ;

ΑΛ. Ναί.

ΣΩ. Τίνα ἀρετήν;

ΑΛ. Δῆλον ὅτι ἣν περ οἱ ἄνδρες οἱ ἀγαθοί.

ΣΩ. Οἱ τί ἀγαθοί;

ΑΛ. Δῆλον ὅτι οἱ πράττειν τὰ πράγματα. 20

ΣΩ. Ποῖα; ἆρα τὰ ἱππικά;

ΑΛ. Οὐ δῆτα.

ΣΩ. Παρὰ τοὺς ἱππικοὺς γὰρ ἂν ἦμεν;

ΑΛ. Ναί.

ΣΩ. Ἀλλὰ τὰ ναυτικὰ λέγεις;

So. Deus, o Alcibiades, qui me vetuit ante hunc diem tecum disserere: cui credens assero te per nullum alium, nisi per me, claritatem consecuturum. *Al.* Iocaris, o Socrates. *So.* Forsitan: vera tamen loquor, quod ambo curatione indigemus: immo homines universi, ceterum nos quamplurimum. *Al.* Quod quidem ego indigeam, haudquaquam mentiris. *So.* Neque etiam, quod ego ipse. *Al.* Quid igitur agendum? *So.* Nec haesitandum, neque etiam mollitiae indulgendum est, o amice. *Al.* Non decet, o Socrates. *So.* Non certe: sed simul considerandum. Verum dic mihi, an optimi esse volumus? *Al.* Certe. *So.* In qua facultate? *Al.* Qua videlicet viri boni. *So.* Quanam in re boni. *Al.* In rebus agendis. *So.* In quibus? num in equestri negotio? *Al.* Non. *So.* Ad equestres enim iremus. *Al.* Profecto. *So.* Nunquid in navis gubernatione dicebas?

Αλ. Οὔ.

Σω. Παρὰ τοὺς ναυτικοὺς γὰρ ἂν ἴμεν;

Αλ. Ναί.

Σω. Ἀλλὰ ποῖα; ἃ τίνες πράττουσιν;

Αλ. Ἃ περὶ Ἀθηναίων οἱ καλοὶ κἀγαθοί.

Σω. Καλοὺς δὲ κἀγαθοὺς λέγεις τοὺς φρονίμους ἢ τοὺς ἄφρονας;

Αλ. Τοὺς φρονίμους.

Σω. Οὐκοῦν ὃ ἕκαστος φρόνιμος, τοῦτο ἀγαθός;

Αλ. Ναί.

Σω. Ὁ δὲ ἄφρων, πονηρός;

Αλ. Πῶς γὰρ οὔ;

Σω. Ἆρ' οὖν ὁ σκυτοτόμος φρόνιμος εἰς ὑποδημάτων ἐργασίαν;

Αλ. Πάνυ γε.

Σω. Ἀγαθὸς ἄρα εἰς αὐτά;

Αλ. Ἀγαθός.

Σω. Τί δέ; εἰς ἱματίων ἐργασίαν οὐχ ἄφρων ὁ σκυτοτόμος;

Αλ. Ναί.

Σω. Κακὸς ἄρα εἰς τοῦτο;

Αλ. Ναί.

Σω. Ὁ αὐτὸς ἄρα τούτῳ γε τῷ λόγῳ κακός τε καὶ ἀγαθός.

Αλ. Φαίνεται.

Σω. Ἦ οὖν λέγεις τοὺς ἀγαθοὺς ἄνδρας εἶναι καὶ κακούς;

Al. Nequaquam. *So.* Ad nautas enim iremus. *Al.* Iremus. *So.* In quo ergo negotio, et quorum hominum officio? *Al.* In iis, quae clari bonique Atheniensium viri agunt. *So.* Claros ac bonos prudentesne an imprudentes appellas? *Al.* Prudentes. *So.* In quo quisque prudens, in eodem bonus? *Al.* Certe. *So.* Imprudens autem malus? *Al.* Malus. *So.* Calceorum autor prudens ad calceorum opus? *Al.* Prorsus. *So.* Bonus ergo ad haec? *Al.* Bonus. *So.* Quid vero in vestibus conficiendis, nonne cerdo iste imprudens? *Al.* Ita. *So.* Malus ergo ad haec? *Al.* Ita. *So.* Idem itaque secundum hanc rationem bonus atque malus erit. *Al.* Videtur. *So.* An dicis viros bonos malos etiam esse?

Al. Οὐ δῆτα.

So. Ἀλλὰ τίνας ποτὲ τοὺς ἀγαθοὺς λέγεις;

Al. Τοὺς δυναμένους ἔγωγε ἄρχειν ἐν τῇ πόλει.

So. Οὐ δή που ἵππων γε;

Al. Οὐ δῆτα.

So. Ἀλλ' ἀνθρώπων;

Al. Ναί.

So. Ἆρα καμνόντων;

Al. Οὔ.

So. Ἀλλὰ πλεόντων;

Al. Οὔ φημι.

So. Ἀλλὰ θεριζόντων;

Al. Οὔ.

So. Ἀλλ' οὐδὲν ποιούντων ἢ τῶν ποιούντων;

Al. Ποιούντων λέγω.

So. Τί δή; πειρῶ καὶ ἐμοὶ δηλῶσαι.

Al. Οὐκοῦν τῶν καὶ συμβαλλόντων ἑαυτοῖς καὶ χρωμένων ἀλλήλοις, ὥς περ ἡμεῖς ζῶμεν ἐν ταῖς πόλεσιν.

So. Οὐκοῦν ἀνθρώπων λέγεις ἄρχειν ἀνθρώποις χρωμένων;

Al. Ναί.

So. Ἆρα ναυστῶν χρωμένων ἐρέταις;

Al. Οὐ δῆτα.

So. Κυβερνητικὴ γὰρ αὕτη γε ἀρετή;

Al. Ναί.

Al. Nequaquam. *So.* Quos tandem bonos vocas? *Al.* Eos, qi in civitate praeesse possunt. *So.* Non tamen equis? *Al.* No certe. *So.* At hominibus? *Al.* Hominibus. *So.* Num hom nibus aegrotantibus? *Al.* Non. *So.* An forte navigantibu *Al.* Non iis dico. *So.* Metentibusne? *Al.* Neque istis. *S* Aliquidne vel nihil facientibus? *Al.* Facientibus. *So.* Qu tandem facientibus? id mihi declara. *Al.* Commercia, i quam, agentibus, atque invicem mutuo se utentibus, que admodum nos in civitatibus vitam agimus. *So.* Nunquid i perare eos dicis hominibus, qui hominibus utuntur? Aio. *So.* An gubernatoribus, qui remigibus utuntur? *Al.* N *So.* Haec enim gubernatoriae facultatis virtus est. *Al.*

ΣΩ. Ἀλλ' ἀνθρώπων λέγεις ἄρχειν αὐλητῶν, ἀνθρώποις ἡφουμένων ᾠδῆς καὶ χρωμένων χορευταῖς;

ΑΛ. Οὐ δῆτα.

ΣΩ. Χοροδιδασκαλικὴ γὰρ αὕτη γ' αὖ;

ΑΛ. Πάνυ γε.

ΣΩ. Ἀλλὰ τί ποτε λέγεις χρωμένων ἀνθρώπων ἀνθρώποις οἷόν τ' εἶναι ἄρχειν;

ΑΛ. Κοινωνούντων ἔγωγε λέγω πολιτείας καὶ συμβαλλόντων πρὸς ἀλλήλους, τούτων ἄρχειν τῶν ἐν τῇ πόλει.

ΣΩ. Τίς οὖν αὕτη ἡ τέχνη; ὡς περ ἂν εἴ σε ἐροίμην πάλιν τὰ νῦν δή, Κοινωνούντων ναυτιλίας ἐπίσασθαι ἄρχειν τίς ποιεῖ τέχνη;

ΑΛ. Κυβερνητική.

ΣΩ. Κοινωνούντων δὲ ᾠδῆς, ὡς νῦν δὴ ἐλέγετο, τίς ἐπιστήμη ποιεῖ ἄρχειν;

ΑΛ. Ἣν περ σὺ ἄρτι ἔλεγες, ἡ χοροδιδασκαλία.

ΣΩ. Τί δὲ; πολιτείας κοινωνούντων τίνα καλεῖς ἐπιστήμην;

ΑΛ. Εὐβουλίαν ἔγωγε, ὦ Σώκρατες.

ΣΩ. Τί δέ; μῶν ἀβουλία δοκεῖ εἶναι ἢ τῶν κυβερνητῶν;

ΑΛ. Οὐ δῆτα.

ΣΩ. Ἀλλ' εὐβουλία;

So. Fortasse imperare dicebas tibicinibus, qui canentibus praesunt choreisque utuntur. *Al.* Neque istis. *So.* Hoc namque ad facultatem chori magistram pertinet. *Al.* Omnino. *So.* Quid denique vocas imperare posse hominibus, qui utuntur hominibus? *Al.* Praeesse hominibus communicantibus invicem in rei publicae administratione atque commerciis. *So.* Quaenam haec ars est? quemadmodum si te iterum interrogarem, quae facultas efficit, ut praeesse sciamus in navigando communicantibus? *Al.* Gubernatoria. *So.* Communicantibus autem in cantu, ut paulo ante dicebatur, quae scientia praeesse docet? *Al.* Quam tu nuper aiebas, chori disciplina. *So.* In re publica vero communicantibus, quam scientiam vocas? *Al.* Bonum consilium, o Socrates. *So.* Num tibi videtur gubernatorum ars carere consilio? *Al.* Minime. *So.* Est ipsa quoque bonum consilium.

126 *ΑΛ.* Ἔμοιγε δοκεῖ, εἴς γε τὸ σώζεσθαι πλέοντας.

ΣΩ. Καλῶς λέγεις. τί δέ, ἣν σὺ καλεῖς εὐβουλίαν, εἰς τί ἐστιν;

ΑΛ. Εἰς τὸ ἄμεινον τὴν πόλιν διοικεῖν καὶ σώζεσθαι.

ΣΩ. Ἄμεινον δὲ διοίκεῖται καὶ σώζεται τίνος παραγιγνομένου ἢ ἀπογιγνομένου; ὥς περ ἂν εἰ σύ με ἔροιο Ἄμεινον διοικεῖται σῶμα καὶ σώζεται τίνος παραγιγνομένου ἢ ἀπογιγνομένου; εἴποιμ' ἂν ὅτι ὑγιείας μὲν παραγιγνομένης, νόσου δὲ ἀπογιγνομένης. οὐ καὶ σὺ οἴει οὕτως;

ΑΛ. Ναί.

ΣΩ. Καὶ εἴ με αὖ ἔροιο Τίνος δὲ ἄμεινον ὄμματα; ὡσαύτως εἴποιμ' ἂν ὅτι ὄψεως μὲν παραγιγνομένης, τυφλότητος δὲ ἀπογιγνομένης. καὶ ὦτα δὲ κωφότητος μὲν ἀπογιγνομένης, ἀκοῆς δὲ ἐγγιγνομένης βελτίω τε γίγνεται καὶ ἄμεινον θεραπεύεται.

ΑΛ. Ὀρθῶς.

ΣΩ. Τί δὲ δὴ πόλις; τίνος παραγιγνομένου καὶ ἀπογιγνομένου βελτίων τε γίγνεται καὶ ἄμεινον θεραπεύεται καὶ διοικεῖται;

ΑΛ. Ἐμοὶ μὲν δοκεῖ, ὦ Σώκρατες, ὅταν φιλία μὲν αὐτοῖς γίγνηται πρὸς ἀλλήλους, τὸ δὲ μισεῖν τε καὶ στασιάζειν ἀπογίγνηται.

ΣΩ. Ἆρ' οὖν φιλίαν λέγεις ὁμόνοιαν ἢ διχόνοιαν;

Al. Mihi sane videtur. *So.* Ad navigantium salutem. *Al.* Recte loqueris. *So.* Quod vero bonum consilium vocas, ad quidnam spectat? *Al.* Ad meliorem civitatis institutionem eiusque salutem. *So.* Quanam re praesente vel absente melius disponitur atque servatur? ceu ipse me rogares, quo praesente aut absente bene se habent corpora: responderem utique, sanitate praesente, morboque remoto. Idem et tu existimas? *Al.* Idem. *So.* Quod si idem quaeras de oculis, eadem ratione respondebo, pulsa caecitate, adhibito visu, et aures curari fugata surditate, admoto vero auditu. *Al.* Recte. *So.* Civitas autem quo remoto quove adhibito melior fit ac melius instituitur? *Al.* Mihi quidem videtur, o Socrates, quando amicitia est inter cives: odia vero et seditiones absunt. *So.* Amicitiam vocas consensionem an dissensionem?

Αλ. Ὁμόνοιαν.

ΣΩ. Διὰ τίνα οὖν τέχνην ὁμονοοῦσιν αἱ πόλεις περὶ ἀριθμούς;

Αλ. Διὰ τὴν ἀριθμητικήν.

ΣΩ. Τί δαί; οἱ ἰδιῶται οὐ διὰ τὴν αὐτήν;

Αλ. Ναί.

ΣΩ. Οὐκοῦν καὶ αὐτὸς αὑτῷ ἕκαστος;

Αλ. Ναί.

ΣΩ. Διὰ τίνα δὲ τέχνην ἕκαστος αὐτὸς αὑτῷ ὁμολογεῖ περὶ σπιθαμῆς καὶ πήχεως, ὁπότερον μεῖζον; οὐ διὰ τὴν μετρητικήν;

Αλ. Τί μήν;

ΣΩ. Οὐκοῦν καὶ οἱ ἰδιῶται ἀλλήλοις καὶ αἱ πόλεις;

Αλ. Ναί.

ΣΩ. Τί δὲ περὶ σταθμοῦ; οὐχ ὡσαύτως;

Αλ. Φημί.

ΣΩ. Ἦν δὲ δὴ σὺ λέγεις ὁμόνοιαν, τίς ἐστι καὶ περὶ τοῦ; καὶ τίς αὐτὴν τέχνη παρασκευάζει; καὶ ἆρα ὃ ἥ περ πόλει, αὕτη καὶ ἰδιώτῃ, αὐτῷ τε πρὸς αὑτὸν καὶ πρὸς ἄλλον;

Αλ. Εἰκός γέ τοι.

ΣΩ. Τίς οὖν ἔστι; μὴ κάμῃς ἀποκρινόμενος, ἀλλὰ προθυμοῦ εἰπεῖν.

Αλ. Ἐγὼ μὲν οἶμαι φιλίαν τε λέγειν καὶ ὁμό-

Al. Consensionem. *So.* Per quam artem civitates circa numeros consentiunt? *Al.* Per arithmeticam. *So.* Privati vero an non propter eandem? *Al.* Nempe. *So.* Et unusquisque secum ipse? *Al.* Certe. *So.* Per quam artem quisque secum ipse consentit de palmo et cubito, uter ex iis maior sit? nonne per metiendi peritiam? *Al.* Quidni? *So.* Nonne etiam privati invicem atque civitates? *Al.* Immo. *So.* Et de ponderibus eodem pacto? *Al.* Assentior. *Sa.* Consensio igitur, quam dicebas, quaenam est? circa quid? quae ars illam praestat? etenim ista consensio talis est, ut insit rei publicae et privato unicuique ad se ipsum et ad alios. *Al.* Consentaneum. *So.* Quae igitur est? ne pigeat respondere, si prompte enarres. *Al.* Beor equidem esse amicitiam

νοιαν, ἣν περ πατήρ τε υἱὸν φιλῶν ὁμονοεῖ καὶ μήτηρ, καὶ ἀδελφὸς ἀδελφῷ καὶ γυνὴ ἀνδρί.

ΣΩ. Οἴει ἄν οὖν, ὦ Ἀλκιβιάδη, ἄνδρα γυναικὶ περὶ ταλασιουργίας δύνασθαι ὁμονοεῖν, τὸν μὴ ἐπιστάμενον τῇ ἐπισταμένῃ;

ΑΛ. Οὐ δῆτα.

ΣΩ. Οὐδέ γε δεῖ οὐδέν· γυναικεῖον γὰρ τοῦτό γε μάθημα.

ΑΛ. Ναί.

ΣΩ. Τί δέ; γυνὴ ἀνδρὶ περὶ ὁπλιτικῆς δύναιτ' ἂν ὁμονοεῖν μὴ μαθοῦσα;

ΑΛ. Οὐ δῆτα.

ΣΩ. Ἀνδρεῖον γὰρ τοῦτό γε ἴσως αὖ φαίης ἂν εἶναι.

ΑΛ. Ἔγωγε.

ΣΩ. Ἔστιν ἄρα τὰ μὲν γυναικεῖα, τὰ δὲ ἀνδρεῖα μαθήματα κατὰ τὸν σὸν λόγον.

ΑΛ. Πῶς δ' οὔ;

ΣΩ. Οὐκ ἄρα ἔν γε τούτοις ἐστὶν ὁμόνοια γυναικὶ πρὸς ἄνδρας.

ΑΛ. Οὔ.

ΣΩ. Οὐδ' ἄρα φιλία, εἴ περ ἡ φιλία ὁμόνοια ἦν.

ΑΛ. Οὐ φαίνεται.

ΣΩ. Ἧι ἄρα αἱ γυναῖκες τὰ αὑτῶν πράττουσιν, οὐ φιλοῦνται ὑπὸ τῶν ἀνδρῶν.

et consensionem, qua pater ac mater filium, et frater fratrem, et uxor virum amantes consentiunt. *So.* Putasne, o Alcibiades, virum cum uxore circa lanificium convenire, imperitum cum perita? *Al.* Nequaquam. *So.* Neque oportet quidem. muliebris enim haec disciplina est. *Al.* Profecto. *So.* Quid vero, mulier cum viro circa opus militare conveniet, cum id haudquaquam didicerit? *Al.* Minime. *So.* Virile enim id rursus esse diceres. *Al.* Equidem. *So.* Sunt ergo disciplinae quaedam mulierum, quaedam virorum, secundum orationem tuam. *Al.* Quidni? *So.* In iis itaque mulieribus cum viris consensus est nullus. *Al.* Nullus. *So.* Neque amicitia igitur: si quidem amicitia consensio quaedam est. *Al.* Non videtur. *So.* Ideoque, quatenus mulieres officia sua exercent, non amantur a viris.

Al. Οὐκ ἔοικεν.

So. Οὐδ' ἄρα οἱ ἄνδρες ὑπὸ τῶν γυναικῶν, ἢ τὰ αὐτῶν.

Al. Οὔ.

So. Οὐδ' αὖ ἄρα ταύτῃ οἰκοῦνται αἱ πόλεις, ὅταν τὰ αὑτῶν ἕκαστοι πράττωσιν.

Al. Οἶμαι ἔγωγε, ὦ Σώκρατες.

So. Πῶς λέγεις, φιλίας μὴ παρούσης, ἧς ἔφαμεν ἐγγιγνομένης εὖ οἰκεῖσθαι τὰς πόλεις, ἄλλως δὲ οὔ;

Al. Ἀλλά μοι δοκεῖ καὶ κατὰ τοῦτο αὐτοῖς φιλία ἐγγίγνεσθαι, ὅτι τὰ αὑτῶν ἑκάτεροι πράττουσιν.

So. Οὐκ ἄρτι γε. νῦν δὲ πῶς αὖ λέγεις; ὁμονοίας μὴ ἐγγιγνομένης φιλία ἐγγίγνεται; ἢ οἷόν τε ὁμόνοιαν ἐγγίγνεσθαι περὶ τούτων ὧν οἱ μὲν ἴσασιν, οἱ δ' οὔ;

Al. Ἀδύνατον.

So. Δίκαια δὲ πράττουσιν ἢ ἄδικα, ὅταν τὰ αὑτῶν ἕκαστοι πράττωσιν;

Al. Δίκαια· πῶς γὰρ οὔ;

So. Τὰ δίκαια οὖν πραττόντων ἐν τῇ πόλει τῶν πολιτῶν φιλία οὐκ ἐγγίγνεται πρὸς ἀλλήλους;

Al. Ἀνάγκη αὖ μοι δοκεῖ εἶναι, ὦ Σώκρατες.

So. Τίνα οὖν ποτὲ λέγεις τὴν φιλίαν ἢ ὁμόνοιαν, περὶ ἧς δεῖ ἡμᾶς σοφούς τε εἶναι καὶ εὐβούλους, ἵν' ἀγα-

Al. Non apparet. *So.* Neque viri etiam a mulieribus, dum virilia tractant. *Al.* Non. *So.* Non ergo tunc optime civitates instituuntur, cum singuli operibus suis incumbunt. *Al.* Ego tamen id, o Socrates, arbitror. *So.* Quomodo hoc ais, amicitia sublata? qua praesente confessi sumus bene constitui civitates, aliter vero contra. *Al.* Atqui mihi videtur ob hoc inter homines consistere amicitiam, quod quisque suum officium exsequatur. *So.* Non tamen id paulo ante dicebas: nunc autem quo pacto rursus ais, consensione adhibita amicitiam fieri? An potest circa haec consensus exsistere, quorum ii quidem periti, ii vero imperiti sunt? *Al.* Fieri non potest. *So.* Iustane an iniusta faciunt, cum singuli quae ad se attinent, exsequuntur? *Al.* Iusta profecto. *So.* Iuste igitur agentibus civibus in civitate, non est amicitia. *Al.* Necessarium hoc itidem videtur, o Socrates. *So.* Quam itaque dicis amicitiam sive consensionem, circa quam nos sapientes et consulto-

θοὶ ἄνδρες ὦμεν; οὐ γὰρ δύναμαι μαθεῖν οὔθ' ἥ τις οὔτ' ἐν οἷς τισίν· τοτὲ μὲν γὰρ ἐν τοῖς αὐτοῖς φαίνεται ἐνοῦσα, τοτὲ δ' οὔ, ὡς ἐκ τοῦ σοῦ λόγου.

Αλ. Ἀλλὰ μὰ τοὺς θεούς, ὦ Σώκρατες, οὐδ' αὐτὸς οἶδα ὅ τι λέγω, κινδυνεύω δὲ καὶ πάλαι λελῆθέναι ἐμαυτὸν αἴσχιστ' ἔχων.

ΣΩ. Ἀλλὰ χρὴ θαῤῥεῖν. εἰ μὲν γὰρ αὐτὸ ἤσθου πεπονθὼς πεντηκονταετής, χαλεπὸν ἂν ἦν σοι ἐπιμεληθῆναι σαυτοῦ· νῦν δὲ ἣν ἔχεις ἡλικίαν, αὕτη ἐστὶν ἐν ᾗ δεῖ αὐτὸ αἰσθέσθαι.

Αλ. Τί οὖν τὸν αἰσθόμενον χρὴ ποιεῖν, ὦ Σώκρατες;

ΣΩ. Ἀποκρίνεσθαι τἀ ἐρωτώμενα, ὦ Ἀλκιβιάδη. καὶ ἐὰν τοῦτο ποιῇς, ἂν θεὸς ἐθέλῃ, εἴ τι δεῖ καὶ τῇ ἐμῇ μαντείᾳ πιστεύειν, σύ τε κἀγὼ βελτίονως σχήσομεν.

Αλ. Ἔσται ταῦτα ἕνεκά γε τοῦ ἐμὲ ἀποκρίνεσθαι.

ΣΩ. Φέρε δή, τί ἔστι τὸ ἑαυτοῦ ἐπιμελεῖσθαι; — 128 μὴ πολλάκις λάθωμεν οὐχ ἡμῶν αὐτῶν ἐπιμελούμενοι, οἰόμενοι δέ — καὶ πότε ἄρα αὐτὸ ποιεῖ ἄνθρωπος; ἆρ' ὅταν τῶν αὑτοῦ ἐπιμελῆται; πότε καὶ ἑαυτοῦ;

Αλ. Ἐμοὶ γοῦν δοκεῖ.

res esse oportet, ut boni viri simus? neque enim percipere possum, quaenam sit, aut in quibus exsistat: cum ex oratione tua interdum in eisdem inesse, nonnunquam ab eisdem abesse videatur. *Al.* Per Deos, o Socrates, neque ipse quidem quid dicam, intelligo: videorque iamdiu me ipsum latuisse, cum me turpissime habeam. *So.* Confidere decet. Nam si hoc demum animadvertisses annos quinquaginta natus, arduum sane foret te ipsum curare: nunc vero in ea es aetate, qua id advertere decet. *Al.* Quid igitur hoc advertentem facere oportet? *So.* Responde ad ea, quae interrogabo te, Alcibiades, quod si feceris, ac Deus voluerit, si qua modo fides meis est vaticiniis adhibenda, tu simul et ego meljus habebimus. *Al.* Ita erit, quod ad me respondentem attinet. *So.* Age, quid est se ipsum curare, ne saepe nos ipsos lateamus, non curantes nosmet, cum id agere opinemur. Et quando id homo agit, num quotiens suorum, totiens et sui curam habet? *Al.* Mihi quidem videtur.

ΣΩ. Τί δαί; ποδῶν ἄνθρωπος πότε ἐπιμελεῖται; ἆρα ὅταν ἐκείνων ἐπιμελῆται ἃ ἐστι τῶν ποδῶν;

ΑΛ. Οὐ μανθάνω.

ΣΩ. Καλεῖς δέ τι χερός; οἷον δακτύλιον ἔστιν ὅτου ἂν ἄλλου τῶν τοῦ ἀνθρώπου φαίης ἢ δακτύλου;

ΑΛ. Οὐ δῆτα.

ΣΩ. Οὐκοῦν καὶ ποδὸς ὑπόδημα τὸν αὐτὸν τρόπον;

ΑΛ. Ναί.

ΣΩ. Ἆρ' οὖν ὅταν ὑποδημάτων ἐπιμελώμεθα, τότε ποδῶν ἐπιμελούμεθα;

ΑΛ. Οὐ πάνυ μανθάνω, ὦ Σώκρατες.

ΣΩ. Τί δέ, ὦ Ἀλκιβιάδη; ὀρθῶς ἐπιμελεῖσθαι καλεῖς τι ὁτουοῦν πράγματος;

ΑΛ. Ἔγωγέ.

ΣΩ. Ἆρ' οὖν ὅταν τίς τι βέλτιον ποιῇ, τότε ὀρθὴν λέγεις ἐπιμέλειαν;

ΑΛ. Ναί.

ΣΩ. Τίς οὖν τέχνη ὑποδήματα βελτίω ποιεῖ;

ΑΛ. Σκυτική.

ΣΩ. Σκυτικῇ ἄρα ὑποδημάτων ἐπιμελούμεθα;

ΑΛ. Ναί.

ΣΩ. Ἦ καὶ ποδὸς σκυτικῇ; ἢ ἐκείνῃ ἧ πόδας βελτίους ποιοῦμεν;

ΑΛ. Ἐκείνῃ.

So. Quid? num pedes tunc quis curat, cum eorum, quae pedum sunt, sibi cura est? *Al.* Non intelligo. *So.* Dicisne esse aliquid ipsius manus, quemadmodum annulus est? *Al.* Dico equidem. *So.* Num alterius membri, quam digiti, annulum esse censes? *Al.* Minime. *So.* Et pedis calceum eodem modo? *Al.* Ita. *So.* Cum calceorum curam habemus, tunc pedum nobis cura est? *Al.* Haud satis te teneo, Socrates. *So.* Quid vero, o Alcibiades, vocasne aliquid rectam alicuius curationem? *Al.* Voco. *So.* An non, cum quid melius fit, tunc eius rectam curationem esse dicis? *Al.* Dico. *So.* Quae ars calceos meliores efficit? *Al.* Cerdonica. *So.* Cerdonica igitur calceorum curam habemus? *Al.* Hac ipsa. *So.* Nunquid et pedes etiam cerdonicis? vel ipsa potius, qua pedes reddimus meliores? *Al.* Illa.

ΣΩ. Βελτίους δὲ πόδας οὐχ ἧ περ καὶ τὸ ἄλλο σῶμα;

ΑΛ. Ἔμοιγε δοκεῖ.

ΣΩ. Αὕτη δ' οὐ γυμναστική;

ΑΛ. Μάλιστα.

ΣΩ. Γυμναστικῇ μὲν ἄρα ποδὰς ἐπιμελούμεθα, σκυτικῇ δὲ τῶν τοῦ ποδός;

ΑΛ. Πάνυ γε.

ΣΩ. Καὶ γυμναστικῇ μὲν χειρῶν, δακτυλιογλυφίᾳ δὲ τῶν τῆς χειρός; 10

ΑΛ. Ναί.

ΣΩ. Καὶ γυμναστικῇ μὲν σώματος, ὑφαντικῇ δὲ καὶ ταῖς ἄλλαις τῶν τοῦ σώματος;

ΑΛ. Παντάπασι μὲν οὖν.

ΣΩ. Ἄλλῃ μὲν ἄρα τέχνῃ αὐτοῦ ἑκάστου ἐπιμελούμεθα, ἄλλῃ δὲ τῶν αὐτοῦ;

ΑΛ. Φαίνεται.

ΣΩ. Οὐκ ἄρα ὅταν τῶν σαυτοῦ ἐπιμελῇ, σαυτοῦ ἐπιμελεῖ.

ΑΛ. Οὐδαμῶς. 2

ΣΩ. Οὐ γὰρ ἡ αὐτὴ τέχνη, ὡς ἔοικεν, ἧ τις ἂν αὐτοῦ τε ἐπιμελοῖτο καὶ τῶν αὐτοῦ.

ΑΛ. Οὐ φαίνεται.

ΣΩ. Φέρε δή, ποίᾳ ποτ' ἂν ἡμῶν αὐτῶν ἐπιμεληθείημεν;

ΑΛ. Οὐκ ἔχω λέγειν.

So. Pedes autem meliores, nonne qua et reliquum corpus? *Al.* Videtur. *So.* Haec nonne gymnastica? *Al.* Maxime. *So.* Ergo gymnastica pedes curamus, calceonica vero illa quae pedum sunt. *Al.* Prorsus. *So.* Et gymnastica quoque manus, annularia vero illa quae sunt manuum. *Al.* Sic est. *So.* Et gymnastica corpus, textoria autem et aliis facultatibus ea quae corporis sunt. *Al.* Omnino. *So.* Alia igitur arte unumquodque; alia, quae illius sunt, curamus. *Al.* Videtur. *So.* Non ergo cum sua quis, tunc etiam se curat. *Al.* Nullo pacto. *So.* Non enim eadem ars, ut videtur, quae nostra et quae nostra curat. *Al.* Non apparet. *So.* Age itaque, qua arte nos ipsos curare possumus? *Al.* Non habeo quod di-

ΣΩ. Ἀλλὰ τοσόνδε γε ὡμολόγηται, ὅτι οὐχ ἧ ἂν ἡμῶν ἡμετέρων καὶ ὁτιοῦν βέλτιον ποιῶμεν, ἀλλ' ἧ ἡμᾶς αὐτούς;

ΑΛ. Ἀληθῆ λέγεις.

ΣΩ. Ἦ οὖν ἔγνωμεν ἄν ποτε τίς τέχνη ὑπόδημα βέλτιον ποιεῖ, μὴ εἰδότες ὑπόδημα;

ΑΛ. Ἀδύνατον.

ΣΩ. Οὐδέ γε, τίς τέχνη δακτυλίους βελτίους ποιεῖ, ἀγνοοῦντες δακτύλιον.

ΑΛ. Ἀληθῆ.

ΣΩ. Τί δέ; τίς τέχνη βελτίω ποιεῖ αὐτόν, ἆρ' ἄν ποτε γνοῖμεν ἀγνοοῦντες τί ποτ' ἐσμὲν αὐτοί; 129

ΑΛ. Ἀδύνατον.

ΣΩ. Πότερον οὖν δὴ ῥᾴδιον συγχάνει τὸ γνῶναι ἑαυτόν, καί τις ἦν φαῦλος ὃ τοῦτο ἀναθεὶς εἰς τὸν ἐν Πυθοῖ νεών, ἢ χαλεπόν τι καὶ οὐχὶ παντός;

ΑΛ. Ἐμοὶ μέν, ὦ Σώκρατες, πολλάκις μὲν ἔδοξε παντὸς εἶναι, πολλάκις δὲ παγχάλεπον.

ΣΩ. Ἀλλ', ὦ Ἀλκιβιάδη, εἴτε ῥᾴδιον εἴτε μή ἐστιν, ἅμως γε ἡμῖν ὧδε ἔχει· γνόντες μὲν αὐτὸ τάχ' ἂν γνοῖμεν τὴν ἐπιμέλειαν ἡμῶν αὐτῶν, ἀγνοοῦντες δὲ οὐκ ἄν ποτε.

ΑΛ. Ἔστι ταῦτα.

So. At hoc tamen inter nos convenit, quod non qua nostrorum aliquid melius efficimus, nos curamus: verum qua nos ipsos ad meliorem frugem ducimus. *Al.* Vera narras. *So.* Nossene unquam possemus, quae ars meliorem facit calceum, nisi calceum ipsum noverimus? *Al.* Fieri nequit. *So.* Neque etiam quae annulum efficit meliorem, ignorantes annulum. *Al.* Verum. *So.* Sciemusne unquam, qua arte meliores evadamus, quamdiu nos ipsos ignoraverimus? *Al.* Nunquam. *So.* Utrum facile quiddam sit, se ipsum cognoscere, ac ridiculus fuerit, qui templo Apollinis id inscripsit? an potius arduum quippiam, nec cuiusvis hominis opus? *Al.* Mihi quidem, o Socrates, aliquando visum est facile hoc et cuiusvis officium esse: nonnunquam vero omnium difficillimum. *So.* Sed sive facile hoc sit, o Alcibiades, sive difficile, nobis sane sic se habet, ut ipsum intelligentes, etiam qua ratione curandi simus, intelligamus: ignorantes vero, contra. *Al.* Est, ut dicis.

ΣΩ. Φέρε δή, τίν' ἂν τρόπον εὑρεθείη αὐτὸ τὸ αὐτό; οὕτω μὲν γὰρ ἂν τάχ' εὕροιμεν τί ποτ' ἐσμὲν αὐτοί, τούτου δὲ ἔτι ὄντες ἐν ἀγνοίᾳ ἀδύνατοί που.

ΑΛ. Ὀρθῶς λέγεις.

ΣΩ. Ἔχε οὖν πρὸς Διός. τῷ διαλέγει σὺ νῦν; ἄλλο τι ἐμοί;

ΑΛ. Ναί.

ΣΩ. Οὐκοῦν καὶ ἐγὼ σοί;

ΑΛ. Ναί.

ΣΩ. Σωκράτης ἄρ' ἐστὶν ὁ διαλεγόμενος;

ΑΛ. Ἥκιστά γε.

ΣΩ. Ἀλκιβιάδης δὲ ὁ ἀκούων;

ΑΛ. Ναί.

ΣΩ. Οὐκοῦν λόγῳ διαλέγεται ὁ Σωκράτης;

ΑΛ. Τί μήν;

ΣΩ. Τὸ δὲ διαλέγεσθαι καὶ τὸ λόγῳ χρῆσθαι ταὐτόν που καλεῖς;

ΑΛ. Πάνυ γε.

ΣΩ. Ὁ δὲ χρώμενος καὶ ᾧ χρῆται οὐκ ἄλλο;

ΑΛ. Πῶς λέγεις;

ΣΩ. Ὡς περ σκυτοτόμος τέμνει που τομεῖ καὶ σμίλῃ καὶ ἄλλοις ὀργάνοις.

ΑΛ. Ναί.

ΣΩ. Οὐκοῦν ἄλλο μὲν ὁ τέμνων καὶ ὁ χρώμενος, ἄλλο δὲ οἷς τέμνων χρῆται;

So. Age, quomodo ipsum quod ipsum inveniemus? forte vero sic quid simus ipsi invenire poterimus: at hoc ignorantes, nunquam. *Al.* Recte loqueris. *So.* Attende ergo per Deum, cum alione, quam mecum tu nunc disputas? *Al.* Tecum. *So.* Et ego nonne tecum? *Al.* Et tu mecum. *So.* Socrates igitur est, qui disputat. *Al.* Est. *So.* Alcibiades vero, qui audit. *Al.* Ita est. *So.* Nonne sermone vel ratione Socrates disputat? *Al.* Quidni? *So.* Disputare autem et sermone vel ratione uti, idem quodammodo vocas? *Al.* Idem. *So.* Utens autem et quo utitur, nonne aliud? *Al.* Quomodo dicis? *So.* Quemadmodum cerdo incidit quidem circulari et semicirculari organo, atque aliis instrumentis. *Al.* Est, ut dicis. *So.* Nonne aliud quiddam est qui dividendo utitur, alia vero quibus utitur?

ΑΛ. Πῶς γὰρ οὔ;

ΣΩ. Ἆρ' οὖν οὕτω καὶ οἷς ὁ κιθαριστὴς κιθαρίζει καὶ αὐτὸς ὁ κιθαριστὴς ἄλλο ἂν εἴη;

ΑΛ. Ναί.

ΣΩ. Τοῦτο τοίνυν ἀρτίως ἠρώτων, εἰ ὁ χρώμενος καὶ ᾧ χρῆται ἀεὶ δοκεῖ ἕτερον εἶναι.

ΑΛ. Δοκεῖ.

ΣΩ. Τί οὖν φῶμεν τὸν σκυτοτόμον; τέμνειν ὀργάνοις μόνον ἢ καὶ χερσίν;

ΑΛ. Καὶ χερσίν.

ΣΩ. Χρῆται ἄρα καὶ ταύταις;

ΑΛ. Ναί.

ΣΩ. Ἦ καὶ τοῖς ὀφθαλμοῖς χρώμενος σκυτοτομεῖ;

ΑΛ. Ναί.

ΣΩ. Τὸν δὲ χρώμενον καὶ οἷς χρῆται ἕτερα ὁμολογοῦμεν;

ΑΛ. Ναί.

ΣΩ. Ἕτερον ἄρα σκυτοτόμος καὶ κιθαριστὴς χειρῶν καὶ ὀφθαλμῶν οἷς ἐργάζονται;

ΑΛ. Φαίνεται.

ΣΩ. Οὐκοῦν καὶ παντὶ τῷ σώματι χρῆται ἄνθρωπος;

ΑΛ. Πάνυ γε.

ΣΩ. Ἕτερον δ' ἦν τό τε χρώμενον καὶ ᾧ χρῆται;

ΑΛ. Ναί.

ΣΩ. Ἕτερον ἄρα ἄνθρωπός ἐστι τοῦ σώματος τοῦ ἑαυτοῦ;

Al. Quidni? *So.* Item aliud citharoedus, aliud quocum citharam pulsat? *Al.* Aliud. *So.* Hoc paulo ante interrogabam, an utens et quo utitur, semper aliud esse videatur. *Al.* Videtur. *So.* Cerdonem incidere dicimus instrumentis tantum, an etiam manibus? *Al.* Et manibus. *So.* Et iis ergo utitur. *Al.* Utitur. *So.* An non et oculis utens coria incidit? *Al.* Prorsus. *So.* Utentem vero aliud quiddam ab iis, quibus utitur, esse concessimus. *Al.* Concessimus. *So.* Cerdo igitur et citharoedus aliud quiddam sunt, quam oculi et manus, quibus utuntur. *Al.* Apparet. *So.* Nonne toto corpore homo utitur? *Al.* Penitus. *So.* Aliud utique utens et quo utitur. *Al.* Sic est. *So.* Homo ergo est a suo corpore aliud.

ΑΛ. Ἔοικεν.

ΣΩ. Τί ποτ' οὖν ἄνθρωπος;

ΑΛ. Οὐκ ἔγω λέγειν.

ΣΩ. Ἔχεις μὲν οὖν, ὅτι γε τὸ τῷ σώματι χρώμενον.

ΑΛ. Ναί.

ΣΩ. Ἦ οὖν ἄλλο τι χρῆται αὐτῷ ἢ ἡ ψυχή;

ΑΛ. Οὐκ ἄλλο.

ΣΩ. Οὐκοῦν ἄρχουσα;

ΑΛ. Ναί.

ΣΩ. Καὶ μὴν τόδε γε οἶμαι οὐδένα ἂν ἄλλως οἰηθῆναι.

ΑΛ. Τὸ ποῖον;

ΣΩ. Μὴ οὐ τριῶν ἕν γέ τι εἶναι τὸν ἄνθρωπον;

ΑΛ. Τίνων;

ΣΩ. Ψυχὴν ἢ σῶμα, ἢ ξυναμφότερον, τὸ ὅλον τοῦτο.

ΑΛ. Τί μήν;

ΣΩ. Ἀλλὰ μὴν αὐτό γε τὸ τοῦ σώματος ἄρχον ὡμολογήσαμεν ἄνθρωπον εἶναι;

ΑΛ. Ὡμολογήσαμεν.

ΣΩ. Ἆρ' οὖν σῶμα αὐτὸ αὑτοῦ ἄρχει;

ΑΛ. Οὐδαμῶς.

ΣΩ. Ἄρχεσθαι γὰρ αὐτὸ εἴπομεν.

ΑΛ. Ναί.

ΣΩ. Οὐκ ἂν δὴ τοῦτό γε εἴη ὃ ζητοῦμεν.

Al. Videtur. *So.* Quid est igitur homo? *Al.* Ignoro. *So.* Scis esse id, quod corpore utitur? *Al.* Scio. *So.* Aliudne utitur ipso quam anima? *Al.* Nil aliud. *So.* An non imperans? *Al.* Imperans. *So.* Quin etiam neminem hoc aliter aestimaturum puto. *Al.* Quidnam? *So.* Quin ex tribus unum aliquid homo sit. *Al.* Ex quibus? *So.* Aut animam videlicet, aut corpus, aut totum ipsum ex utrisque compositum. *Al.* Cur non? *So.* Veruntamen id quod imperat corpori, hominem esse confessi sumus. *Al.* Confessi sumus. *So.* Quid igitur homo? num sibi ipsi corpus imperat? *Al.* Nullo modo. *So.* Subilci enim illud diximus. *Al.* Certe. *So.* Non est igitur hoc quod quaerimus.

Αλ. Οὐκ ἔοικεν.

ΣΩ. Ἀλλ' ἄρα τὸ ξυναμφότερον τοῦ σώματος ἄρχει, καὶ ἔστι δὴ τοῦτο ἄνθρωπος;

Αλ. Ἴσως δῆτα.

ΣΩ. Πάντων γε ἥκιστα· μὴ γὰρ συναρχόντοιν τοῦ ἑτέρου οὐδεμία που μηχανὴ τὸ ξυναμφότερον ἄρχειν.

Αλ. Ὀρθῶς.

ΣΩ. Ἐπειδὴ δὲ οὔτε τὸ σῶμα οὔτε τὸ ξυναμφότερόν ἐστιν ἄνθρωπος, λείπεται, οἶμαι, ἢ μηδὲν αὐτὸ εἶναι, ἢ εἴ πέρ τί ἐστι, μηδὲν ἄλλο τὸν ἄνθρωπον συμβαίνειν ἢ ψυχήν.

Αλ. Κομιδῇ μὲν οὖν.

ΣΩ. Ἔτι οὖν τι σαφέστερον δεῖ ἀποδειχθῆναί σοι ὅτι ἡ ψυχή ἐστιν ἄνθρωπος;

Αλ. Μὰ Δί', ἀλλ' ἱκανῶς μοι δοκεῖ ἔχειν.

ΣΩ. Εἰ δέ γε μὴ ἀκριβῶς, ἀλλὰ καὶ μετρίως, ἐξαρκεῖ ἡμῖν· ἀκριβῶς μὲν γὰρ τότε εἰσόμεθα, ὅταν εὕρωμεν ὃ νῦν δὴ παρήλθομεν διὰ τὸ πολλῆς εἶναι σκέψεως.

Αλ. Τί τοῦτο;

ΣΩ. Ὅ ἄρτι οὕτω πως ἐρρήθη, ὅτι πρῶτον σκεπτέον εἴη αὐτὸ τὸ αὐτό· νῦν δὲ ἀντὶ τοῦ αὐτοῦ αὐτὸ ἕκαστον ἐσκέμμεθα ὅ τί ἐστι, καὶ ἴσως ἐξαρκέσει· οὐ

Al. Non, ut videtur. *So.* At utrumque simul forsitan corpori dominatur, atque id homo est? *Al.* Forte. *So.* Immo minime omnium. nam altero illorum non dominante, nulla coniectura est, ut simul utrumque dominetur. *Al.* Recte loqueris. *So.* Cum vero nec corpus nec simul utrumque sit homo, restat, ut arbitror, aut nihil omnino hominem esse, aut si quid est, nihil aliud esse quam animam. *Al.* Prorsus. *So.* Adhucne liquidius monstrari tibi oportet, animam esse hominem? *Al.* Non per Iovem: haec enim sufficere mihi videntur. *So.* Et si non in integrum haec discussa sunt, mediocriter tamen inducta in praesentia sufficiunt. nam tunc demum penitus comprehendemus, cum invenerimus, quod nunc, quia latiorem speculationem requireret, praetermisimus. *Al.* Quid istud? *So.* Quod paulo ante sic est dictum, quod prius considerandum sit ipsum quod ipsum, nunc vero pro eo, quod quidem est ipsum quod ipsum, consideravimus ipsum unumquodque quid est. Idque forte sufficiet, ni-

ἀρ᾽ που κυριώτερόν γε οὐδὲν ἂν ἡμῶν αὐτῶν φήσαιμεν ἢ τὴν ψυχήν.

Al. Οὐ δῆτα.

So. Οὐκοῦν καλῶς ἔχει οὕτω νομίζειν, ἐμὲ καὶ σὲ προσομιλεῖν ἀλλήλοις τοῖς λόγοις χρωμένους τῇ ψυχῇ πρὸς τὴν ψυχήν;

Al. Πάνυ μὲν οὖν.

So. Τοῦτ᾽ ἄρ᾽ ἦν ὃ καὶ ὀλίγῳ ἔμπροσθεν ἔλεγομεν, ὅτι Σωκράτης Ἀλκιβιάδῃ διαλέγεται λόγῳ χρώμενος, οὐ πρὸς τὸ σὸν πρόσωπον, ὡς ἔοικεν, ἀλλὰ πρὸς τὸν Ἀλκιβιάδην ποιούμενος τοὺς λόγους· τοῦτο δ᾽ ἐστὶν ἡ ψυχή.

Al. Ἔμοιγε δοκεῖ.

So. Ψυχὴν ἄρα ἡμᾶς κελεύει γνωρίσαι ὁ ἐπιτάττων γνῶναι ἑαυτόν.

Al. Ἔοικεν.

So. Ὃς τις ἄρα τῶν τοῦ σώματός τι γιγνώσκει, τὰ αὑτοῦ ἀλλ᾽ οὐχ αὐτὸν ἔγνωκεν.

Al. Οὕτως.

So. Οὐδεὶς ἄρα τῶν ἰατρῶν ἑαυτὸν γιγνώσκει, καθ᾽ ὅσον ἰατρός, οὐδὲ τῶν παιδοτριβῶν, καθ᾽ ὅσον παιδοτρίβης.

Al. Οὐκ ἔοικεν.

So. Πολλοῦ ἄρα δέουσιν οἱ γεωργοὶ καὶ οἱ ἄλλοι δημιουργοὶ γιγνώσκειν ἑαυτούς, οὐδὲ γὰρ τὰ ἑαυτῶν

hil enim in nobis ipsis principalius esse, quam animam, dicere possemus. *Al.* Non certe. *So.* Nonne decens est ita putare me scilicet ac te conspirare invicem, anima ad animam utente sermonibus? *Al.* Et maxime quidem. *So.* Hoc itaque erat, quo paulo ante dicebamus, quod Socrates cum Alcibiade disputa oratione utens, non ad personam tuam, ut appareat, sed ad A cibiadem verba dirigens. hoc autem anima est. *Al.* Mihi sa widetur. *So.* Animam igitur nosse iubet, qui praecipit, No te ipsum. *Al.* Videtur. *So.* Quicunque igitur corpus cognos sua quidem, non se ipsum, novit. *Al.* Sic est. *So.* Atque i nullus medicus, ut est medicus; neque gymnasticus, ut gym sticus, sese novit. *Al.* Non, ut videtur. *So.* Multo minus a colae aliique opifices se cognoscunt. neque enim se neque

οὗτοί γε, ὡς ἔοικεν, ἀλλ' ἔτι πορρωτέρω τῶν ἑαυτῶν κατά γε τὰς τέχνας ἃς ἔχουσι· τὰ γὰρ τοῦ σώματος γιγνώσκουσιν, οἷς τοῦτο θεραπεύεται.

Αλ. Ἀληθῆ λέγεις.

Σω. Εἰ ἄρα σωφροσύνη ἐστὶ τὸ ἑαυτὸν γιγνώσκειν, οὐδεὶς τούτων σώφρων κατὰ τὴν τέχνην.

Αλ. Οὐ μοι δοκεῖ.

Σω. Διὰ ταῦτα δὴ καὶ βάναυσοι αὗται αἱ τέχναι δοκοῦσιν εἶναι καὶ οὐκ ἀνδρὸς ἀγαθοῦ μαθήματα.

Αλ. Πάνυ μὲν οὖν.

Σω. Οὐκοῦν πάλιν ὅς τις αὖ σῶμα θεραπεύει, τὰ ἑαυτοῦ ἀλλ' οὐχ ἑαυτὸν θεραπεύει;

Αλ. Κινδυνεύει.

Σω. Ὅς τις δέ γε τὰ χρήματα, οὔθ' ἑαυτὸν οὔτε τὰ ἑαυτοῦ, ἀλλ' ἔτι πορρωτέρω τῶν ἑαυτοῦ;

Αλ. Ἔμοιγε δοκεῖ.

Σω. Οὐ τὰ αὐτοῦ ἄρ' ἔτι πράττει ὁ χρηματιστής.

Αλ. Ὀρθῶς.

Σω. Εἰ ἄρα τις γέγονεν ἐραστὴς τοῦ Ἀλκιβιάδου σώματος, οὐκ Ἀλκιβιάδου ἠράσθη ἀλλά τινος τῶν Ἀλκιβιάδου.

Αλ. Ἀληθῆ λέγεις.

Σω. Ὅς τις δέ σου τῆς ψυχῆς ἐρᾷ;

Αλ. Ἀνάγκη φαίνεται ἐκ τοῦ λόγου.

sed remotiora quaedam secundum artes suas considerant: iis enim intendunt, quibus corpus curatur. *Al.* Vera narras. *So.* Quare si prudentia est se ipsum cognoscere, nullus istorum secundum suam artem est prudens. *Al.* Non, ut videtur. *So.* Ob hoc mechanicae artes istae, non autem boni viri disciplinae videntur. *Al.* Prorsus. *So.* Nonne rursus quicunque corporis curam habet, sua quidem, non tamen se ipsum, curat? *Al.* Apparet. *So.* At vero qui pecuniae curae sunt, nec se nec sua, sed quae procul a suis sunt, curat. *Al.* Videtur. *So.* Non ergo suis indulget, qui pecunias cumulat. *Al.* Recte. *So.* Quisquis etiam corpus Alcibiadis amavit unquam, non Alcibiadem ipsum, sed quae Alcibiadis essent, amavit. *Al.* Vera loqueris. *So.* Qui vero te amat, amat animum. *Al.* Necessario sequi ex ratione tua videtur.

ΣΩ. Οὐκοῦν ὁ μὲν τοῦ σώματός σου ἐρῶν, ἐπειδὴ λήγει ἀνθοῦν, ἀπιὼν οἴχεται;

ΑΛ. Φαίνεται.

ΣΩ. Ὁ δέ γε τῆς ψυχῆς ἐρῶν οὐκ ἄπεισιν, ἕως ἂν ἐπὶ τὸ βέλτιον ἴῃ;

ΑΛ. Εἰκός γε.

ΣΩ. Οὐκοῦν ἐγώ εἰμι ὁ οὐκ ἀπιὼν ἀλλὰ παραμένων λήγοντος τοῦ σώματος, τῶν ἄλλων ἀπεληλυθότων;

ΑΛ. Εὖ γε ποιῶν, ὦ Σώκρατες· καὶ μηδὲ ἀπέλθοις.

ΣΩ. Προθυμοῦ τοίνυν ὅτι κάλλιστος εἶναι.

ΑΛ. Ἀλλὰ προθυμήσομαι.

ΣΩ. Ὡς οὕτω γέ σοι ἔχει· οὔτ' ἐγένετο, ὡς ἔοικεν, Ἀλκιβιάδῃ τῷ Κλεινίου ἐραστὴς οὔτ' ἔστιν ἀλλ' ἢ εἷς μόνος, καὶ οὗτος ἀγαπητός, Σωκράτης ὁ Σωφρονίσκου καὶ Φαιναρέτης.

ΑΛ. Ἀληθῆ.

ΣΩ. Οὐκοῦν ἔφησθα σμικρὸν φθῆναί με προσελθόντα σοι, ἐπεὶ πρότερος ἂν μοι προσελθεῖν, βουλόμενος πυθέσθαι διότι μόνος οὐκ ἀπέρχομαι;

ΑΛ. Ἦν γὰρ οὕτως.

ΣΩ. Τοῦτο τοίνυν αἴτιον, ὅτι μόνος ἐραστὴς ἦν σός, οἱ δ' ἄλλοι τῶν σῶν· τὰ δὲ σὰ λήγει ὥρας, οὐ

So. Nonne tui corporis amator, cum primum species defloreſcit, abiens deserit? *Al.* Apparet. *So.* At vero qui animum tuum diligit, nunquam deserit, donec ad meliorem frugem perveniat. *Al.* Consentaneum. *So.* Hanc ego ob causam te minime desero, verum in amicitia persevero, reliquis senescente corpore abeuntibus. *Al.* O quam bene facis, mi Socrates! ne in posterum me deseras, obsecro. *So.* At enitere, ut quam pulcherrimus fias. *Al.* Conabor. *So.* Sic se tua res habet: nec fuit unquam nec est, ut opinor, Alcibiadis Clinîae filii amator ullus praeter unum, et illum quidem amabilem, Socratem Sophronisci et Phaenaretae filium. *Al.* Vera dicis. *So.* Nonne dixisti me aliquantulum praevenisse, cum te salutatum venissem? nam statuisse te, ut prior me ipse conveniens interrogares, quamobrem solus ego te non reliquerim. *Al.* Sic erat. *So.* Haec procul dubio causa, quoniam amator tui solus eram, ceteri vero tuorum. tua sane la-

δ' ἄρχει ἀνθεῖν. καὶ νῦν γε ἂν μὴ διαφθαρῇς ὑπὸ τοῦ 132
Ἀθηναίων δήμου καὶ αἰσχίων γένῃ, οὐ μή σε ἀπολίπω. τοῦτο γὰρ δὴ μάλιστ' ἐγὼ φοβοῦμαι, μὴ δημαγωγὸς ἡμῖν γενόμενος διαφθαρῇς· πολλοὶ γὰρ ἤδη καὶ γαθοὶ αὐτὸ πεπόνθασιν Ἀθηναίων. εὐπρόσωπος γὰρ ὁ τοῦ μεγαλήτορος δῆμος Ἐρεχθέως· ἀλλ' ἀποδύντα χρὴ αὐτὸν θεάσασθαι. εὐλαβοῦ οὖν τὴν εὐλάβειαν ἣν ἐγὼ λέγω.

Αλ. Τίνα;

Σω. Γύμνασαι πρῶτον, ὦ μακάριε, καὶ μάθε ἃ δεῖ μαθόντα ἰέναι ἐπὶ τὰ τῆς πόλεως, πρότερον δὲ μή, ἵν' ἀλεξιφάρμακα ἔχων ἴῃς καὶ μηδὲν πάθῃς δεινόν.

Αλ. Εὖ μοι δοκεῖς λέγειν, ὦ Σώκρατες· ἀλλὰ πειρῶ ἐξηγεῖσθαι ὅν τιν' ἂν τρόπον ἐπιμεληθείμεν ἡμῶν αὐτῶν.

Σω. Οὐκοῦν τοσοῦτον μὲν ἡμῖν εἰς τὸ πρόσθε πεπέρανται· ὃ γὰρ ἐσμέν, ἐπιεικῶς ὡμολόγηται. ἐφοβούμεθα δὲ μὴ τούτου σφαλέντες λάθωμεν ἑτέρου τινὸς ἐπιμελόμενοι, ἀλλ' οὐχ ἡμῶν.

Αλ. Ἔστι ταῦτα.

Σω. Καὶ μετὰ τοῦτ' ἤδη τῆς ψυχῆς ἐπιμελητέον καὶ εἰς τοῦτο βλεπτέον.

buntur tempore, tu autem nunc primum florescis: ac deinceps quidem, nisi ab Atheniensi populo corrumparis, ac turpior evadas, nunquam te deseram. id enim vehementer timeo, ne amator populi factus, nobis corrumparis. multi enim et ingenui quidem apud Athenienses id passi sunt. nam bene personatus est magnanimi Erechthei populus. sed illum nudatum contueri oportet. adhibe igitur hanc, quam dico, cautionem. *Al.* Quam? *So.* Exue illum prius, o beate, ac disce quaecunque scienda sunt, antequam tractentur civilia, ut rem publicam adeas, ferens tecum alexipharmacum i. e. medicinam prohibentem mala, ne quid adversi aliquando patiaris. *Al.* Bene mihi dicere videris, o Socrates. verum conare iam nobis exponere, qua ratione nosmetipsos curemus. *So.* Nonne satis iam a nobis in superioribus definitum est? Quid enim simus, convenienter supra conclusimus. timebamus enim, ne in hoc decepti nos ipsos forsitan lateremus, alicuius alterius, non nostri curam habentes. *Al.* Est, ut dicis. *So.* Deinde concessum est, animae curam habendam semperque ad ipsam respiciendum.

Al. Δῆλον.

So. Σωμάτων δὲ καὶ χρημάτων τὴν ἐπιμέλειαν ἑτέροις παραδοτέον.

Al. Τί μήν;

So. Τίν' οὖν ἂν τρόπον γνοίημεν αὐτὰ ἐναργέστατα; ἐπειδὴ τοῦτο γνόντες, ὡς ἔοικε, καὶ ἡμᾶς αὐτοὺς γνωσόμεθα. ἆρα πρὸς θεῶν εὖ λέγοντος οὐ νῦν δὴ ἐμνήσθημεν τοῦ Δελφικοῦ γράμματος οὐ ξυνίεμεν;

Al. Τὸ ποῖόν τι διανοούμενος λέγεις, ὦ Σώκρατες;

So. Ἐγώ σοι φράσω, ὅ γε ὑποπτεύω λέγειν καὶ ξυμβουλεύειν ἡμῖν τοῦτο τὸ γράμμα. κινδυνεύει γὰρ οὐδὲ πολλαχοῦ εἶναι παράδειγμα αὐτοῦ, ἀλλὰ κατὰ τὴν ὄψιν μόνον.

Al. Πῶς τοῦτο λέγεις;

So. Σκόπει καὶ σύ. εἰ ἡμῶν τῷ ὄμματι ὡς περ ἀνθρώπῳ ξυμβουλεύων εἶπεν ἰδὲ σαυτόν, πῶς ἂν ὑπελάβομεν τί παραινεῖν; ἆρ' οὐχὶ εἰς τοῦτο βλέπειν, εἰς ὃ βλέπων ὁ ὀφθαλμὸς ἔμελλεν αὐτὸν ἰδεῖν;

Al. Δῆλον.

So. Ἐννοῶμεν δή, εἰς τί βλέποντες τῶν ὄντων ἐκεῖνό τε ὁρῷμεν ἂμ' ἂν καὶ ἡμᾶς αὐτούς;

Al. Δῆλον δή, ὦ Σώκρατες, ὅτι εἰς κάτοπτρά τε καὶ τὰ τοιαῦτα.

Al. Manifestum est. *So.* Corporum vero pecuniarumque curam aliis relinquendam. *Al.* Quidni? *So.* Quonam igitur pacto isthæc perspicue noscceremus, postquam hoc intellecto nos quoque ipsos intelligemus? an forte per deos ipsam inscriptionem Delphicam recte monentem, cuius supra mentionem fecimus, nondum intelleximus? *Al.* Quidnam animadvertens sic ais, o Socrates? *So.* Dicam tibi, quod suspicor hanc inscriptionem nobis consulere, neque vero passim eius exemplar, sed in visu solum inveniri posse videtur. *Al.* Quomodo id ais? *So.* Contemplare tu quoque: Si oculo nostro quemadmodum homini consuluisset, Vide te ipsum: quomodo id admonuisse arbitraremur? nonne ut in illud inspiceret oculus, ex cuius intuitu se ipsum visurus esset? *Al.* Constat. *So.* Consideremus itaque, in quid potissimum intuentes, illud simul ac nos ipsos videremus. *Al.* In speculo et aliis huiusmodi.

ΣΩ. Ὀρθῶς λέγεις. οὐκοῦν καὶ τῷ ὀφθαλμῷ ᾧ ὁρῶμεν ἔνεστί τι τῶν τοιούτων;

ΑΛ. Πάνυ γε.

ΣΩ. Ἐννενόηκας οὖν ὅτι τοῦ ἐμβλέποντος εἰς τὸν ὀφθαλμὸν τὸ πρόσωπον ἐμφαίνεται ἐν τῇ τοῦ καταντικρὺ ὄψει ὥς περ ἐν κατόπτρῳ, ὃ δὴ καὶ κόρην καλοῦμεν, εἴδωλόν ὄν τι τοῦ ἐμβλέποντος; 133

ΑΛ. Ἀληθῆ λέγεις.

ΣΩ. Ὀφθαλμὸς ἄρα ὀφθαλμὸν θεώμενος, καὶ ἐμβλέπων εἰς τοῦτο ὃ περ βέλτιστον αὐτοῦ καὶ ᾧ ὁρᾷ, οὕτως ἂν αὐτὸν ἴδοι;

ΑΛ. Φαίνεται.

ΣΩ. Εἰ δέ γε εἰς ἄλλο τῶν τοῦ ἀνθρώπου βλέποι ἢ τι τῶν ὄντων, πλὴν εἰς ἐκεῖνο ᾧ τοῦτο τυγχάνει ὅμοιον, οὐκ ὄψεται ἑαυτόν.

ΑΛ. Ἀληθῆ λέγεις.

ΣΩ. Ὀφθαλμὸς ἄρα εἰ μέλλει ἰδεῖν ἑαυτόν, εἰς ὀφθαλμὸν αὐτῷ βλεπτέον, καὶ τοῦ ὄμματος εἰς ἐκεῖνον τὸν τόπον ἐν ᾧ τυγχάνει ἡ ὀφθαλμοῦ ἀρετὴ ἐγγιγνομένη· ἔστι δὲ τοῦτό που ἡ ὄψις.

ΑΛ. Οὕτως.

ΣΩ. Ἆρ' οὖν, ὦ φίλε Ἀλκιβιάδη, καὶ ψυχὴ εἰ μέλλει γνώσεσθαι αὑτήν, εἰς ψυχὴν αὐτῇ βλεπτέον, καὶ μάλιστ' εἰς τοῦτον αὐτῆς τὸν τόπον ἐν ᾧ ἐγγίγνεται ἡ

So. Recte loqueris, sed oculo, quo videmus, an non inest huiusmodi quiddam? *Al.* Valde. *So.* Num advertisti, quod facies hominis in oculum intuentis in oppositi visu relucet velut in speculo? quam supremam vocamus pupillam, simulacrum inspicientis exsistens. *Al.* Adverti. *So.* Oculus igitur ita demum se ipsum cernit, cum in oculum inspicit, in idque praeterea intendit, quod oculi optimum est, et quo oculus ipse videt. *Al.* Apparet. *So.* Si autem in aliud quoddam hominis membrum respexerit, vel in quodvis aliud, praeterquam id cuius hoc est simile, haudquaquam se ipsum percipiet. *Al.* Verum. *So.* Oculus ergo cum se ipsum visurus est, in oculum respicere debet, atque in eum oculi locum, in quo virtus est oculi, is autem visus atque pupillae acies est. *Al.* Sic est. *So.* Eodem pacto et anima, o amice Alcibiades, si se ipsam noscere vult, in animam intueatur, in eumque praecipue locum animae, in quo inest

ψυχῆς ἀρετή, σοφία, καὶ εἰς ἄλλο ᾧ τοῦτο συγχάνει ὅμοιον ὄν;

Αλ. Ἔμοιγε δοκεῖ, ὦ Σώκρατες.

Σω. Ἔχομεν οὖν εἰπεῖν ὅ τί ἐστι τῆς ψυχῆς νοερώτερον ἢ τοῦτο περὶ ὃ τὸ εἰδέναι τε καὶ φρονεῖν ἐστίν;

Αλ. Οὐκ ἔχομεν.

Σω. Τῷ θεῷ ἄρα τοῦτ' ἔοικεν αὐτῆς, καί τις εἰς τοῦτο βλέπων καὶ πᾶν τὸ θεῖον γνούς, θεόν τε καὶ φρόνησιν, οὕτω καὶ ἑαυτὸν ἂν γνοίη μάλιστα.

Αλ. Φαίνεται.

Σω. Τὸ δὲ γιγνώσκειν αὐτὸν ὁμολογοῦμεν σωφροσύνην εἶναι.

Αλ. Πάνυ γε.

Σω. Ἆρ' οὖν μὴ γιγνώσκοντες ἡμᾶς αὐτοὺς μηδὲ σώφρονες ὄντες δυναίμεθ' ἂν εἰδέναι τὰ ἡμέτερα αὐτῶν κακά τε καὶ ἀγαθά;

Αλ. Καὶ πῶς ἄν τοῦτο γένοιτο, ὦ Σώκρατες;

Σω. Ἀδύνατον ἴσως σοι φαίνεται μὴ γιγνώσκοντα Ἀλκιβιάδην τὰ Ἀλκιβιάδου γιγνώσκειν ὅτι Ἀλκιβιάδου ἐστίν.

Αλ. Ἀδύνατον μέντοι νὴ Δία.

Σω. Οὐδ' ἄρα τὰ ἡμέτερα ὅτι ἡμέτερα, εἰ μηδ' ἡμᾶς αὐτούς;

Αλ. Πῶς γάρ;

virtus animae, sapientia, et in aliud, cuius hoc est simile. *Al.* Mihi quidem videtur, o Socrates. *So.* Num reperire possum quippiam in anima divinius illo, circa quod intelligentia s pientiaque versatur? *Al.* Nequaquam. *So.* Id igitur animae vini simile est, in quo sane quis intuens, et omne divinu Deum scilicet et sapientiam cernens, sic se ipsum prorsus ag scet. *Al.* Apparet. *So.* Se ipsum vero cognoscere, prud tiam esse concedimus. *Al.* Prorsus. *So.* Si autem nec nos i cognosceremus nec prudentes essemus, possemusne nostra mala sive bona nosse? *Al.* Quomodo hoc fieri posset, o crates? *So.* Impossibile tibi forte videtur, quenquam non gnoscentem Alcibiadem, tamen quae Alcibiadis sunt, quo cibiadis sint, cognoscere? *Al.* Impossibile per Iovem. *So.* nostra, quod nostra sint, nisi prius nos ipsos? *Al.* Nullo

ΣΩ. Εἰ δ' ἄρα μηδὲ τὰ ἡμέτερα, οὐδὲ τὰ τῶν ἡμετέρων;

ΑΛ. Οὐ φαίνεται.

ΣΩ. Οὐκ ἄρα πάνυ τι ὀρθῶς ὡμολογοῦμεν ὁμολογοῦντες ἄρτι εἶναί τινας οἳ ἑαυτοὺς μὲν οὐ γιγνώσκουσι, τὰ δὲ ἑαυτῶν· ἀλλ' οὐδὲ τὰ τῶν ἑαυτῶν. ἔοικε γὰρ πάντα ταὐτὰ εἶναι κατιδεῖν ἑνός τε καὶ μιᾶς τέχνης, αὐτόν, τὰ αὑτοῦ, τὰ τῶν ἑαυτοῦ.

ΑΛ. Κινδυνεύει.

ΣΩ. Ὃς τις δὲ τὰ αὑτοῦ ἀγνοεῖ, καὶ τὰ τῶν ἄλλων που ἂν ἀγνοοῖ κατὰ ταὐτά.

ΑΛ. Τί μήν;

ΣΩ. Οὐκοῦν εἰ τὰ τῶν ἄλλων, καὶ τὰ τῶν πόλεων ἀγνοήσει.

ΑΛ. Ἀνάγκη.

ΣΩ. Οὐκ ἄρ' ἂν γένοιτο ὁ τοιοῦτος ἀνὴρ πολιτικός.

ΑΛ. Οὐ δῆτα.

ΣΩ. Οὐ μὴν οὐδ' οἰκονομικός γε.

ΑΛ. Οὐ δῆτα.

ΣΩ. Οὐδέ γε εἴσεται ὅ τι πράττει. 134

ΑΛ. Οὐ γὰρ οὖν.

ΣΩ. Ὁ δὲ μὴ εἰδὼς οὐχ ἁμαρτήσεται;

ΑΛ. Πάνυ γε.

ΣΩ. Ἐξαμαρτάνων δὲ οὐ κακῶς πράξει ἰδίᾳ τε καὶ δημοσίᾳ;

So. Si nostra ignoremus, nec ea, quae nostrorum sunt, intelligemus? *Al.* Non, ut videtur. *So.* Non igitur recte omnino consensimus, cum supra quosdam esse assereremus, qui se ignorantes, sua tamen dignoscerent. Atqui nec ea etiam, quae suorum. haec enim cuncta dignoscere unius atque eiusdem artis officium esse videtur, se ipsum scilicet, et quae sua sunt, et quae suorum. *Al.* Videtur. *So.* At qui sua ignorat, ignorat et aliena. *Al.* Cur non? *So.* Num igitur, si aliena, etiam quae civitatum sunt, ignorabit? *Al.* Necesse est. *So.* Nunquam ergo hic vir civilis esset. *Al.* Non certe. *So.* Nec oeconomicus etiam. *Al.* Neque hoc. *So.* Nec quod agit, intelliget. *Al.* Minime. *So.* Ignorans autem, nonne errabit? *Al.* Maxime. *So.* Qui vero errat, an non male aget et privatim et publice?

ΑΛ. Πῶς δ' οὔ;

ΣΩ. Κακῶς δὲ πράττων οὐκ ἄθλιος;

ΑΛ. Σφόδρα γε.

ΣΩ. Τί δ' οἷς οὗτος πράττει;

ΑΛ. Καὶ οὗτοι.

ΣΩ. Οὐκ ἄρ' οἷόν τε, ἐὰν μή τις σώφρων καὶ ἀγαθὸς ᾖ, εὐδαίμονα εἶναι.

ΑΛ. Οὐχ οἷόν τε.

ΣΩ. Οἱ ἄρα κακοὶ τῶν ἀνθρώπων ἄθλιοι.

ΑΛ. Σφόδρα γε.

ΣΩ. Οὐκ ἄρα οὐδ' ὁ πλουτήσας ἀθλιότητος ἀπαλλάττεται, ἀλλ' ὁ σωφρονήσας.

ΑΛ. Φαίνεται.

ΣΩ. Οὐκ ἄρα τειχῶν οὐδὲ τριήρων οὐδὲ νεωρίων δέονται αἱ πόλεις, ὦ Ἀλκιβιάδη, εἰ μέλλουσιν εὐδαιμονήσειν, οὐδὲ πλήθους οὐδὲ μεγέθους ἄνευ ἀρετῆς.

ΑΛ. Οὐ μέντοι.

ΣΩ. Εἰ δὴ μέλλεις τὰ τῆς πόλεως πράξειν ὀρθῶς καὶ καλῶς, ἀρετῆς σοι μεταδοτέον τοῖς πολίταις.

ΑΛ. Πῶς γὰρ οὔ;

ΣΩ. Δύναιτο δ' ἄν τις μεταδιδόναι ὃ μὴ ἔχοι;

ΑΛ. Καὶ πῶς;

ΣΩ. Αὐτῷ ἄρα σοὶ πρῶτον κτητέον ἀρετήν, ἄλλῳ ὃς μέλλει μὴ ἰδίᾳ μόνον αὑτοῦ τε καὶ τῶν

Al. Quidni? *So.* Male agens, nonne miser? *Al.* Et ma quidem. *So.* An vero et ii, quibuscum haec agit? *Al.* E quoque. *So.* Nemo itaque felix esse potest, nisi sapiens bo que sit. *Al.* Nemo. *So.* Sequitur, ut mali homines miseri *Al.* Apprime. *So.* Non ergo qui dives fit, sed qui pr miseriam vitat. *Al.* Videtur. *So.* Quamobrem nec mo nec navibus triremibusque atque navalibus, o Alcibiade multitudine nec amplitudine sine virtute civitas ad feli indiget. *Al.* Non profecto. *So.* Si recte civitatem guberr es, virtute imbuendi sunt cives. *Al.* Quidni? *So.* Nu quis potest aliis, quod ipse non habet? *Al.* At quomod Ergo virtute prius ornatus ipse debet esse, quicunque r

τοῦ ἄρξειν καὶ ἐπιμελήσεσθαι, ἀλλὰ πόλεως καὶ τῶν τῆς πόλεως.

Αλ. Ἀληθῆ λέγεις.

Σω. Οὐκ ἄρα ἐξουσίαν σοι οὐδ' ἀρχὴν παρασκευαστέον σαυτῷ ποιεῖν ὅ τι ἂν βούλῃ; οὐδὲ τῇ πόλει, ἀλλὰ δικαιοσύνην καὶ σωφροσύνην.

Αλ. Φαίνεται.

Σω. Δικαίως μὲν γὰρ πράττοντες καὶ σωφρόνως σύ τε καὶ ἡ πόλις θεοφιλῶς πράξετε.

Αλ. Εἰκός γε.

Σω. Καὶ ὃ περ γε ἐν τοῖς πρόσθεν ἐλέγομεν, εἰς τὸ θεῖον καὶ λαμπρὸν ὁρῶντες πράξετε.

Αλ. Φαίνεται.

Σω. Ἀλλὰ μὴν ἐνταῦθά γε βλέποντες ὑμᾶς τε αὐτοὺς καὶ τὰ ὑμέτερα ἀγαθὰ κατόψεσθε καὶ γνώσεσθε.

Αλ. Ναί.

Σω. Οὐκοῦν ὀρθῶς τε καὶ εὖ πράξετε;

Αλ. Ναί.

Σω. Ἀλλὰ μὴν οὕτω γε πράττοντας ὑμᾶς ἐθέλω ἐγγυήσασθαι ἢ μὴν εὐδαιμονήσειν.

Αλ. Ἀσφαλὴς γὰρ εἶ ἐγγυητής.

Σω. Ἀδίκως δὲ πράττοντες; εἰς τὸ ἄθεον καὶ τὸ σκοτεινὸν βλέποντες, ὡς τὰ εἰκότα, ὅμοια τούτοις πράξετε ἀγνοοῦντες ὑμᾶς αὐτούς.

tantum ac suis, sed reipublicae etiam, et iis, quae ad eam spectant, imperaturus est. *Al.* Vera dicis. *So.* Nec igitur principatus neque licentia quodlibet faciendi, aut tibi aut rei publicae, verum iustitia potius et prudentia comparanda. *Al.* Apparet. *So.* Iuste enim ac prudenter agentes et tu simul et tua res publica Deo gratum opus efficietis. *Al.* Decens est. *So.* Et quemadmodum supra diximus, in divinum splendorem intuentes agetis. *Al.* Videtur. *So.* Quin etiam illuc respicientes, vosmet vestraque bona perspicue discernetis. *Al.* Certe. *So.* Nonne sic recte atque bene agetis? *Al.* Agemus. *So.* Enimvero fideiubere paratus sum, vos, si ita vixeritis, felices fore. *Al.* Locuples certe fideiussor. *So.* Contra, si iniuste vixeritis, despicientes in tenebras divinitatis expertes, consimilia istis opera, ut consentaneum est, efficietis, vos ipsos penitus ignorantes.

Al. Ἔοικεν.

So. Ὦι γάρ, ὦ φίλε Ἀλκιβιάδη, ἐξουσία μὲν ᾧ ποιεῖν ὃ βούλεται, νοῦν δὲ μὴ ἔχῃ, τί τὸ εἰκὸς συμβαίνειν, ἰδιώτῃ ἢ καὶ πόλει; οἷον νοσοῦντι ἐξουσίας οὔσης δρᾶν ὃ βούλεται, νοῦν ἰατρικὸν μὴ ἔχοντι, τυραννοῦντι δέ, ὡς μηδὲ ἐπιπλήττοι τις αὐτῷ, τί τὸ συμβησόμενον; ἆρ' οὐχ, ὡς τὸ εἰκός, διαφθαρῆναι τὸ σῶμα;

Al. Ἀληθῆ λέγεις.

So. Τί δ' ἐν νηΐ, εἴ τῳ ἐξουσία εἴη ποιεῖν ὃ δοκεῖ, νοῦ τε καὶ ἀρετῆς κυβερνητικῆς ἐστερημένῳ, καθορᾷς ἃ ἂν ξυμβαίνοι αὐτῷ τε καὶ τοῖς ξυνναύταις;

Al. Ἔγωγε, ὅτι γε ἀπόλοιντο πάντες ἄν.

So. Οὐκοῦν ὡσαύτως ἐν πόλει τε καὶ πάσαις ἀρχαις καὶ ἐξουσίαις ἀπολειπομέναις ἀρετῆς ἕπεται τὸ κακῶς πράττειν;

Al. Ἀνάγκη.

So. Οὐκ ἄρα τυραννίδα χρή, ὦ ἄριστε Ἀλκιβιάδη, παρασκευάζεσθαι οὔθ' ἑαυτῷ οὔτε τῇ πόλει, εἰ μέλλετε εὐδαιμονεῖν, ἀλλ' ἀρετήν.

Al. Ἀληθῆ λέγεις.

So. Ἠὶν δέ γε ἀρετὴν ἔχειν τὸ ἄρχεσθαι ἄμεινον ὑπὸ τοῦ βελτίονος ἢ τὸ ἄρχειν ἀνδρί, οὐ μόνον παιδί.

Al. Videtur. *So.* Cui enim, o amice Alcibiades, potestas adest, quodcunque libuerit conficiendi, mente vero captus est, quidnam conveniens est illi contingere, seu privatus ille quidem, sive res publica sit? veluti si aegrotanti cuidam libera licentia sit, rationem medici non habenti, sed tanquam tyrannidem exercenti, ut nemo eum absterrere valeat: quid illi eventurum est? nonne verisimile est, ut corpus corrumpatur? *Al.* Vera loqueris. *So.* Quid vero, si in navi apud quempiam omnis licentia sit, quodcunque videatur agendi, mente tamen et gubernandi peritia careat, num cernis, quae sibi et sociis eventura sint? *Al.* Opinor equidem, illum se ipsum una atque socios perditurum. *So.* Nonne igitur omni rei publicae omnique imperio et dominationi, ubi virtus deest, contingit, ut male agat? *Al.* Necesse est. *So.* Non ergo tyrannis, optime Alcibiades, aut nobis aut rei publicae paranda est, sed virtus, modo felices esse velimus. *Al.* Vera dicis. *So.* Ceterum antequam virtus adsit, praestat viro, non modo puero, regi a meliore, quam regere.

ΑΛ. Φαίνεται.

ΣΩ. Οὐκοῦν τό γε ἄμεινον καὶ κάλλιον;

ΑΛ. Ναί.

ΣΩ. Τὸ δὲ κάλλιον πρεπωδέστερον;

ΑΛ. Πῶς δ' οὔ;

ΣΩ. Πρέπει ἄρα τῷ κακῷ δουλεύειν· ἄμεινον γάρ.

ΑΛ. Ναί.

ΣΩ. Δουλοπρεπὲς ἄρα ἡ κακία.

ΑΛ. Φαίνεται.

ΣΩ. Ἐλευθεροπρεπὲς δὲ ἡ ἀρετή.

ΑΛ. Ναί.

ΣΩ. Οὐκοῦν φεύγειν χρή, ὦ ἑταῖρε, τὴν δουλοπρέπειαν;

ΑΛ. Μάλιστά γε, ὦ Σώκρατες.

ΣΩ. Αἰσθάνει δὲ νῦν πῶς ἔχεις; ἐλευθεροπρεπῶς ἢ οὔ;

ΑΛ. Δοκῶ μοι καὶ μάλα σφόδρα αἰσθάνεσθαι.

ΣΩ. Οἶσθα οὖν πῶς ἀποφεύξει τοῦτο τὸ περὶ σὲ νῦν; ἵνα μὴ ὀνομάζωμεν αὐτὰ ἐπὶ καλῷ ἀνδρί.

ΑΛ. Ἔγωγε.

ΣΩ. Πῶς;

ΑΛ. Ἐὰν βούλῃ σύ, ὦ Σώκρατες.

ΣΩ. Οὐ καλῶς λέγεις, ὦ Ἀλκιβιάδη.

ΑΛ. Ἀλλὰ πῶς χρὴ λέγειν;

ΣΩ. Ὅτι ἐὰν θεὸς ἐθέλῃ.

Al. Apparet. *So.* Nonne quod melius est, idem et pulchrius? *Al.* Sic est. *So.* Quod pulchrius, decentius? *Al.* Quidni? *So.* Decet itaque malum servire. melius enim est. *Al.* Decet. *So.* Servilis ergo pravitas. *Al.* Apparet. *So.* Liberalis autem virtus. *Al.* Ita est. *So.* Nonne, o amice, servitus fugienda? *Al.* Maxime quidem, o Socrates. *So.* Advertis, quomodo te nunc habeas? utrum liberaliter an contra? *Al.* Et maxime quidem, ut mihi videor, hoc sentio. *So.* Nostine, quo pacto id quod nunc te occupat, fugare queas? nolim enim istud in claro homine nominare. *Al.* Novi equidem. *So.* Quomodo igitur? *Al.* Si ipse volueris, o Socrates. *So.* Haud recte loqueris, Alcibiades. *Al.* At quomodo dicendum est? *So.* Si Deus voluerit.

ΑΛ. Λέγω δή. καὶ πρὸς τούτοις μέντοι τόδε λέγω, ὅτι κινδυνεύσομεν μεταβαλεῖν τὸ σχῆμα, ὦ Σώκρατες, τὸ μὲν σὸν ἐγώ, σὺ δὲ τοὐμόν· οὐ γὰρ ἔστιν ὅπως οὐ παιδαγωγήσω σε ἀπὸ τῆσδε τῆς ἡμέρας, σὺ δ' ὑπ' ἐμοῦ παιδαγωγήσει.

ΣΩ. Ὦ γενναῖε, πελαργοῦ ἄρα ὁ ἐμὸς ἔρως οὐδὲν διοίσει, εἰ παρὰ σοὶ ἐννεοττεύσας ἔρωτα ὑπόπτερον ὑπὸ τούτου πάλιν θεραπεύσεται.

ΑΛ. Ἀλλ' οὕτως ἔχει, καὶ ἄρξομαί γε ἐντεῦθεν τῆς δικαιοσύνης ἐπιμέλεσθαι.

ΣΩ. Βουλοίμην ἄν σε καὶ διατελέσαι· ὀρρωδῶ δέ, οὔτι τῇ σῇ φύσει ἀπιστῶν ἀλλὰ τὴν τῆς πόλεως ὁρῶν ῥώμην, μὴ ἐμοῦ τε καὶ σοῦ κρατήσῃ.

Al. Dico equidem, atque hoc insuper addo, quod periclitabimur figuras invicem commutare, tuam quidem ego induens, tu autem meam. fieri enim non potest, quin ego te deinceps ducam, tu autem a me ducaris. *So.* O generose, nihilo igitur meus in te amor a ciconia differt, si postequam prope te velut in nido amorem alatum foverit, ab illo iterum nutriatur. *Al.* Profecto sic se res habet: et incipiam hinc iam iustitiam meditari. *So.* O quam te velim perseverare! timeo autem, naturae tuae diffidens, huiusque civitatis robur intelligens, ne id me simul, ac te vincat.

ΜΕΝΕΞΕΝΟΣ

ΤΑ ΤΟΥ ΔΙΑΛΟΓΟΥ ΠΡΟΣΩΠΑ

ΣΩΚΡΑΤΗΣ, ΜΕΝΕΞΕΝΟΣ.

SOCRATES, MENEXENUS.

Ἐξ ἀγορᾶς ἢ πόθεν Μενέξενος; 234

MEN. Ἐξ ἀγορᾶς, ὦ Σώκρατες, καὶ ἀπὸ τοῦ βουλευτηρίου.

ΣΩ. Τί μάλιστα σὺ πρὸς βουλευτήριον; ἢ δῆλα δὴ ὅτι παιδεύσεως καὶ φιλοσοφίας ἐπὶ τέλει ἤγεῖ εἶναι, καὶ ὡς ἱκανῶς ἤδη ἔχων ἐπὶ τὰ μείζω ἐπινοεῖς τρέπεσθαι, καὶ ἄρχειν ἡμῶν, ὦ θαυμάσιε, ἐπιχειρεῖς τῶν πρεσβυτέρων τηλικοῦτος ὤν, ἵνα μὴ ἐκλίπῃ ὑμῶν ἡ οἰκία ἀεί τινα ἡμῶν ἐπιμελητὴν παρεχομένη;

MEN. Ἐὰν σύ γε, ὦ Σώκρατες, ἐᾷς καὶ συμβουλεύῃ ἄρχειν, προθυμήσομαι· εἰ δὲ μή, οὔ. νῦν μέντοι ἐφικόμην πρὸς τὸ βουλευτήριον πυθόμενος ὅτι ἡ βουλὴ μέλλει αἱρεῖσθαι ὅς τις ἐρεῖ ἐπὶ τοῖς ἀποθανοῦσι· ναφὰς γὰρ οἶσθ' ὅτι μέλλουσι ποιεῖν.

ΣΩ. Πάνυ γε, ἀλλὰ τίνα εἵλοντο;

MEN. Οὐδένα, ἀλλὰ ἀνεβάλοντο εἰς τὴν αὔριον, οἶμαι μέντοι Ἀρχῖνον ἢ Δίωνα αἱρεθήσεσθαι.

E foro venis, Menexene? an unde? *Men.* E foro, o Socrates, et a senatu. *So.* Quid tu ad senatum? An forte quia disciplinae philosophiaeque finem adeptum iam et satis profecisse te putas, maiora posthac aggredi studes; nobisque senioribus ipse adeo iunior imperare: ut familia vestra semper, sicut solita est, aliquem nobis exhibeat consultorem? *Men.* Si ipse permittis, o Socrates, consulisque, operam dabo: sin contra, nequaquam. Nunc vero ideirco ad consilium profectus sum, quoniam audiveram eligendum esse aliquem, qui laudibus defunctos ornet. nam, ut scis, inferias facturi sunt. *So.* Audivi equidem. sed quem potissimum elegerunt? *Men.* Nullum: nam in crastinum distulerunt, arbitror autem Archinum vel Dionem electum iri.

ΣΩ. Καὶ μήν, ὦ Μενέξενε, πολλαχῇ κινδυνεύει καλὸν εἶναι τὸ ἐν πολέμῳ ἀποθνήσκειν. καὶ γὰρ ταφῆς καλῆς τε καὶ μεγαλοπρεποῦς τυγχάνει, καὶ ἐὰν πένης τις ὢν τελευτήσῃ, καὶ ἐπαίνου αὖ ἔτυχε, καὶ ἐὰν φαῦλος ᾖ, ὑπ' ἀνδρῶν σοφῶν τε καὶ οὐκ εἰκῇ ἐπαινούντων ἀλλὰ ἐκ πολλοῦ χρόνου λόγους παρεσκευασμένων, οἳ οὕτω καλῶς ἐπαινοῦσιν ὥστε καὶ τὰ προσόντα καὶ τὰ μὴ περὶ ἑκάστου λέγοντες, κάλλιστά πως τοῖς ὀνόμασι ποικίλλοντες, γοητεύουσιν ἡμῶν τὰς ψυχάς, καὶ τὴν πόλιν ἐγκωμιάζοντες καὶ πάντας τρόπους καὶ τοὺς τετελευτηκότας ἐν τῷ πολέμῳ καὶ τοὺς προγόνους ἡμῶν ἅπαντας τοὺς ἔμπροσθεν καὶ αὐτοὺς ἡμᾶς τοὺς ἔτι ζῶντας ἐπαινοῦντες, ὥστ' ἔγωγε, ὦ Μενέξενε, γενναίως πάνυ διατίθεμαι ἐπαινούμενος ὑπ' αὐτῶν, καὶ ἑκάστοτε ἕστηκα ἀκροώμενος καὶ κηλούμενος, ἡγούμενος ἐν τῷ παραχρῆμα μείζων καὶ γενναιότερος καὶ καλλίων γεγονέναι. καὶ οἷα δὴ τὰ πολλὰ ἀεὶ μετ' ἐμοῦ ξένοι τινὲς ἔπονται καὶ ξυνακροῶνται, πρὸς οὓς ἐγὼ σεμνότερος ἐν τῷ παραχρῆμα γίγνομαι· καὶ γὰρ ἐκεῖνοι ταὐτὰ ταῦτα δοκοῦσί μοι πάσχειν καὶ πρὸς ἐμὲ καὶ πρὸς τὴν ἄλλην πόλιν, θαυμασιωτέραν αὐτὴν ἡγεῖσθαι εἶναι

So. Videtur, Menexene, apud plurimas gentes praeclarum es in bello occumbere. etenim qui sic e vita migrat, funere et s pulcro magnificentissimo honoratur. et sive pauper quis ita c cedat, laudatione non caret; sive etiam vilis quispiam et ig vus, rursus a sapientibus viris extollitur: qui non frustra temere, sed mature composita et consulta oratione tam egr laudant, ut dum et quae adsunt et quae non adsunt, de ali praedicant, verborum elegantia auditoribus animos, quasi p stigiis veneficiisve quibusdam, surripiant atque subducant. vitatem quoque interim, ut lubet, exornant, et eos qui ir mis occubuerunt; maiorumque retexunt nostrorum origi nos quoque ipsos adhuc viventes extollunt. Quapropte quidem, Menexene, ab illis elatus, generose admodum soleo: cumque illis passim aures praebeo, mirifica suavit mulceor, statimque me maiorem, generosiorem, pulch quam antea reputo. ac saepenumero hospites aliqui mecu audiunt, egoque erga illos e vestigio praestantior quar reddor. nempe et illis idem, quod mihi, videtur accide erga me quam reliquam civitatem. nam ab oratore

ἢ πρότερον, ὑπὸ τοῦ λέγοντος ἀναπειθόμενοι, καὶ μοι αὕτη ἡ σεμνότης παραμένει ἡμέρας πλείω ἢ τρεῖς· ῥᾳστώνης ἔνυλος ὁ λόγος τε καὶ ὁ φθόγγος παρὰ τοῦ λέγοντος ἐνδύεται εἰς τὰ ὦτα, ὥστε μόγις τετάρτῃ ἢ πέμπτῃ ἡμέρᾳ ἀναμιμνήσκομαι ἐμαυτοῦ καὶ αἰσθάνομαι οὗ γῆς εἰμί, τέως δὲ οἶμαι μόνον οὐκ ἐν μακάρων νήσοις οἰκεῖν· οὕτως ἡμῖν οἱ ῥήτορες δεξιοί εἰσιν.

MEN. Ἀεὶ σὺ προσπαίζεις, ὦ Σώκρατες, τοὺς ῥήτορας. νῦν μέντοι οἶμαι ἐγὼ τὸν αἱρεθέντα οὐ πάνυ εὐπορήσειν· ἐξ ὑπογυίου γὰρ παντάπασιν ἡ αἵρεσις γέγονεν, ὥστε ἴσως ἀναγκασθήσεται ὁ λέγων ὡς περ αὐτοσχεδιάζειν.

ΣΩ. Πόθεν, ὦ γαθέ; εἰσὶν ἑκάστοις τούτων λόγοι παρεσκευασμένοι, καὶ ἅμα οὐδὲ αὐτοσχεδιάζειν τά γε τοιαῦτα χαλεπόν. εἰ μὲν γὰρ δέοι Ἀθηναίους ἐν Πελοποννησίοις εὖ λέγειν ἢ Πελοποννησίους ἐν Ἀθηναίοις, ἀγαθοῦ ἂν ῥήτορος δέοι τοῦ πείσοντος καὶ εὐδοκιμήσοντος· ὅταν δέ τις ἐν τούτοις ἀγωνίζηται οὓς περ καὶ ἐπαινεῖ, οὐδὲν μέγα δοκεῖν εὖ λέγειν.

MEN. Οὐκ οἶει, ὦ Σώκρατες;

ΣΩ. Οὐ μέντοι μὰ Δία.

mirabiliorem quam prius civitatem existimant. Atque gloriosa haec venustas mihi triduum ultra permanet. adeo concinna oratio canoraque vox oratoris ore demanans auribus meis infunditur, ut vix tandem quarta post die vel quinta mei ipsius reminiscar, et ubinam gentium sim, agnoscam. ac tunc demum me fuisse deceptum animadverto, cum me ante putaverim in beatorum insulis constitutum: usque adeo rhetores apud nos ingeniosi sunt. *Men.* Semper adversus rhetores iocaris, o Socrates. Nunc autem suspicor, ne illi qui eligetur, desit dicendi facultas. subita namque obtigit optio, quamobrem cogetur forte, quisquis dicturus erit, ex improviso quodammodo verba facere. *So.* Nunquid, bone vir, singulis istorum sunt orationes compositae? quin neque arduum est, de his rebus absque meditatione dicere. Si enim oporteret vel in Peloponneso Athenienses, vel Peloponnesiacos Athenis orare, facundo tunc oratore opus esset, qui et persuaderet et probaretur. quando autem apud eosdem se quis exerceat, quos et laudat, facile eius verba laudantur. *Men.* Facilene istud existimas, Socrates? *So.* Equidem.

MEN. Ἦ οἴει οἷός τ' ἂν εἶναι αὐτὸς εἰπεῖν, εἰ δέοι καὶ ἔλοιτό σε ἡ βουλή;

ΣΩ. Καὶ ἐμοὶ μέν γε, ὦ Μενέξενε, οὐδὲν θαυμαστὸν οἴῳ τ' εἶναι εἰπεῖν, ᾧ τυγχάνει διδάσκαλος οὖσα οὐ πάνυ φαύλη περὶ ῥητορικῆς, ἀλλ' ἥ περ καὶ ἄλλους πολλοὺς καὶ ἀγαθοὺς πεποίηκε ῥήτορας, ἕνα δὲ καὶ διαφέροντα τῶν Ἑλλήνων, Περικλέα τὸν Ξανθίππου.

MEN. Τίς αὕτη; ἢ δῆλον ὅτι Ἀσπασίαν λέγεις;

ΣΩ. Λέγω γάρ, καὶ Κόννον γε τὸν Μητροβίου· αὗτοι γάρ μοι δύο εἰσὶ διδάσκαλοι, ὁ μὲν μουσικῆς, ἡ δὲ ῥητορικῆς. οὕτω μὲν οὖν τρεφόμενον ἄνδρα οὐδὲν θαυμαστὸν δεινὸν εἶναι λέγειν. ἀλλὰ καὶ ὅς τις ἐμοῦ κάκιον ἐπαιδεύθη, μουσικὴν μὲν ὑπὸ Λάμπρου παιδευθείς, ῥητορικὴν δὲ ὑπ' Ἀντιφῶντος τοῦ Ῥαμνουσίου, ὅμως κἂν οὗτος οἷός τ' εἴη Ἀθηναίους γε ἐν Ἀθηναίοις ἐπαινῶν εὐδοκιμεῖν.

MEN. Καὶ τί ἂν ἔχοις εἰπεῖν, εἰ δέοι σε λέγειν;

ΣΩ. Αὐτὸς μὲν παρ' ἐμαυτοῦ ἴσως οὐδέν, Ἀσπασίας δὲ καὶ χθὲς ἠκροώμην περαινούσης ἐπιτάφιον λόγον περὶ αὐτῶν τουτωνί. ἤκουσε γὰρ ἃ περ σὺ λέγεις, ὅτι μέλλοιεν Ἀθηναῖοι αἱρεῖσθαι τὸν ἐροῦντα· ἔπειτα

Men. An speras eloqui posse te, si opus fuerit, et consilio eligaris? *So.* Quid mirum, Menexene, me ad dicendum sufficere, qui magistram haudquaquam imperitam in Rhetorica nactus fuerim, quae et alios multos eloquentes reddidit oratores, et unum Graecorum omnium praestantissimum, filium Xanthippi Periclem? *Men.* Quaenam ista? nunquid Aspasiam dicis? *So.* Et hanc dico, et filium Metrobii Connum. hi namque duo praeceptores mihi sunt, Connus quidem Musicae, Aspasia vero Rhetoricae. Ita igitur eruditum virum nihil mirum est in his eloquentem esse. Quin immo et si quis etiam deterius quam ego doctus fuerit, Musicam quidem a Lampro, Rhetoricam vero ab Antiphonte Rhamnusio, is tamen poterit Athenienses inter ipsos Athenienses laudando, sic eloqui, ut eius ab auditoribus probetur oratio. *Men.* Quidnam habes, quod in medium afferas, si te verba facere oportuerit? *So.* Ex me quidem fortasse nihil, sed heri Aspasiam ipsam audivi funebrem de his orationem dictantem. audiverat enim, quae et ipse dicebas, Athenienses aliquem electuros esse, qui de his orationem haberet. deinde

τὰ μὲν ἐκ τοῦ παραχρῆμά μοι διήσει, οἷα δέοι λέγειν, τὰ δὲ πρότερον ἐσκεμμένη, ὅτε μοι δοκεῖ συνετίθη τὸν ἐπιτάφιον λόγον ὃν Περικλῆς εἶπε, περιλείμματ' ἄττα ἐξ ἐκείνου συγκολλῶσα.

MEN. Ἦ καὶ μνημονεύσαις ἂν ἃ ἔλεγεν Ἀσπασία;

ΣΩ. Εἰ μὴ ἀδικῶ γε· ἐμάνθανόν γέ τοι παρ' αὐτῆς, καὶ ὀλίγου πληγὰς ἔλαβον ὅτι ἐπελανθανόμην.

MEN. Τί οὖν οὐ διῆλθες;

ΣΩ. Ἀλλ' ὅπως μή μοι χαλεπανεῖ ἡ διδάσκαλος, ἂν ἐξενέγκω αὐτῆς τὸν λόγον.

MEN. Μηδαμῶς, ὦ Σώκρατες, ἀλλ' εἰπέ, καὶ πάνυ μοι χαριεῖ, εἴτε Ἀσπασίας βούλει λέγειν εἴτε ὁτουοῦν· ἀλλὰ μόνον εἰπέ.

ΣΩ. Ἀλλ' ἴσως μου καταγελάσει, ἄν σοι δόξω πρεσβύτης ὢν ἔτι παίζειν.

MEN. Οὐδαμῶς, ὦ Σώκρατες, ἀλλ' εἰπὲ παντὶ τρόπῳ.

ΣΩ. Ἀλλὰ μέντοι σοί γε δεῖ χαρίζεσθαι, ὥστε κἂν ὀλίγου, εἴ με κελεύοις ἀποδύντα ὀρχήσασθαι, χαρισαίμην ἄν, ἐπειδή γε μόνω ἐσμέν. ἀλλ' ἄκουε. ἔλεγε γάρ, ὡς ἐγῷμαι, ἀρξαμένη λέγειν ἀπ' αὐτῶν τῶν τεθνεώτων οὑτωσί.

Ἔργῳ μὲν ἡμῖν οἵδε ἔχουσι τὰ προσήκοντα σφίσιν

partim mihi ex improviso transegit, quae dicenda forent, partim meo quidem iudicio praemeditata exponens, funebrem orationem contexuit, quam dixit Pericles, reliquias quasdam ex illa componens. *Men.* Nunquid recordareris, quae dicebat Aspasia? *So.* Equidem, nisi iniurius sim. ab ea namque edidici, parumque abfuit, quin propter oblivionem plagis illa me caederet. *Men.* Cur non refers? *So.* Vereor, ne magistra mihi subiirascatur, si orationem illius edidero. *Men.* Nullo pacto, Socrates. verum gratificare mihi, seu Aspasiae sive cuiuslibet alterius orationem dicere placet: dicas modo. *So.* Fortasse me ridebis, si senex adhuc iocari tibi visus fuero. *Men.* Absit, o Socrates. dic amabo. *So.* Mos tibi gerendus est. ferme namque si nudatum me saltare iuberes, quandoquidem soli sumus. obsequerer. Sed audi iam. Hunc enim in modum, ut arbitror, loqui coepit, sumens ab ipsis defunctis exordium. Opere quidem ipso decen-

αὐτοῖς, ὧν τυχόντες πορεύονται τὴν εἱμαρμένην πορείαν, προπεμφθέντες κοινῇ μὲν ὑπὸ τῆς πόλεως, ἰδίᾳ δὲ ὑπὸ τῶν οἰκείων· λόγῳ δὲ δὴ τὸν λειπόμενον νόμον ὅ τε νόμος πρὸστάττει ἀποδοῦναι τοῖς ἀνδράσι καὶ χρή· ἔργων γὰρ εὖ πραχθέντων λόγῳ καλῶς ῥηθέντι μνήμη καὶ κόσμος τοῖς πράξασι γίγνεται παρὰ τῶν ἀκουσάντων. δεῖ δὴ τοιούτου τινὸς λόγου; ὅς τις τοὺς μὲν τετελευτηκότας ἱκανῶς ἐπαινέσεται, τοῖς δὲ ζῶσιν εὐμενῶς παραινέσεται; ἐκγόνοις μὲν καὶ ἀδελφοῖς μιμεῖσθαι τὴν τῶνδε ἀρετὴν παρακελευόμενος, πατέρας δὲ καὶ μητέρας καὶ εἴ τινες τῶν ἄνωθεν ἔτι προ-
557 γόνων λείπονται, τούτους δὲ παραμυθούμενος. Τίς οὖν ἂν ἡμῖν τοιοῦτος λόγος φανείη; ἢ πόθεν ἂν ὀρθῶς ἀρξαίμεθα ἄνδρας ἀγαθοὺς ἐπαινοῦντες; οἳ ζῶντές τε τοὺς ἑαυτῶν εὔφραινον δι' ἀρετὴν καὶ τὴν τελευτὴν ἀντὶ τῆς τῶν ζώντων σωτηρίας ἠλλάξαντο; Δοκεῖ μοι χρῆναι κατὰ φύσιν, ὡς περ ἀγαθοὶ ἐγένοντο, οὕτω καὶ ἐπαινεῖν αὐτούς. ἀγαθοὶ δέ γ' ἐγένοντο διὰ τὸ φῦναι ἐξ ἀγαθῶν. τὴν εὐγένειαν οὖν πρῶτον αὐτῶν ἐγκωμιάζωμεν, δεύτερον δὲ τροφήν τε καὶ παιδείαν· ἐπὶ δὲ τούτοις τὴν τῶν ἔργων πρᾶξιν ἐπιδείξωμεν, ὡς καλὴν

tia his apud nos exhibita sunt, quae iam assecuti iter fatal agunt, tam publice a civitate, quam privatim a suis, magnifi sumptu et frequenti concursu sequentium honorati. verboru praeterea laudationem addi lex iubet: ac profecto ita dec Bene siquidem rebus gestis, ex ipsa verborum exornatione, eos qui gesserunt apud auditores memoria perennis splend que provenit. Ea vero opus est oratione, quae defunctos a laudet, superstites benigne moneat: filios eorum fratresque virtutis ipsorum imitationem hortetur: parentes autem et m res alios, si qui supersunt, consoletur. Quae igitur nobis erit oratio? vel unde potissimum praeclaros laudare viros cipiemus, qui viventes virtute propria suos mirifice delecta et pro salute viventium offerre se morti non dubitarunt? detur itaque mihi oportere secundum naturam, ut boni e sunt, ita eos laudare. Boni autem ideo provenerunt, qu bonis traxerunt originem. Quapropter generosam primo il stirpem laudemus: deinde educationem et disciplinam. pos narremus, ita ab eis fuisse res gestas, ut maxime deceb

καὶ ἀξίαν τούτων ἀπεφήναντο. τῆς δ' εὐγενείας πρῶτον ὑπῆρξε τοῖσδε ἡ τῶν προγόνων γένεσις οὐκ ἔπηλυς οὖσα, οὐδὲ τοὺς ἐκγόνους τούτους ἀποφηναμένη μετοικοῦντας ἐν τῇ χώρᾳ ἄλλοθεν σφῶν ἡκόντων, ἀλλ' αὐτόχθονας καὶ τῷ ὄντι ἐν πατρίδι οἰκοῦντας καὶ ζῶντας, τρεφομένους οὐχ ὑπὸ μητρυιᾶς ὡς ἄλλοι, ἀλλ' ὑπὸ μητρὸς τῆς χώρας ἐν ᾗ ᾤκουν, καὶ νῦν κεῖσθαι τελευτήσαντας ἐν οἰκείοις τόποις τῆς τεκούσης καὶ θρεψάσης καὶ ὑποδεξαμένης. δικαιότατον δὴ κοσμῆσαι πρῶτον τὴν μητέρα αὐτήν· οὕτω γὰρ ξυμβαίνει ἅμα καὶ ἡ τῶνδε εὐγένεια κοσμουμένη.

Ἔστι δὲ ἀξία ἡ χώρα καὶ ὑπὸ πάντων ἀνθρώπων ἐπαινεῖσθαι, οὐ μόνον ὑφ' ἡμῶν, πολλαχῇ μὲν καὶ ἄλλῃ, πρῶτον δὲ καὶ μέγιστον ὅτι τυγχάνει οὖσα θεοφιλής. μαρτυρεῖ δὲ ἡμῖν τῷ λόγῳ ἡ τῶν ἀμφισβητησάντων περὶ αὐτὴν θεῶν ἔρις τε καὶ κρίσις. ἦν δὴ θεοὶ ἐπῄνεσαν, πῶς οὐχ ὑπ' ἀνθρώπων γε ξυμπάντων δικαία ἐπαινεῖσθαι; Δεύτερος δὲ ἔπαινος δικαίως ἂν αὐτῆς εἴη, ὅτι ἐν ἐκείνῳ τῷ χρόνῳ ἐν ᾧ ἡ πᾶσα γῆ ἀνεδίδου καὶ ἔφυε ζῶα παντοδαπά, θηρία τε καὶ βοτά, ἐν τούτῳ ἡ ἡμετέρα θηρίων μὲν ἀγρίων ἄγονος καὶ καθαρὰ ἐφάνη, ἐξελέξατο δὲ τῶν ζώων καὶ ἐγέννησεν ἄν-

qui essent ex talibus oriundi, et ita postmodum educati. Prima quidem generis horum laus est, quod maiorum origo haud peregrina fuit; neque successores hos ita hic reliquit, velut inquilinos novosque homines, ex advenis genitos: sed indigenas ac revera in patria habitantes viventesque, et nutritos non a noverca quidem, ut alii, sed ab ipsa matre ipsorum regione, quam habitarunt: in qua et nunc conduntur vita functi, ipsis videlicet in visceribus eius, quae peperit eos et nutrivit et excepit. Par est enim, matrem ipsam ante omnia honorare: nam ita maxime horum genus excolitur. Est autem regio haec non solum nobis, sed omnibus hominibus celebranda, cum aliis multis de causis, tum ex hoc praecipue, quia diis carissima est. Quod testatur deorum de hac inter se concertatio. Ea vero quae a diis laudata est, cur non a cunctis hominibus collaudetur? Altera eius laus erit, quod eo tempore, quo tellus omnia animalia omnigena producebat, feras et pascentia omnia, terra duntaxat nostra ad haec sterilis erat agrestibusque animalibus vacua. proprie vero ex omnibus animantibus hominem genuit,

ϑρωπον, ὃ συνέσει τε ὑπερέχει τῶν ἄλλων καὶ δίκην καὶ ϑεοὺς μόνον νομίζει. μέγα δὲ τεκμήριον τούτῳ τῷ λόγῳ, ὅτι ἥδε ἔτεκεν ἡ γῆ τοὺς τῶνδέ τε καὶ ἡμετέρους προγόνους· πᾶν γὰρ τὸ τεκὸν τροφὴν ἔχει ἐπιτηδείαν ᾧ ἂν τέκῃ. ᾧ καὶ γυνὴ δήλη τεκοῦσά τε ἀληθῶς καὶ μή, ἀλλ' ὑποβαλλομένῃ, ἐὰν μὴ ἔχῃ πηγὰς τροφῆς τῷ γενομένῳ. ὃ δὴ καὶ ἡ ἡμετέρα γῆ τε καὶ μήτηρ ἱκανὸν τεκμήριον παρέχεται ὡς ἀνθρώπους γεννησαμένη· μόνη γὰρ ἐν τῷ τότε καὶ πρώτη τροφὴν ἀν-
ϑρωπείαν ἤνεγκε τὸν τῶν πυρῶν καὶ κριθῶν καρπόν, ᾗ
ᾧ κάλλιστα καὶ ἄριστα τρέφεται τὸ ἀνθρώπειον γένος, ὡς τῷ ὄντι τοῦτο τὸ ζῶον αὐτὴ γεννησαμένη. μᾶλλον δὲ ὑπὲρ γῆς ἢ γυναικὸς προσήκει δέχεσθαι τοιαῦτα τεκμήρια· οὐ γὰρ γῆ γυναῖκα μεμίμηται κυήσει καὶ γενέσει, ἀλλὰ γυνὴ γῆν. τούτου δὲ τοῦ καρποῦ οὐκ ἐφθόνησεν ἀλλ' ἐνειμε καὶ τοῖς ἄλλοις. μετὰ δὲ τοῦτο ἐλαίου γένεσιν, πόνων ἀρωγήν, ἀνῆκε τοῖς ἐκγόνοις. Θρεψαμένη δὲ καὶ αὐξήσασα πρὸς ἥβην ἄρχοντας καὶ διδασκάλους αὐτῶν ϑεοὺς ἐπηγάγετο, ὧν τὰ μὲν ὀνόματα πρέπει ἐν τῷ τοιῷδε ἐᾶν· ἴσμεν γὰρ οἳ τὸν βίον ἡμῖν κατεσκεύασαν πρός τε τὴν καθ' ἡμέραν δίαιταν τέ-

qui ceteris intelligentia praestat, solusque ius ac deos animadvertit. Quod vero haec regio horum nostrosque maiores progenuit, hinc evidentissime licet cognoscere! quia omne quod gignit, alimentum conveniens genito continet. Quo plane discernitur mulier illa, quae peperit, ab ea quae infantem simulando supposuit. nam quae peperit, lacte abundat ad eius quod genitum est alimoniam, alia vero nequaquam. Tellus itaque nostra materque perspicuum argumentum praebet, quod homines procreaverit. nam et sola et prima tunc pabula humana porrexit, tritici hordeique fruges, quibus commodissime genus hominum alitur, utpote quae vere animal id produxerit. Potius autem de terra, quam de muliere, coniectare id licet. neque enim terra mulierem conceptione partuque, sed terram mulier imitatur. Huiusmodi vero pabulum sine invidia non hominibus solum abunde, verum etiam brutis subministravit. Post haec oleum, laborum subsidium, natis suis suppeditavit. nutritis autem adultisque filiis principes praeceptoresque deos induxit: quorum nunc praetermittenda sunt nomina. Neque enim nos latet qui vitam nostram munierint, tam artium in-

χνας πρώτους παιδευσάμενοι καὶ πρὸς τὴν ὑπὲρ τῆς χώρας φυλακὴν ὅπλων κτῆσίν τε καὶ χρῆσιν διδαξάμενοι.

Γενηθέντες δὲ καὶ παιδευθέντες οὕτως οἱ τῶνδε πρόγονοι ᾤκουν πολιτείαν κατασκευασάμενοι, ἧς ὀρθῶς ἔχει διὰ βραχέων ἐπιμνησθῆναι. πολιτεία γὰρ τροφὴ ἀνθρώπων ἐστί, καλὴ μὲν ἀγαθῶν, ἡ δὲ ἐναντία κακῶν. ὡς οὖν ἐν καλῇ πολιτείᾳ ἐτράφησαν οἱ πρόσθεν ἡμῶν, ἀναγκαῖον δηλῶσαι, δι' ἣν δὴ κἀκεῖνοι ἀγαθοὶ καὶ οἱ νῦν εἰσιν, ὧν οἵδε τυγχάνουσιν ὄντες οἱ τετελευτηκότες. Ἡ γὰρ αὐτὴ πολιτεία καὶ τότε ἦν καὶ νῦν, ἀριστοκρατία, ἐν ᾗ νῦν τε πολιτευόμεθα καὶ τὸν ἀεὶ χρόνον ἐξ ἐκείνου ὡς τὰ πολλά. καλεῖ δὲ ὁ μὲν αὐτὴν δημοκρατίαν, ὁ δὲ ἄλλο, ᾧ ἂν χαίρῃ· ἔστι δὲ τῇ ἀληθείᾳ μετ' εὐδοξίας πλήθους ἀριστοκρατία. βασιλεῖς μὲν γὰρ ἀεὶ ἡμῖν εἰσίν, οὗτοι δὲ τοτὲ μὲν ἐκ γένους, τοτὲ δὲ αἱρετοί· ἐγκρατὲς δὲ τῆς πόλεως τὰ πολλὰ τὸ πλῆθος, τὰς δὲ ἀρχὰς δίδωσι καὶ τὸ κράτος τοῖς ἀεὶ δόξασιν ἀρίστοις εἶναι, καὶ οὔτε ἀσθενείᾳ οὔτε πενίᾳ οὔτ' ἀγνωσίᾳ πατέρων ἀπελήλαται οὐδεὶς οὐδὲ τοῖς ἐναντίοις τετίμηται, ὥς περ ἐν ἄλλαις πόλεσιν, ἀλλὰ εἷς ὅρος, ὁ δόξας σοφὸς ἢ ἀγαθὸς εἶναι κρατεῖ καὶ ἄρχει.

ventione ad quotidianum victum spectantium, quam traditione peritiaque armorum ad regionis ipsius custodiam. Ita maiores horum geniti atque educati rem publicam instituerunt: quam paucis perstringere decet. Res enim publica hominum educatio est, bona quidem bonorum, contrariorum vero contraria. Quod ergo in praeclara republica enutriti sunt nostri maiores, declarandum est: per quam et illi hi boni viri, ex quibus sunt qui e vita migrarunt, eadem namque respublica quondam et nunc, optimatum videlicet gubernatio, sub qua et his temporibus ac ferme semper ex eo tempore degimus. eam quidam popularem vocant, alii aliter, utcunque placet. Est autem revera haec optimatum, cum quadam auctoritate populi, gubernatio. semper enim nobis reges sunt, alias generis successione, alias electione creati: sed auctoritatis civitatis plurimum apud populum, qui semper his, qui optimi iudicantur, magistratus impertit: ubi neque parentum debilitate vel pauperiate vel ignobilitate quisquam reiicitur, neque contrariis de causis honoratur, ut in aliis civitatibus fieri solet. sed haec est summa: Quicunque sapiens aut bonus habetur, dominatur et imperat.

Αἰτία δὲ ἡμῖν τῆς πολιτείας ταύτης ἡ ἐξ ἴσου γένεσις. αἱ μὲν γὰρ ἄλλαι πόλεις ἐκ παντοδαπῶν κατεσκευασμέναι ἀνθρώπων εἰσὶ καὶ ἀνωμάλων, ὥστε αὐτῶν ἀνώμαλοι καὶ αἱ πολιτεῖαι, τυραννίδες τε καὶ ὀλιγαρχίαι· οἰκοῦσιν οὖν ἔνιοι μὲν δούλους, οἱ δὲ δεσπότας ἀλλήλους νομίζοντες· ἡμεῖς δὲ καὶ οἱ ἡμέτεροι, μιᾶς μητρὸς πάντες ἀδελφοὶ φύντες, οὐκ ἀξιοῦμεν δοῦλοι οὐδὲ δεσπόται ἀλλήλων εἶναι, ἀλλ' ἡ ἰσογονία ἡμᾶς ἡ κατὰ φύσιν ἰσονομίαν ἀναγκάζει ζητεῖν κατὰ νόμον, καὶ μηδενὶ ἄλλῳ ὑπείκειν ἀλλήλοις ἢ ἀρετῆς δόξῃ καὶ φρο- 10
139 νήσεως.

Ὅθεν δὴ ἐν πάσῃ ἐλευθερίᾳ τεθραμμένοι οἱ τῶν δέ τε πατέρες καὶ ἡμέτεροι καὶ αὐτοὶ οὗτοι, καὶ καλῶς φύντες, πολλὰ δὴ καὶ καλὰ ἔργα ἀπεφήναντο εἰς πάντας ἀνθρώπους καὶ ἰδίᾳ καὶ δημοσίᾳ, οἰόμενοι δεῖν ὑπὲρ τῆς ἐλευθερίας καὶ Ἕλλησιν ὑπὲρ Ἑλλήνων μάχεσθαι καὶ βαρβάροις ὑπὲρ ἁπάντων τῶν Ἑλλήνων. Εὐμόλπου μὲν οὖν καὶ Ἀμαζόνων ἐπιστρατευσάντων ἐπὶ τὴν χώραν καὶ τῶν ἔτι προτέρων ὡς ἠμύναντο, καὶ ὡς ἤμυναν Ἀργείοις πρὸς Καδμείους καὶ Ἡρακλείδαις πρὸς Ἀργείους, ὃ τε χρόνος βραχὺς ἀξίως διηγήσασθαι, 20

Causa nobis gubernationis huiusmodi ex aequo generatio est. Aliae siquidem civitates sunt ex variis dissimilibusque generibus constitutae: quo fit, ut inaequales sint et gubernationes, tyrannides paucorumque potentiae. In quibus ita homines vivunt, ut se invicem partim dominos, partim servos existiment. nos autem nostrique una ex matre omnes, fratres invicem geniti, haud arbitramur invicem nos dominos et servos esse: sed generationis aequalitas nos inducit, ut et legis quaeramus aequalitatem, neque rei prorsus ulli, nisi opinioni virtutis prudentiaeque, cedamus. Quapropter et nostri et horum parentes et hi honeste creati, et in omni libertate nutriti, multa atque praeclara facinora apud omnes gentes notissima privatim et publice ediderunt, existimantes libertatis gratia tam adversus Graecos pro Graecis aliis, quam adversus barbaros pro cunctis Graecis, esse pugnandum. Enimvero quo pacto in bello se gesserint Argivi quondam adversus Cadmios, et Heraclidae adversus Argivos, cum Eumolpus et Amazones, ac etiam cum his superiores regionem invaderent, breve esset pro dignitate referre, et

ποιηταί τε αὐτῶν ἤδη ἱκανῶς τὴν ἀρετὴν ἐν μουσικῇ ὑμνήσαντες εἰς πάντας μεμηνύκασιν· ἐὰν οὖν ἡμεῖς ἐπιχειρῶμεν τὰ αὐτὰ λόγῳ ψιλῷ κοσμεῖν, τάχ' ἂν δεύτεροι φαινοίμεθα. ταῦτα μὲν οὖν διὰ ταῦτα δοκεῖ μοι ἐᾶν, ἐπειδὴ καὶ ἔχει τὴν ἀξίαν· ὧν δὲ οὔτε ποιητής πω δόξαν ἀξίαν ἐπ' ἀξίοις λαβὼν ἔχει ἔτι τ' ἐστὶν ἐν ἀμνηστίᾳ, τούτων πέρι μοι δοκεῖ χρῆναι ἐπιμνησθῆναι ἐπαινοῦντά τε καὶ προμνώμενον ἄλλοις, ἐς ᾠδάς τε καὶ τὴν ἄλλην ποίησιν αὐτὰ θεῖναι πρεπόντως τῶν πραξάντων. ἔστι δὲ τούτων ὧν λέγω πρῶτα· Πέρσας ἡγουμένους τῆς Ἀσίας καὶ δουλουμένους τὴν Εὐρώπην ἔσχον οἱ τῇδε τῆς χώρας ἔγγονοι, γονῆς δὲ ἡμέτεροι, ὧν καὶ δίκαιον καὶ χρὴ πρῶτον μεμνημένους ἐπαινέσαι αὐτῶν τὴν ἀρετήν. δεῖ δὴ αὐτὴν ἰδεῖν, εἰ μέλλει τις καλῶς ἐπαινεῖν, ἐν ἐκείνῳ τῷ χρόνῳ γενόμενον λόγῳ, ὅτε πάσα μὲν ἡ Ἀσία ἐδούλευε τρίτῳ ἤδη βασιλεῖ, ὧν ὁ μὲν πρῶτος Κῦρος ἐλευθερώσας Πέρσας τοὺς αὑτοῦ πολίτας τῷ αὑτοῦ φρονήματι ἅμα καὶ τοὺς δεσπότας Μήδους ἐδουλώσατο καὶ τῆς ἄλλης Ἀσίας μέχρι Αἰγύπτου ἦρξεν, ὁ δὲ υἱὸς αὐτοῦ Αἰγύπτου τε καὶ Λιβύης ὅσον οἷόν τε ἦν ἐπιβαίνειν, τρίτος δὲ Δαρεῖος

poëtae virtutem illorum eleganter Musica celebrantes in omnes gentes divulgaverunt. Quare si nos eadem nudo sermone repetere nunc aggrederemur, forte videremur illis esse secundi. Haec igitur ob hanc causam arbitror dimittenda, quandoquidem pro dignitate iam satis celebrata videntur. Quae vero nondum, ut rerum dignitas exigit, a poëtarum aliquo decantata sunt, necdum tamen oblivione deleta sunt, haec nobis praedicanda nunc arbitror, ut et nos ea laudemus, et adiuvemus provocemusque alios ad eadem odis aliisque carminibus, ut decens est, exornanda. Eorum autem, quae dico, prima haec exstant. Persis profecto, cum Asiae imperarent et Europae dominarentur, obstiterunt regionis huius homines, hinc quidem oriundi, nostri autem progenitores: quorum meminisse virtutemque laudare et oportet in primis et decet. eam namque nosse oportet, si quis sufficienter laudaturus sit res ab illis eo in tempore gestas, quo Asia omnis tertio iam regi servierat, respicere. quorum primus Cyrus magnitudine quadam animi cives suos Persas in libertatem redigens, simul dominos Medos subiecit, totique Asiae usque ad Aegyptum imperavit, Filius autem eius Aegypto quoque et Libyae, quousque penetrare dabatur. Tertius Darius,

πεζῇ μὲν μέχρι Σκυθῶν τὴν ἀρχὴν ὡρίσατο, ναυσὶ δὲ τῆς τε θαλάττης ἐκράτησε καὶ τῶν νήσων, ὥστε μηδὲ
240 ἀξιοῦν ἀντιπαλον αὐτῷ μηδένα εἶναι· οἱ δὲ γνῶμαι δεδουλωμέναι ἁπάντων ἀνθρώπων ἦσαν· οὕτω πολλαὶ καὶ μεγάλα καὶ μάχιμα γένη καταδεδουλωμένη ἦν ἢ Περσῶν ἀρχή. αἰτιασάμενος δὲ Δαρεῖος ἡμᾶς τε καὶ Ἐρετριέας, Σάρδεσιν ἐπιβουλεῦσαι προφασιζόμενος, πέμψας μυριάδας μὲν πεντήκοντα ἔν τε πλοίοις καὶ ναυσί, ναῦς δὲ τριακοσίας, Δᾶτιν δὲ ἄρχοντα, εἶπεν ἥκειν ἄγοντα Ἐρετριέας καὶ Ἀθηναίους, εἰ βούλοιτο τὴν ἑαυτοῦ κεφαλὴν ἔχειν. ὁ δὲ πλεύσας εἰς Ἐρέτριαν ἐπ' ἀνδρας οἳ τῶν τότε Ἑλλήνων ἐν τοῖς εὐθυμωτάτοις ἦσαν τὰ πρὸς τὸν πόλεμον καὶ οὐκ ὀλίγοι, τούτους ἐχειρώσατο μὲν ἐν τρισὶν ἡμέραις, διηρευνήσατο δὲ αὐτῶν πᾶσαν τὴν χώραν, ἵνα μηδεὶς ἀποφύγοι, τοιούτῳ τρόπῳ· ἐπὶ τὰ ὅρια ἐλθόντες τῆς Ἐρετρικῆς οἱ στρατιῶται αὐτοῦ, ἐκ θαλάττης εἰς θάλατταν διαστάντες, συνάψαντες τὰς χεῖρας διῆλθον ἅπασαν τὴν χώραν, ἵν' ἔχοιεν τῷ βασιλεῖ εἰπεῖν ὅτι οὐδεὶς σφῶν ἀποπεφευγὼς εἴη. τῇ δ' αὐτῇ διανοίᾳ κατηγάγοντο ἐξ Ἐρετρίας εἰς Μαραθῶνα, ὡς ἕτοιμόν σφισιν ὂν καὶ Ἀθηναίους ἐν τῇ αὐτῇ

pedestri pugna usque ad Scythas extendit imperium: navali au tem mari et insulis est dominatus. quo factum est, ut repugna illi nullus auderet. Animi quidem hominum omnes servili qu dam formidine abiecti iam erant: adeo multae, frequentes bellicosae gentes sub Persarum imperio tenebantur. Nos aut Eretriensesque incusans Darius, quod Sardibus insidiaremur, hanc belli occasionem nactus, quingenta hominum millia cl sibus misit, naves vero trecentas: hisque Datim praefecit, au illi mandavit, ut captivos ad eum Eretriensesque et Atheni ses duceret, si caput illi suum carum esset. Ille navibus ac ctus Eretriam, ubi viri non pauci erant, ac praeteres in r bellicis inter Graecos eorum temporum illustrissimos num bantur, triduo eos captivos fecit; neve ulli esset fugiendi l omnem regionem sic exploravit. Nempe ad fines Eretriae fecti milites eius, et ex mari in mare sese extendentes, di rentesque iunctis invicem manibus, universam regionem pr percurrerunt, ut regi referre possent, neminem illos sub gisse. Eadem sententia ex Eretria Marathonem descend utpote quod illis ad id aptissimum erat, ut Atheniense

ταὐτῃ ἀνάγκῃ ζεύξαντας Ἐρετριεῦσιν ἄγειν. τούτων δὲ
τῶν μὲν πραχθέντων, τῶν δ' ἐπιχειρουμένων οὔτ' Ἐρε-
τριεῦσιν ἐβοήθησεν Ἑλλήνων οὐδεὶς οὔτε Ἀθηναίοις
πλὴν Λακεδαιμονίων· οὗτοι δὲ τῇ ὑστεραίᾳ τῆς μάχης
ἀφίκοντο· οἱ δ' ἄλλοι πάντες ἐκπεπληγμένοι, ἀγαπῶν-
τες τὴν ἐν τῷ παρόντι σωτηρίαν, ἡσυχίαν ἦγον. ἐν
τούτῳ δὴ ἄν τις γενόμενος γνοίη οἷοι ἄρα ἐτύγχανον
ὄντες τὴν ἀρετὴν οἱ Μαραθῶνι δεξάμενοι τὴν τῶν βαρ-
βάρων δύναμιν καὶ κολασάμενοι τὴν ὑπερηφανίαν ὅλης
τῆς Ἀσίας καὶ πρῶτοι στήσαντες τρόπαια τῶν βαρβά-
ρων, ἡγεμόνες καὶ διδάσκαλοι τοῖς ἄλλοις γενόμενοι
ὅτι οὐκ ἄμαχος εἴη ἡ Περσῶν δύναμις, ἀλλὰ πᾶν πλῆ-
θος καὶ πᾶς πλοῦτος ἀρετῇ ὑπείκει. ἐγὼ μὲν οὖν ἐκεί-
νους τοὺς ἄνδρας φημὶ οὐ μόνον τῶν σωμάτων τῶν
ἡμετέρων πατέρας εἶναι, ἀλλὰ καὶ τῆς ἐλευθερίας τῆς
τε ἡμετέρας καὶ ξυμπάντων τῶν ἐν τῇδε τῇ ἠπείρῳ·
εἰς ἐκεῖνο γὰρ τὸ ἔργον ἀποβλέψαντες καὶ τὰς ὑστέρας
μάχας ἐτόλμησαν διακινδυνεύειν οἱ Ἕλληνες ὑπὲρ τῆς
σωτηρίας, μαθηταὶ τῶν Μαραθῶνι γενόμενοι. Τὰ μὲν
οὖν ἀριστεῖα τῷ λόγῳ ἐκείνοις ἀναθετέον, τὰ δὲ δευ- 241
τερεῖα τοῖς περὶ Σαλαμῖνα καὶ ἐπ' Ἀρτεμισίῳ ναυμα-

cum Eretriensibus quasi sub eodem iugo ducerent captivos. His autem partim quidem ita peractis, partim vero tentatis, nullus Graecorum, praeter Lacedaemonios, Eretriensibus Atheniensibusve succurrit. Et ii sequenti post pugnam die venerunt. ceteri autem omnes perterriti sunt, ac bene secum agi putantes, si periculum praesens evaderent, quieverunt. Ex hoc intueri licet, quanta illorum virtus fuerit, qui in Marathone barbarorum impetum sustinuerunt, ac totius Asiae superbiam domuerunt. primi sane de barbaris triumpharunt: et exemplo reliquis ostenderunt Persarum vim haud inexpugnabilem esse: immo vero et multitudinem omnem et divitiarum copiam virtuti parere. Eos equidem viros non modo nostrorum corporum genitores, sed et libertatis tum nostrae tum omnium, qui in huiusmodi habitant continenti, auctores arbitror exstitisse. his namque exemplis provocati posteriores Graeci, in sequentibus bellis pericula omnia pro salute sua subire non dubitarunt, discipuli profecto illorum, qui in Marathone Persas profligavere. Primam itaque palmam oratione illis tribuere decet: secundam vero iis, qui circa Salaminam Artemisiumque hostes proelio

γήσασι καὶ νικήσασι. καὶ γὰρ δὴ καὶ τούτων τῶν ἀνδρῶν πολλὰ μὲν ἄν τις ἔχοι διελθεῖν, καὶ οἷα ἐπιόντα ὑπέμειναν κατά τε γῆν καὶ κατὰ θάλατταν, καὶ ὡς ἠμύναντο ταῦτα· ὃ δ' ἐμοὶ δοκεῖ καὶ ἐκείνων κάλλιστον εἶναι, τούτου μνησθήσομαι, ὅτι τὸ ἑξῆς ἔργον τοῖς Μαραθῶνι διεπράξαντο. οἱ μὲν γὰρ Μαραθῶνι τοσοῦτον μόνον ἐπεδείξαντο τοῖς Ἕλλησιν, ὅτι κατὰ γῆν οἷόν τε ἀμύνεσθαι τοὺς βαρβάρους ὀλίγοις πολλούς, ναυσὶ δὲ ἔτι ἦν ἄδηλον καὶ δύξαν εἶχον Πέρσαι ἄμαχοι εἶναι κατὰ θάλατταν καὶ πλήθει καὶ πλούτῳ καὶ τέχνῃ καὶ ῥώμῃ. τοῦτο δὴ ἄξιον ἐπαινεῖν τῶν ἀνδρῶν τῶν τότε ναυμαχησάντων, ὅτι τὸν ἐχόμενον φόβον διέλυσαν τῶν Ἑλλήνων καὶ ἔπαυσαν φοβουμένους πλῆθος νεῶν τε καὶ ἀνδρῶν. ὑπ' ἀμφοτέρων δὴ ξυμβαίνει, τῶν τε Μαραθῶνι μαχεσαμένων καὶ τῶν ἐν Σαλαμῖνι ναυμαχησάντων, παιδευθῆναι τοὺς ἄλλους Ἕλληνας, ὑπὸ μὲν τῶν κατὰ γῆν, ὑπὸ δὲ τῶν κατὰ θάλατταν μαθόντας καὶ ἐθισθέντας μὴ φοβεῖσθαι τοὺς βαρβάρους. Τρίτον δὲ λέγω τὸ ἐν Πλαταιαῖς ἔργον καὶ ἀριθμῷ καὶ ἀρετῇ γενέσθαι τῆς Ἑλληνικῆς σωτηρίας, κοινὸν ἤδη τοῦτο Λακεδαιμονίων τε καὶ Ἀθη-

navali vicerunt. Multa nempe ab his viris gesta narrare possemus, quanta pericula terra marique imminentia sustinuerint devicerintque. Quod autem prae ceteris egregium puto, nunc referam, nam quod restabat post bellum Marathonicum, perfecerunt. Siquidem qui in Marathone certarunt, hoc tantum Graecis demonstraverunt, quod terrestri pugna pauci quidem Graeci multorum impetum barbarorum frangere possent; maritima vero victoria adhuc incerta: existimabanturque Persae in maritimis proeliis et multitudine et divitiis arteque et robore inexpugnabiles esse. Hoc itaque in his, qui tunc navibus pugnavere, laude dignum est, quod metum Graecis insitum penitus depulerunt, fecerunteque ne amplius navium virorumque numerum pertimescerent. Utrisque his factum est, tam in Marathone terra pugnantibus, quam mari postea circa Salaminam, ut reliqui Graeci et docerentur et provocarentur, ab illis quidem terra, ab his autem mari, ad proelia contra barbaros intrepide committenda. Tertium assero quod in Plataeis gestum est, et numero et virtute, salutis Graeciae causam exstitisse. Commune vero id iam est Lacedaemoniis et Atheniensibus si-

ναίων. Τὸ μὲν οὖν μέγιστον καὶ χαλεπώτατον οὗτοι πάντες ἠμύναντο, καὶ διὰ ταύτην τὴν ἀρετὴν νῦν τε ὑφ' ἡμῶν ἐγκωμιάζονται καὶ εἰς τὸν ἔπειτα χρόνον ὑπὸ τῶν ὑστερον· μετὰ δὲ τοῦτο πολλαὶ μὲν πόλεις τῶν Ἑλλήνων ἔτι ἦσαν μετὰ τοῦ βαρβάρου, αὐτὸς δὲ ἠγγέλλετο βασιλεὺς διανοεῖσθαι ὡς ἐπιχειρήσων πάλιν ἐπὶ τοὺς Ἕλληνας. δίκαιον δὴ καὶ τούτων ἡμᾶς ἐπιμνηοθῆναι, οἳ τοῖς τῶν προτέρων ἔργοις τέλος τῆς σωτηρίας ἐπέθεσαν ἀνακαθηράμενοι καὶ ἐξελάσαντες πᾶν τὸ βάρβαρον ἐκ τῆς θαλάττης. ἦσαν δὲ οὗτοι οἵ τε ἐπ' Εὐρυμέδοντι ναυμαχήσαντες καὶ οἱ εἰς Κύπρον στρατεύσαντες καὶ οἱ εἰς Αἴγυπτον πλεύσαντες καὶ ἄλλοσε πολλαχόσε, ὧν χρὴ μεμνῆσθαι καὶ χάριν αὐτοῖς εἰδέναι, ὅτι βασιλέα ἐποίησαν δείσαντα τῇ ἑαυτοῦ σωτηρίᾳ τὸν νοῦν προσέχειν, ἀλλὰ μὴ τῇ τῶν Ἑλλήνων ἐπιβουλεύειν φθορᾷ. 242

Καὶ οὗτος μὲν δὴ πάσῃ τῇ πόλει διηντλήθη ὁ πόλεμος ὑπὲρ ἑαυτῶν τε καὶ τῶν ἄλλων ὁμοφύλων πρὸς τοὺς βαρβάρους· εἰρήνης δὲ γενομένης καὶ τῆς πόλεως τιμωμένης ἦλθεν ἐπ' αὐτήν, ὃ δὴ φιλεῖ ἐκ τῶν ἀνθρώπων τοῖς εὖ πράττουσι προσπίπτειν, πρῶτον μὲν ζῆλος, ἀπὸ ζήλου δὲ φθόνος. ὃ καὶ τήνδε τὴν πόλιν

cinus. igitur omnes hi Graeciam in summis nobis et a posteris laudabuntur. Post haec multae insuper Graecorum urbes adhuc sub barbaris conveniebant: rex autem minabatur Graecos se iterum invasurum. Decet profecto illos commemorare, qui superiorum operibus salutis extremam manum imposuerunt, cum omnem ex mari barbariem depulissent, hi vero fuerunt, qui circa Eurymedontem classe pugnarunt, et in Cyprum militaturi se contulerunt: itemque in Aegyptum navigavere, plurimasque alias terrarum oras peragrarunt. horum meminisse oportet, his gratia est habenda, quod regem perterritum coëgerunt de salute sua cogitare potius quam ad Graecorum perniciem insidias tendere. Atque id bellum per omnes urbes diffusum fuit, dum Graeci se ipsos omnesque linguae eiusdem homines adversus barbaros tutarentur. Pace vero demum confecta, honorataque civitate, contigit ei, quod solet ab hominibus in eos, quibus prospere res succedunt, oriri: primo quidem aemulatio, ab aemulatione deinde invidia, quae hanc civitatem invi-

ἄκουσαν ἐν πολέμῳ τοῖς Ἕλλησι κατέστησε. μετὰ δὲ τοῦτο γενομένου πολέμου συνέβαλον μὲν ἐν Τανάγρᾳ ὑπὲρ τῆς Βοιωτῶν ἐλευθερίας Λακεδαιμονίοις μαχόμενοι, ἀμφισβητησίμου δὲ τῆς μάχης γενομένης διέκρινε τὸ ὕστερον ἔργον· οἱ μὲν γὰρ ᾤχοντο ἀπιόντες, καταλείποντες Βοιωτοὺς οἷς ἐβοήθουν, οἱ δ' ἡμέτεροι, τρίτῃ ἡμέρᾳ ἐν Οἰνοφύτοις νικήσαντες, τοὺς ἀδίκως φεύγοντας δικαίως κατήγαγον. οὗτοι δὴ πρῶτοι μετὰ τὸν Περσικὸν πόλεμον, Ἕλλησιν ἤδη ὑπὲρ τῆς ἐλευθερίας βοηθοῦντες πρὸς Ἕλληνας, ἄνδρες ἀγαθοὶ γενόμενοι καὶ ἐλευθερώσαντες οἷς ἐβοήθουν, ἐν τῷδε τῷ μνήματι τιμηθέντες ὑπὸ τῆς πόλεως πρῶτοι ἐτέθησαν. Μετὰ δὲ ταῦτα πολλοῦ πολέμου γενομένου, καὶ πάντων τῶν Ἑλλήνων ἐπιστρατευσάντων καὶ τεμόντων τὴν χώραν καὶ ἀναξίαν χάριν ἐκτινόντων τῇ πόλει, νικήσαντες αὐτοὺς ναυμαχίᾳ οἱ ἡμέτεροι καὶ λαβόντες αὐτῶν τοὺς ἡγεμόνας Λακεδαιμονίους ἐν τῇ Σφαγίᾳ, ἐξὸν αὐτοῖς διαφθεῖραι ἐφείσαντο καὶ ἀπέδοσαν καὶ εἰρήνην ἐποιήσαντο, ἡγούμενοι πρὸς μὲν τὸ ὁμόφυλον μέχρι νίκης δεῖν πολεμεῖν καὶ μὴ δι' ὀργὴν ἰδίαν πόλεως τὸ κοινὸν τῶν Ἑλλήνων διολλύναι, πρὸς δὲ τοὺς βαρβά-

tam in bellum cum Graecis gerendum traxit. Post haec inito bello, in Tanagra congressi sunt, pro libertate Boeotiorum adversus Lacedaemonios concertantes. cumque incertus pugnae esset eventus, quod postea secutum est, rem ipsam aperuit. plerique sane aufugerunt, destituentes Boeotios, quibus auxilium allaturi convenerant: nostri autem die tertia in Oenophytis potiti victoria, eos qui iniuste fugerant, iuste reduxerunt. Hi utique primi post bellum Persicum, Graecis gratia libertatis auxiliati contra Graecos, viri quidem praeclari et libertatis auctores his, quibus opem tulerant, his in monumentis, honorati a civitate, priores sunt positi. His vero peractis, cum increbresceret bellum, Graeciquè omnes sumptis armis regionem devastarent, urbique non dignam gratiam redderent; eos nostri navali proelio superarunt, et eorum duces Lacedaemones comprehenderunt: quos quamvis iugulare liceret, dimiserunt pacemque firmarunt; existimantes, adversus eiusdem generis homines ad victoriam usque pugnandum, neque ob propriam civitatis indignationem Graecorum communionem penitus dissolvendam,

ρους μέχρι διαφθορᾶς. τούτους δὴ ἄξιον ἐπαινέσαι τοὺς ἄνδρας, οἳ τοῦτον τὸν πόλεμον πολεμήσαντες ἐνθάδε κεῖνται, ὅτι ἐπέδειξαν, εἴ τις ἄρα ἠμφεσβήτει ὡς ἐν τῷ προτέρῳ πολέμῳ τῷ πρὸς τοὺς βαρβάρους ἄλλοι τινὲς εἶεν ἀμείνους Ἀθηναίων, ὅτι οὐκ ἀληθῆ ἀμφισβητοῖεν. οὗτοι γὰρ ἐνταῦθα ἔδειξαν, στασιαζούσης τῆς Ἑλλάδος περιγενόμενοι τῷ πολέμῳ, τοὺς προεστῶτας τῶν ἄλλων Ἑλλήνων χειρωσάμενοι, μεθ' ὧν τότε τοὺς βαρβάρους ἐνίκων κοινῇ, τούτους νικῶντες ἰδίᾳ. Τρίτος δὲ πόλεμος μετὰ ταύτην τὴν εἰρήνην ἀνέλπιστός τε καὶ δεινὸς ἐγένετο, ἐν ᾧ πολλοὶ καὶ ἀγαθοὶ τελευτήσαντες ἐνθάδε κεῖνται, πολλοὶ μὲν ἀμφὶ Σικελίαν πλεῖστα τρόπαια στήσαντες ὑπὲρ τῆς Λεοντίνων ἐλευθερίας, 243
οἷς βοηθοῦντες διὰ τοὺς ὅρκους ἔπλευσαν εἰς ἐκείνους τοὺς τόπους, διὰ δὲ μῆκος τοῦ πλοῦ εἰς ἀπορίαν τῆς πόλεως καταστάσης καὶ οὐ δυναμένης αὐτοῖς ὑπηρετεῖν τούτῳ ἀπειπόντες ἐδυστύχησαν· ὧν οἱ ἐχθροὶ καὶ προσπολεμήσαντες πλείω ἔπαινον ἔχουσι σωφροσύνης καὶ ἀρετῆς ἢ τῶν ἄλλων οἱ φίλοι· πολλοὶ δ' ἐν ταῖς ναυμαχίαις ταῖς καθ' Ἑλλήσποντον, μιᾷ μὲν ἡμέρᾳ πάσας τὰς τῶν πολεμίων ἑλόντες ναῦς, πολλὰς δὲ καὶ ἄλλας

sed adversus barbaros ad necem usque certandum. Hos itaque laudare viros decet, qui hoc bello peracto hic iacent: quoniam ostenderunt inanem esse illorum suspicionem, si qui Atheniensium virtuti diffisi opinentur in primo contra barbaros bello alios quosdam praestantiores Atheniensibus exstitisse. Hi enim, cum omnis Graecia seditionibus agitaretur, ipsique viros ceteris Graecis praestantiores bello superatos comprehendissent, declaraverunt eos seorsum se vincere, quibuscum communiter barbaros expugnaverant. Tertium post pacem hanc bellum improvisum et grave exortum est, in quo cum multi fortesque viri occubuissent, hic conduntur. quorum multi circa Siciliam plurimis sunt potiti victoriis pro salute Leontinorum, quibus iureiurando astricti opem ferebant: quo foedere ad ea loca navigaverant. cum vero diuturna esset navigatio, ac interim rerum discrimine penuriaque civitas premeretur, neque illis posset succurrere, negatis subsidiis res eorum haud prospere successerunt. quorum hostes belloque adversarii maiorem temperantiae virtutisque laudem, quam amici aliorum, habent. Multi praeterea navali bello per Hellespontum die una omnes adversariorum naves ceperunt, plurimasque alias devicerunt.

νικήσαντες. ὃ δ' εἶπον δεινὸν καὶ ἀνέλπιστον τοῦ πολέμου γενέσθαι, τόδε λέγω τὸ εἰς τοσοῦτον φιλονεικίας ἐλθεῖν πρὸς τὴν πόλιν τοὺς ἄλλους Ἕλληνας, ὥστε τολμῆσαι τῷ ἐχθίστῳ ἐπικηρυκεύσασθαι βασιλεῖ, ὃν κοινῇ ἐξέβαλον μεθ' ἡμῶν, ἰδίᾳ τοῦτον πάλιν ἐπάγεσθαι βάρβαρον ἐφ' Ἕλληνας, καὶ ξυναθροῖσαι ἐπὶ τὴν πόλιν πάντας Ἕλληνάς τε καὶ βαρβάρους. οὗ δὴ καὶ ἐκφανὴς ἐγένετο ἡ τῆς πόλεως ῥώμη τε καὶ ἀρετή. ὀλομένων γὰρ ἤδη αὐτὴν καταπεπολεμῆσθαι καὶ ἀπειλημμένων ἐν Μιτυλήνῃ τῶν νεῶν βοηθήσαντες ἐξήκοντα 1
ναυσίν, αὐτοὶ ἐμβάντες εἰς τὰς ναῦς καὶ ἄνδρες γενόμενοι ὁμολογουμένως ἄριστοι, νικήσαντες μὲν τοὺς πολεμίους, λυσάμενοι δὲ τοὺς φιλίους, ἀναξίου τύχης τυχόντες, οὐκ ἀναιρεθέντες ἐκ τῆς θαλάττης, κεῖνται ἐνθάδε. ὧν χρὴ ἀεὶ μεμνῆσθαί τε καὶ ἐπαινεῖν· τῇ μὲν γὰρ ἐκείνων ἀρετῇ ἐνικήσαμεν οὐ μόνον τὴν τότε ναυμαχίαν ἀλλὰ καὶ τὸν ἄλλον πόλεμον· δόξαν γὰρ δι' αὐτοὺς ἡ πόλις ἔσχε μή ποτ' ἂν καταπολεμηθῆναι μηδ' ὑπὸ πάντων ἀνθρώπων, καὶ ἀληθῆ ἔδοξε, τῇ δὲ ἡμετέρᾳ αὐτῶν διαφορᾷ ἐκρατήθημεν, οὐχ ὑπὸ τῶν 2
ἄλλων· ἀήττητοι γὰρ ἔτι καὶ νῦν ὑπό γε ἐκείνων ἐσμέν,

Bellum vero iccirco insperatum durumque vocavi, quia nullus existimasset reliquos omnes Graecos contra civitatem tam acerrimo studio contentionis accendi, ut regem illum barbarum infensissimum, quem una nobiscum expulerant, rursus per legatos ad bellum Graecis inferendum irritare non dubitarent, c universos tum Graecos tum barbaros, ad hanc urbem obsiden dam colligere, ubi praecipue potentia virtusque civitatis hui effulsit. nam cum existimarent eam iam succubuisse, navesq obsessae circa Mitylenen essent, ipsi auxilium laturi sexagii naves ingressi, viri quidem sine controversia fortes, hostes p fligarunt, liberarunt amicos, et in sortem incidentes indign ex mari non aliter recepti hic iacent: quorum semper cum l de meminisse decet. Nam illorum virtute non modo tun navali certamine, sed reliquo etiam proelio victoriam repc mus. etenim propter illos tantam est nostra civitas gloriam secuta, ut nunquam expugnari posse nec ab omnibus qu hominibus crederetur. quod certe haud procul a veritate c dicatum. neque enim aliorum insidiis viribusque, sed p dissensione devicti sumus. nempe nunc etiam ab illis sum

ἡμεῖς δὲ αὐτοὶ ἡμᾶς αὐτοὺς καὶ ἐνικήσαμεν καὶ ἡττήθημεν. Μετὰ δὲ ταῦτα ἡσυχίας γενομένης καὶ εἰρήνης πρὸς τοὺς ἄλλους ὁ οἰκεῖος ἡμῖν πόλεμος οὕτως ἐπολεμήθη, ὥς τε εἴ περ εἰμαρμένον εἴη ἀνθρώποις στασιάσαι, μὴ ἂν ἄλλως εὔξασθαι μηδένα πόλιν ἑαυτοῦ νοσῆσαι. ἔκ τε γὰρ τοῦ Πειραιῶς καὶ τοῦ ἄστεως ὡς ἀσμένως καὶ οἰκείως ἀλλήλοις ξυνέμιξαν οἱ πολῖται καὶ παρ' ἐλπίδα τοῖς ἄλλοις Ἕλλησι, τόν τε πρὸς τοὺς Ἐλευσῖνι πόλεμον ὡς μετρίως ἔθεντο. καὶ τούτων 244
10 ἁπάντων οὐδὲν ἄλλ' αἴτιον ἢ ἡ τῷ ὄντι ξυγγένεια, φιλίαν βέβαιον καὶ ὁμόφυλον οὐ λόγῳ ἀλλ' ἔργῳ παρεχομένη. χρὴ δὲ καὶ τῶν ἐν τούτῳ τῷ πολέμῳ τελευτησάντων ὑπ' ἀλλήλων μνείαν ἔχειν καὶ διαλλάττειν αὐτοὺς ᾗ δυνάμεθα, εὐχαῖς καὶ θυσίαις ἐν τοῖς τοιοῖσδε, τοῖς κρατοῦσιν αὐτῶν εὐχομένους, ἐπειδὴ καὶ ἡμεῖς διηλλάγμεθα. οὐ γὰρ κακίᾳ ἀλλήλων ἤψαντο οὐδ' ἔχθρᾳ, ἀλλὰ δυστυχίᾳ. μάρτυρες δὲ ἡμεῖς αὐτοὶ ἐσμεν τούτων οἱ ζῶντες· οἱ αὐτοὶ γὰρ ὄντες ἐκείνοις γένει συγγνώμην ἀλλήλοις ἔχομεν ὧν τ' ἐποιήσαμεν ὧν τ' ἐπάθο-
20 μεν. Μετὰ δὲ τοῦτο παντελοῦς εἰρήνης ἡμῖν γενομένης

victi, sed ipsi nos expugnavimus, nobis ipsis offensionem succubuimus. Post haec tempora pacatis omnibus, cumque aliis pace confecta, intestina nobis seditio coorta est, in qua se ita gesserunt, ut si fatis decretum esset homines seditionibus agitari, nemo videatur aliter aegrotare patriam optaturus. Nam ex Piraeo et urbe quam benigne atque domestice praeter ceterorum Graecorum opinionem cives invicem convenerunt! bellumque adversus eos, qui Eleusine erant, concitum quam moderate transegerunt atque sedarunt! Horum profecto omnium alia nulla est causa, praeter veram ipsam cognationem, quae amicitiam firmam atque cognatam non sermone, sed re, his hominibus indidit. Oportet autem eos etiam, qui hoc in bello mutuis vulneribus conciderunt, memoria colere, et utcunque possumus, inter se eos conciliare, votis sacrificiisque pro illis qui superavere peractis, quandoquidem et nos conciliati sumus. neque enim improbitate inimicitiisque, sed infelicitate quadam, manus invicem conseruerunt. Horum vero testes sumus ipsi superstites. nam cum illis genere conjuncti simus, mutuo damus veniam et recipimus, si quid vel in alium intulimus vel perpessi sumus ab alio. Deinde cum in summa rerum tran-

ἡσυχίαν ἦγεν ἡ πόλις, τοῖς μὲν βαρβάροις συγγιγνώσκουσα, ὅτι παθόντες ὑπ' αὐτῆς κακῶς [ἱκανῶς] οὐκ ἐνδεῶς ἠμύναντο, τοῖς δὲ Ἕλλησιν ἀγανακτοῦσα, μεμνημένη ὡς εὖ παθόντες ὑπ' αὐτῆς οἷαν χάριν ἀπέδοσαν, κοινωσάμενοι τοῖς βαρβάροις, τάς τε ναῦς περιελόμενοι αἵ ποτ' ἐκείνους ἔσωσαν, καὶ τεῖχη καθελόντες ἀνθ' ὧν ἡμεῖς τἀκείνων ἐκωλύσαμεν πεσεῖν. διανοουμένη δὲ ἡ πόλις μὴ ἂν ἔτι ἀμῦναι μήτε Ἕλλησι πρὸς ἀλλήλων δουλευμένοις μήτε ὑπὸ βαρβάρων, οὕτως ὤκει ἡμῶν οὖν ἐν τοιαύτῃ διανοίᾳ ὄντων ἡγησάμενοι Λακεδαιμόνιοι τοὺς μὲν τῆς ἐλευθερίας ἐπικούρους πεπτωκέναι ἡμᾶς, σφέτερον δὲ ἤδη ἔργον εἶναι καταδουλοῦσθαι τοὺς ἄλλους, ταῦτ' ἔπραττον. καὶ μηκύνειν μὲν τί δεῖ; οὐ γὰρ παλαι οὐδὲ πολλῶν ἀνθρώπων γεγονότα λέγοιμ' ἂν τὰ μετὰ ταῦτα· αὐτοὶ γὰρ ἴσμεν ὡς ἐκπεπληγμένοι ἀφίκοντο εἰς χρείαν τῆς πόλεως τῶν τε Ἑλλήνων οἱ πρῶτοι, Ἀργεῖοι καὶ Βοιωτοὶ καὶ Κορίνθιοι, καὶ τό γε θειότατον πάντων, τὸ καὶ βασιλέα εἰς τοῦτο ἀπορίας ἀφικέσθαι, ὥστε περιστῆναι αὐτῷ μηδαμόθεν ἄλλοθεν τὴν σωτηρίαν γενέσθαι ἀλλ' ἢ ἐκ ταύτης τῆς πόλεως ἣν προθύμως ἀπώλλυ. καὶ δὴ καὶ εἴ τις βούλοιτο τῆς πόλεως κατηγορῆσαι δικαίως, τοῦτ' ἂν

quillitate quiesceret civitas, barbaris quidem igneseebat, quod infestati ab illa fortiter repugnaverant: Graecis autem indignabatur, quia pro acceptis beneficiis iniuriam quandoque retulerant, dum societatem cum barbaris inirent, navesque quibus fuerant servati, diriperent, dissiparentque muros, quibus nos moenia eorum, ne corruerent, quandoque defendimus. Instituit itaque civitas haud ultra tueri Graecos, si quando vel a Graecis vel a barbaris opprimerentur. Cum vero nos in hac essemus sententia constituti, putarentque Lacedaemonii nos libertatis tutores iacere, opusque eorum fore posthac, ut alios subiugarent, haec egerunt. Quid multis opus est verbis? neque enim vetera, neque multorum hominum gesta diegrem quae sequuntur. Neque nos latet, perterritos Graecorum primos, Argivos, Boeotios, Corinthios, auxilium civitatis huius imploravisse. quodque omnium divinissimum est, rex ipse tanta est indigentia pressus, ut non aliunde quam ex hac civitate, quam omni studio diruere conatus fuerat, salutem suam tutari posse confideret. Enimvero si quis huius civitatis captum incusare voluerit,

μόνον λέγων ὀρθῶς ἂν κατηγοροίη, ὡς ἀεὶ λίαν φιλοικτίρμων ἐστὶ καὶ τοῦ ἥττονος θεραπής. καὶ δὴ καὶ ἐν τῷ τότε χρόνῳ οὐχ οἷά τε ἐγένετο καρτερῆσαι οὐδὲ διαφυλάξαι ἃ ἐδέδοκτο αὐτῇ, τὸ μηδενὶ δουλουμένῳ βοηθεῖν τῶν σφᾶς ἀδικησάντων, ἀλλὰ ἐκάμφθη καὶ ἐβοήθησε, καὶ τοὺς μὲν Ἕλληνας αὐτὴ βοηθήσασα ἀπελύσατο δουλείας, ὥστ' ἐλευθέρους εἶναι μέχρι οὗ πάλιν αὐτοὶ αὐτοὺς κατεδουλώσαντο, βασιλεῖ δὲ αὐτὴ μὲν οὐκ ἐτόλμησε βοηθῆσαι, αἰσχυνομένη τὰ τρόπαια τὰ τε Μαραθῶνι καὶ Σαλαμῖνι καὶ Πλαταιαῖς, φυγάδας δὲ καὶ ἐθελοντὰς ἐάσασα μόνον βοηθῆσαι ὁμολογουμένως ἔσωσε. τειχισαμένη δὲ καὶ ναυπηγησαμένη, ἐκδεξαμένη τὸν πόλεμον, ἐπειδὴ ἠναγκάσθη πολεμεῖν, ὑπὲρ Παρίων ἐπολέμει Λακεδαιμονίοις. φοβηθεὶς δὲ βασιλεὺς τὴν πόλιν, ἐπειδὴ ἑώρα Λακεδαιμονίους τῷ κατὰ θάλατταν πολέμῳ ἀπαγορεύοντας, ἀποστῆναι βουλόμενος ἐζήτει τοὺς Ἕλληνας τοὺς ἐν τῇ ἠπείρῳ, οὓς περ πρότερον Λακεδαιμόνιοι αὐτῷ ἐξέθεσαν, εἰ μέλλοι συμμαχήσειν ἡμῖν τε καὶ τοῖς ἄλλοις ξυμμάχοις, ἡγούμενος οὐκ ἐθελήσειν, ἵν' αὐτῷ πρόφασις εἴη τῆς ἀποστάσεως. καὶ τῶν μὲν ἄλλων ξυμμάχων ἐψεύσθη — ἠθέλησαν

hoc duntaxat obiicere poterit, quod misericordia nimis afficitur, diligentiusque sublevat succumbentes. Ea siquidem tempestate tolerare non potuit, quodve instituerat ultra servare. Decreverat sane nullis unquam eorum, a quibus iniuriam accepisset, succumbentibus opem ferre. mutavit tamen propositum et auxilium praestitit. Unde Graecos liberavit a servitute, ita ut liberi vixerint, donec ipsi se invicem subiugarunt. Regi vero succurrere ausa minime. verebatur enim triumphos ex Marathone, Salamina, Plataeis, antea reportatos. sed cum sineret exsules et voluntarios adiutores illi favere, sine controversia eum quoque servavit. Structis autem muris fabricatisque navibus belloque suscepto, quando coacta est bellum gerere, pro Pariorum salute contra Lacedaemonios dimicavit. Metuens vero civitatem rex, postquam Lacedaemonios viderat navale bellum renuere, et iccirco desistere volens, requisivit Graecos qui in continenti erant, quos prius ipsi Lacedaemonii exhibuerant, si propugnandum foret nobiscum ceterisque belli sociis, arbitratus hoc sibi negatum iri, quo tergiversandi occasionem nancisceretur. ubi a propugnatoribus sociisque aliis est deceptus. namque exhibere

γὰρ αὐτῷ ἐκδιδόναι καὶ ξυνέθεντο καὶ ὤμοσαν Κορίνθιοι καὶ Ἀργεῖοι καὶ Βοιωτοὶ καὶ ἄλλοι σύμμαχοι, εἰ μέλλοι χρήματα παρέξειν, ἐκδώσειν τοὺς ἐν τῇ ἠπείρῳ Ἕλληνας —, μόνοι δὲ ἡμεῖς οὐκ ἐτολμήσαμεν οὔτε ἐκδοῦναι οὔτε ὀμόσαι. οὕτω δή τοι τό γε τῆς πόλεως γενναῖον καὶ ἐλεύθερον βέβαιόν τε καὶ ὑγιές ἐστι καὶ φύσει μισοβάρβαρον, διὰ τὸ εἰλικρινῶς εἶναι Ἕλληνες καὶ ἀμιγεῖς βαρβάρων. οὐ γὰρ Πέλοπες οὐδὲ Κάδμοι οὐδὲ Αἴγυπτοί τε καὶ Δαναοὶ οὐδὲ ἄλλοι πολλοὶ φύσει μὲν βάρβαροι ὄντες, νόμῳ δὲ Ἕλληνες συνοικοῦσιν ἡμῖν, ἀλλ' αὐτοὶ Ἕλληνες, οὐ μιξοβάρβαροι οἰκοῦμεν, ὅθεν καθαρὸν τὸ μῖσος ἐντέτηκε τῇ πόλει τῆς ἀλλοτρίας φύσεως. ὅμως δ' οὖν ἐμονώθημεν πάλιν διὰ τὸ μὴ ἐθέλειν αἰσχρὸν καὶ ἀνόσιον ἔργον ἐργάσασθαι, Ἕλληνας βαρβάροις ἐκδόντες. ἐλθόντες οὖν εἰς ταὐτὰ ἐξ ὧν καὶ τὸ πρότερον κατεπολεμήθημεν, σὺν θεῷ ἄμεινον ἢ τότε ἐθέμεθα τὸν πόλεμον· καὶ γὰρ ναῦς καὶ τείχη ἔχοντες καὶ τὰς ἡμετέρας αὐτῶν ἀποικίας ἀπηλλάγημεν τοῦ πολέμου· οὕτως ἀγαπητῶς ἀπηλλάττοντο καὶ οἱ πολέμιοι. ἀνδρῶν μέντοι ἀγαθῶν καὶ ἐν τούτῳ τῷ πολέμῳ ἐστερήθημεν, τῶν τε ἐν Κορίνθῳ χρησαμένων

illi voluerunt, convenerunteque iureiurando adhibito Corinthii, Argivi, Boeotii, ceterique belli socii, si daret pecunias, ut eos illi, qui in continenti erant, Graecos traderent. soli vero nos neque tradere neque iurare tunc ausi sumus. usque adeo mos civitatis huius generosus, liber, constans, integer, et natura barbaris est infensus: propterea quod homines hi absque ulla barbarorum commixtione puri integrique sunt Graeci. neque enim miscentur nobiscum Pelopes aut Cadmii aut Aegyptii Danaive aliique permulti, natura quidem barbari, lege solummodo Graeci: sed ipsi Graeci duntaxat, nulla prorsus infecti barbarorum confusione, perseveramus. quae quidem puritas odium huic civitati adversus genus alienum ingenuit. Soli rursus purique ex hoc perseveravimus, quod opus turpe profanumque perpetrare noluimus, Graecosque barbarorum manibus tradere. Ad haec igitur descendentes, ex quibus primo superati fuimus, favente deo, felicius quam tunc bellum posuimus. nam retinentes naves, muros nostrasque colonias, a bello liberati sumus: adeo libenter et hostes ipsi destiterunt. Viros tamen fortes hoc quoque in bello amisimus, partim apud Corinthum regionis aspe-

δυσχωρίᾳ καὶ ἐν Λεχαιῷ προδοσίᾳ. ἀγαθοὶ δὲ καὶ οἱ βασιλέα ἐλευθερώσαντες καὶ ἐκβαλόντες ἐκ τῆς θαλάττης Λακεδαιμονίους. ὧν ἐγὼ μὲν ὑμᾶς ἀναμιμνήσκω, ὑμᾶς δὲ πρέπει ξυνεπαινεῖν τε καὶ κοσμεῖν τοιούτους ἄνδρας. 246

Καὶ τὰ μὲν δὴ ἔργα ταῦτα τῶν ἀνδρῶν τῶν ἐνθάδε κειμένων καὶ τῶν ἄλλων, ὅσοι ὑπὲρ τῆς πόλεως τετελευτήκασι, πολλὰ μὲν τὰ εἰρημένα καὶ καλά, πολὺ δ' ἔτι πλείω καὶ καλλίω τὰ ὑπολειπόμενα· πολλαὶ γὰρ ἂν ἡμέραι καὶ νύκτες οὐχ ἱκαναὶ γένοιντο τῷ τὰ πάντα μέλλοντι περαίνειν. τούτων οὖν χρὴ μεμνημένους τοῖς τούτων ἐκγόνοις πάντ' ἄνδρα παρακελεύεσθαι, ὡς περ ἐν πολέμῳ, μὴ λείπειν τὴν τάξιν τὴν τῶν προγόνων μηδ' εἰς τοὐπίσω ἀναχωρεῖν εἴκοντας κάκῃ. ἐγὼ μὲν οὖν καὶ αὐτός, ὦ παῖδες ἀνδρῶν ἀγαθῶν, νῦν τε παρακελεύομαι καὶ ἐν τῷ λοιπῷ χρόνῳ, ὅπου ἄν τῳ ἐντυγχάνω ὑμῶν, καὶ ἀναμνήσω καὶ διακελεύσομαι προθυμεῖσθαι εἶναι ὡς ἄριστους· ἐν δὲ τῷ παρόντι δίκαιός εἰμι εἰπεῖν ἃ οἱ πατέρες ἡμῖν ἐπέσκηπτον ἀπαγγέλλειν τοῖς λειπομένοις, εἴ τι πάσχοιεν, ἡνίκα κινδυνεύειν ἔμελλον. φράσω δὲ ὑμῖν ἃ τε αὐτῶν ἤκουσα

ritate et angustia interceptos, partim proditione apud Lechaeum profligatos. Insignes quoque viri, qui et regem liberavere, et ex mari Lacedaemonios expulerunt. quos ego equidem in memoriam vobis reduco. vos autem viros huiusmodi collaudare celebrareque decet. Atque opera quidem haec virorum hic iacentium, ceterorumque omnium, quicunque pro patria obierunt, quae relata sunt, multa sunt atque praeclara: sed quae restant, plura admodum praestantioraque sunt. atqui dies multi vix noctesque sufficerent, si quis omnia complecti voluerit. His ergo memoria repetitis, unumquemque virum oportet natos horum assidue exhortari, ut tanquam in bello maiorum suorum ordinem servent, neque per ignaviam aufugiant. Equidem, o virorum praestantium filii, vos ipse et in praesentia exhortor, et in posterum, quemcunque vestrum nactus fuero, admonebo semper et cohortabor, ut quam optimi evadere contendatis. Nunc quoque par est vobis referre, quae nobis patres vestri finxerunt mandaruntque posteris praedicare, si quid paterentur, cum foret periclitandum. Recensebo igitur vobis in praesentia,

ἐκείνων καὶ οἷα νῦν ἡδέως ἂν εἴποιεν ὑμῖν λαβόντες δύναμιν, τεκμαιρόμενος ἐξ ὧν τότε ἔλεγον. ἀλλὰ νομίζειν χρὴ αὐτῶν ἀκούειν ἐκείνων ἃ ἂν ἀπαγγέλλω. ἔλεγον δὲ τάδε.

Ὦ παῖδες, ὅτι μέν ἐστε πατέρων ἀγαθῶν, αὐτὸ μηνύει τὸ νῦν παρόν· ἡμῖν δὲ ἐξὸν ζῆν μὴ καλῶς, καλῶς αἱρούμεθα μᾶλλον τελευτᾶν, πρὶν ὑμᾶς τε καὶ τοὺς ἑπειτα εἰς ὀνείδη καταστῆσαι καὶ πρὶν τοὺς ἡμετέρους πατέρας καὶ πᾶν τὸ πρόσθεν γένος αἰσχῦναι, ἡγούμενοι τῷ τοὺς αὐτοῦ αἰσχύναντι ἀβίωτον εἶναι καὶ τῷ τοιούτῳ οὔ τέ τινα ἀνθρώπων οὔτε θεῶν φίλον εἶναι οὔτ' ἐπὶ γῆς οὔθ' ὑπὸ γῆς τελευτήσαντι. χρὴ οὖν μεμνημένους τῶν ἡμετέρων λόγων, ἐάν τι καὶ ἄλλο ἀσκῆτε, ἀσκεῖν μετ' ἀρετῆς, εἰδότας ὅτι τούτου λειπόμενα πάντα καὶ κτήματα καὶ ἐπιτηδεύματα αἰσχρὰ καὶ κακά. οὔτε γὰρ πλοῦτος κάλλος φέρει τῷ κεκτημένῳ μετ' ἀνανδρίας — ἄλλῳ γὰρ ὁ τοιοῦτος πλουτεῖ καὶ οὐχ ἑαυτῷ —, οὔτε σώματος κάλλος καὶ ἰσχὺς δειλῷ καὶ κακῷ ξυνοικοῦντα πρέποντα φαίνεται ἀλλ' ἀπρεπῆ, καὶ ἐπιφανέστερον ποιεῖ τὸν ἔχοντα καὶ ἐκφαίνει τὴν δειλίαν· πᾶσά τε ἐπιστήμη χωριζομένη δικαιοσύνης καὶ

quae ex illis ipsis audivi, quaeve ipsi nunc vobis, si facultas daretur, libenter praeciperent. Coniecturam equidem ex illis quae quondam dicebant efficio. Existimate vero, nunc quae referam, illos ipsos audire loquentes. hunc autem in modum exorsi sunt: Quod ex praeclaris parentibus orti estis, o filii, praesentia vobis testantur. profecto, cum nobis liceret turpiter vivere, honeste emori maluimus, quam vos ceterosque posteros infamiae cuiquam subiicere, ac parentibus nostris superioribusque dedecori esse, putantes homini suos dedecoranti non esse vivendum. ei namque neque in vita neque post mortem amicum aliquem esse vel hominum vel deorum. Oportet igitur vos, verborum nostrorum memores, si quid aliud exercetis, cum virtute exercere, scientes absque virtute exercitationes et possessiones omnes turpes malasque esse. divitiae namque splendorem afferunt nullum eas cum ignavia possidenti. neque enim sibi hic, sed alteri parat possidetque divitias. Neque forma corporis atque robur, timido ac pravo cum insunt, decorem praestant. eum namque dedecent, notiorem efficiunt, ignaviam patefaciunt. Praeterea scientia quaevis remota iustitia aliaque

τῆς ἄλλης ἀρετῆς πανουργία, οὐ σοφία φαίνεται. ὧν 247
ἕνεκα καὶ πρῶτον καὶ ὕστατον καὶ διὰ παντὸς πᾶσαν
πάντως προθυμίαν πειρᾶσθε ἔχειν, ὅπως μάλιστα μὲν
ὑπερβαλεῖσθε καὶ ἡμᾶς καὶ τοὺς πρόσθεν εὐλείᾳ· εἰ
δὲ μή, ἴστε ὡς ἡμῖν, ἂν μὲν νικῶμεν ὑμᾶς ἀρετῇ, ἡ
νίκη αἰσχύνην φέρει, ἡ δὲ ἧττα, ἐὰν ἡττώμεθα, εὐδαι-
μονίαν. μάλιστα δ' ἂν ἡττώμεθα καὶ ὑμεῖς νικῴητε,
εἰ παρασκευάσαισθε τῇ τῶν προγόνων δόξῃ μὴ κατα-
χρησόμενοι μηδ' ἀνιλώσοντες αὐτήν, γνόντες ὅτι ἀνδρὶ
οἰομένῳ τι εἶναι οὐκ ἔστιν αἴσχιον οὐδὲν ἢ παρέχειν
ἑαυτὸν τιμώμενον μὴ δι' ἑαυτὸν ἀλλὰ διὰ δόξαν προ-
γόνων. εἶναι μὲν γὰρ τιμὰς γονέων ἐκγόνοις καλὸς θη-
σαυρὸς καὶ μεγαλοπρεπής· χρῆσθαι δὲ καὶ χρημάτων
καὶ τιμῶν θησαυρῷ, καὶ μὴ τοῖς ἐκγόνοις παραδιδόναι,
αἰσχρὸν καὶ ἄνανδρον, ἀπορίᾳ ἰδίων αὐτοῦ κτημάτων
τε καὶ εὐδοξιῶν. καὶ ἐὰν μὲν ταῦτα ἐπιτηδεύσητε, φί-
λοι παρὰ φίλους ἡμᾶς ἀφίξεσθε, ὅταν δὴ ὑμᾶς ἡ προσ-
ήκουσα μοῖρα κομίσῃ· ἀμελήσαντας δὲ ὑμᾶς καὶ κα-
κισθέντας οὐδεὶς εὐμενῶς ὑποδέξεται. Τοῖς μὲν οὖν
παισὶ ταῦτ' εἰρήσθω.

Πατέρας δὲ ἡμῶν, οἵς εἰσί, καὶ μητέρας ἀεὶ χρὴ

virtute, non sapientia, sed calliditas esse videtur. Quorum causa et primo et postremo atque per omnia, omni studio diligentiaque contendite, ut et nos et maiores nostros virtutis gloria superetis. alioquin scitote, si vobis virtute praestemus, victoriam hanc nobis dedecus allaturam: sin superemur a vobis, felicitatem. Ita vero maxime nos quidem superabimur, vos autem superabitis, si ea ratione vitam instituetis, ut maiorum gloria non abutamini, neque eam, ut ita dixerimus, expendatis erogetisque: scientes, viro aliquid esse se existimanti nihil turpius posse accidere, quam se ipsum honorandum non propriam ob virtutem, sed propter gloriam superiorum praebere. Gloria enim parentum natis praeclaris est magnificusque thesaurus: uti vero pecuniarum honorumque thesauro, et hunc ad posteros non transfundere, propriae possessionis gloriaeque defectu, turpe, et a viri generositate penitus alienum. Si igitur haec exercueritis, vitae demum fatis exactis cari ad nos filii caros parentes proficiscemini. sin autem neglexeritis haec et improbi evaseritis, nemo vos libens excipiet. Natis quidem nostris haec sint dicta. Patres autem nostros ac matres, si cui nostrum su-

παραμυθεῖσθαι ὡς ῥᾷστα φέρειν τὴν ξυμφοράν, ἐὰν ἄρα ξυμβῇ γενέσθαι, καὶ μὴ ξυνοδύρεσθαι — οὐ γὰρ τοῦ λυπήσοντος προσδεήσονται· ἱκανὴ γὰρ ἔσται καὶ ἡ γενομένη τύχη τοῦτο ποιῆσαι — ἀλλ' ἰωμένους καὶ πραΰνοντας ἀναμιμνήσκειν αὐτοὺς ὅτι ὧν εὔχοντο τὰ μέγιστα αὐτοῖς οἱ θεοὶ ἐπήκοοι γεγόνασιν. οὐ γὰρ ἀθανάτους σφίσι παῖδας εὔχοντο γενέσθαι ἀλλ' ἀγαθοὺς καὶ εὐκλεεῖς· ὧν ἔτυχον, μεγίστων ἀγαθῶν ὄντων. πάντα δὲ οὐ ῥᾴδιον θνητῷ ἀνδρὶ κατὰ νοῦν ἐν τῷ ἑαυτοῦ βίῳ ἐκβαίνειν. καὶ φέροντες μὲν ἀνδρείως τὰς συμφορὰς δόξουσι τῷ ὄντι ἀνδρείων παίδων πατέρες εἶναι καὶ αὐτοὶ τοιοῦτοι· ὑπεῖκοντες δὲ ὑποψίαν παρέξουσιν ἢ μὴ ἡμέτεροι εἶναι ἢ ἡμῶν τοὺς ἐπαινοῦντας καταψεύδεσθαι. χρὴ δὲ οὐδέτερα τούτων, ἀλλ' ἐκείνους μάλιστα πάντων ἡμῶν ἐπαινέτας εἶναι ἔργῳ, παρέχοντας αὐτοὺς φαινομένους τῷ ὄντι πατέρας ὄντας ἀνδρας ἀνδρῶν. πάλαι γὰρ δὴ τὸ μηδὲν ἄγαν λεγόμενον καλῶς δοκεῖ λέγεσθαι· τῷ γὰρ ὄντι εὖ λέγεται. ὅτῳ γὰρ ἀνδρὶ εἰς ἑαυτὸν ἀνήρτηται πάντα τὰ πρὸς εὐδαιμονίαν φέροντα ἢ ἐγγὺς τούτου, καὶ μὴ ἐν ἄλλοις ἀνθρώποις αἰωρεῖται ἐξ ὧν ἢ εὖ ἢ κακῶς πρα-

persunt atque consolatione indigent, consolari oportet, quia de ceat facile quaecunque acciderint ferre: neque cum illis una d plorandus est casus. lamentationibus enim aliorum non indig bunt: satis enim sors tristitiae illis inferet. Mederi profec lenireque oportet, et in primis illud commemorare, quod m xima eorum, quae exoptare solent, exaudientes dii iam trib runt. neque enim immortales sibi filios dari, sed bonos et lustres optabant. cuius quidem voti compotes effecti sunt, q maximum existimandum est bonum. Omnia vero mortali ad votum in vita succedere; haud facile est. Atqui si so forti animo tolerabunt, videbuntur revera fortium filiorum rentes, ipsique fortes esse. sin autem dolori succumbent, s cionem hominibus inferent, ne forte aut parentes nostri mi sint, aut qui nos laudibus efferunt, mentiantur. At horum trum evenire oportet: immo vero laudatores nostros re praecipue illos esse, ostendentes se revera parentes viro virorum. Enimvero vetus illud proverbium, Nihil nimis dictum videtur. Nam qui ita se comparavit, ut ex se ipse deant omnia, quae ad beatitudinem conferunt, vel quar xime ad hoc accedit, neque ex aliis pendet hominibus,

ξάντων πλανᾶσθαι ἠνάγκασται καὶ τἀκείνου, τούτῳ ἄριστα παρεσκεύασται ζῆν, οὗτός ἐστιν ὁ σώφρων καὶ οὗτος ὁ ἀνδρεῖος καὶ φρόνιμος· οὗτος γιγνομένων χρημάτων καὶ παίδων καὶ διαφθειρομένων μάλιστα πείσεται τῇ παροιμίᾳ· οὔτε γὰρ χαίρων οὔτε λυπούμενος ἄγαν φανήσεται διὰ τὸ αὐτῷ πεποιθέναι. τοιούτους δὲ ἡμεῖς γε ἀξιοῦμεν καὶ τοὺς ἡμετέρους εἶναι καὶ βουλόμεθα καὶ φαμέν, καὶ ἡμᾶς αὐτοὺς νῦν παρέχομεν τοιούτους, οὐκ ἀγανακτοῦντας οὐδὲ φοβουμένους ἄγαν εἰ δεῖ τελευτᾶν ἐν τῷ παρόντι. δεόμεθα δὴ καὶ πατέρων καὶ μητέρων τῇ αὐτῇ ταύτῃ διανοίᾳ χρωμένους τὸν ἐπίλοιπον βίον διάγειν, καὶ εἰδέναι ὅτι οὐ θρηνοῦντες οὐδὲ ὀλοφυρόμενοι ἡμᾶς ἡμῖν μάλιστα χαριοῦνται, ἀλλ' εἴ τις ἔστι τοῖς τετελευτηκόσιν αἴσθησις τῶν ζώντων, οὕτως ἀχάριστοι εἶεν ἂν μάλιστα; ἑαυτούς τε κακοῦντες καὶ βαρέως φέροντες τὰς ξυμφοράς· κούφως δὲ καὶ μετρίως μάλιστ' ἂν χαρίζοιντο. τὰ μὲν γὰρ ἡμέτερα τελευτὴν ἤδη ἕξει ἣ περ καλλίστη γίγνεται ἀνθρώποις, ὥστε πρέπει αὐτὰ μᾶλλον κοσμεῖν ἢ θρηνεῖν· γυναικῶν δὲ τῶν ἡμετέρων καὶ παίδων ἐπιμελούμενοι καὶ τρέφοντες καὶ ἐνταῦθα τὸν νοῦν τρέποντες τῆς τε τύχης μάλιστ' ἂν

vel bene vel male agentibus sua quoque mutari cogantur, hic optime vitam instituit: hic temperans est, hic fortis, hic prudens: hic sive pecunias nanciscatur ac filios, sive amittat, proverbio semper parebit. nunquam enim nimis aut laetitia exultabit aut dolore deiicietur, propterea quod ipsi pareat. Tales esse et nostros debere iudicamus et volumus. atqui et in praesentia nos ipsos tales penitus exhibemus, haud certe perturbatos vel nimio metu perterritos, si nunc vita decedere nos oporteat. Oramus quoque patres nostros ac matres, ut similiter affecti vitam futuram agant, scientes, quod non lamentationibus eiulationibusque maxime nobis gratificabuntur: verum, si quis est his, qui defuncti sunt, sensus viventium, ita maxime nobis molesti futuri sunt, si se ipsos perdiderint et inique sortem tulerint: sin autem moderate ac leviter, nobis summopere obsequentur. nostra porro eum iam finem habebunt, qui hominibus est pulcherrimus: quamobrem collaudanda sunt potius quam deflenda. Profecto si uxores nostra filiosque tuebuntur et nutrient, et his incumbent, ita maxime casus oblivioni man-

εἶεν ἐν λήθῃ καὶ ζῷεν κάλλιον καὶ ὀρθότερον καὶ ἡμῖν προσφιλέστερον.

Ταῦτα δὴ ἱκανὰ τοῖς ἡμετέροις παρ' ἡμῶν ἀγγέλλειν. τῇ δὲ πόλει παρακελευοίμεθ' ἂν ὅπως ἡμῖν καὶ πατέρων καὶ υἱέων ἐπιμελήσονται, τοὺς μὲν παιδεύοντες κοσμίως, τοὺς δὲ γηροτροφοῦντες ἀξίως· νῦν δὲ ἴσμεν ὅτι καὶ ἐὰν μὴ ἡμεῖς παρακελευώμεθα, ἱκανῶς ἐπιμελήσεται.

Ταῦτα οὖν, ὦ παῖδες καὶ γονεῖς τῶν τελευτησάντων, ἐκεῖνοί τε ἐπέσκηπτον ἡμῖν ἀπαγγέλλειν καὶ ἐγὼ ὡς δύναμαι προθυμότατα ἀπαγγέλλω· καὶ αὐτὸς δέομαι ὑπὲρ ἐκείνων τῶν μὲν μιμεῖσθαι τοὺς αὐτῶν, τῶν δὲ θαρρεῖν ὑπὲρ αὐτῶν, ὡς ἡμῶν καὶ ἰδίᾳ καὶ δημοσίᾳ γηροτροφησόντων ὑμᾶς καὶ ἐπιμελησομένων, ὅπου ἂν ἕκαστος ἑκάστῳ ἐντυγχάνῃ ὅτῳοὖν τῶν ἐκείνων. τῆς δὲ πόλεως ἴστε που καὶ αὐτοὶ τὴν ἐπιμέλειαν, ὅτι νόμους θεμένη περὶ τοὺς τῶν ἐν τῷ πολέμῳ τελευτησάντων παῖδάς τε καὶ γεννήτορας ἐπιμελεῖται, καὶ διαφερόντως τῶν
49 ἄλλων πολιτῶν προστέτακται φυλάττειν ἀρχὴ ἥ περ μεγίστη ἐστίν, ὅπως ἂν οἱ τούτων μὴ ἀδικῶνται πατέρες τε καὶ μητέρες· τοὺς δὲ παῖδας συνεκτρέφει αὐτή, προθυμουμένη ὅτι μάλιστ' ἄδηλον αὐτοῖς τὴν ὀρφανίαν γενέσθαι, ἐν πατρὸς σχήματι καταστᾶσα αὐτοῖς αὐτὴ ἔτι

dabunt, pulchriusve et rectius nobisque gratius vitam agent. Haec igitur nostro nomine nostris praedicare sufficiet. Civitati vero mandamus, ut parentum nostrorum filiorumque curam habeat, et hos quidem honeste eruditat, illorum senium digne foveat. Cognovimus certe vos, etiamsi haec minime praeceperimus, optime curaturos. Haec igitur, o filii defunctorum atque parentes, ut moneremus, illi mandarunt: ego vero, quantum possum, diligentissime moneo, eorumque nomine obsecro, iuniores quidem, ut praeclaras suorum res imitentur; seniores autem, ut de se optime sperent. nempe senectutem vestram privatim publiceque alemus, et quemcunque ex illorum progenie nacti fuerimus, summa benevolentia complectemur. Civitatis vero providentiam ipsi minime ignoratis, quae statutis legibus parentes et filios eorum, qui in bello interiere, tutatur, et ante alios cives summo magistratui talium committit curam, ne ulla prorsus iniuria parentes horum afficiantur. Filios autem educat ipsa, studetque, ut illis ignota sit orbitas. nam ipsa parentis

τε παισὶν οὖσι, καὶ ἐπειδὰν εἰς ἀνδρὸς τέλος ἴωσιν, ἀποπέμπει ἐπὶ τὰ σφέτερ' αὐτῶν πανοπλίᾳ κοσμήσασα, ἐνδεικνυμένη καὶ ἀναμιμνήσκουσα τὰ τοῦ πατρὸς ἐπιτηδεύματα, ὄργανα τῆς πατρῴας ἀρετῆς διδοῦσα, καὶ ἅμα οἰωνοῦ χάριν ἄρχεσθαι ἰέναι ἐπὶ τὴν πατρῴων ἑστίαν ἄρξοντα μετ' ἰσχύος ὅπλοις κεκοσμημένον. αὐτοὺς δὲ τοὺς τελευτήσαντας τιμῶσα οὐδέποτε ἐκλείπει, καθ' ἕκαστον ἐνιαυτὸν αὐτὴ τὰ νομιζόμενα ποιοῦσα κοινῇ πᾶσιν ἃ περ ἰδίᾳ ἑκάστῳ [ἴδια] γίγνεται, πρὸς δὲ τούτοις ἀγῶνας γυμνικοὺς καὶ ἱππικοὺς τιθεῖσα καὶ μουσικῆς πάσης, καὶ ἀτεχνῶς τῶν μὲν τελευτησάντων ἐν κληρονόμου καὶ υἱέος μοίρᾳ καθεστηκυῖα, τῶν δὲ υἱέων ἐκ πατρός, γονέων δὲ καὶ τῶν τοιούτων ἐν ἐπιτρόπου, πᾶσαν πάντων παρὰ πάντα τὸν χρόνον ἐπιμέλειαν ποιουμένη. ὧν χρὴ ἐνθυμουμένους πραότερον φέρειν τὴν ξυμφοράν· τοῖς τε γὰρ τελευτήσασι καὶ τοῖς ζῶσιν οὕτως ἂν προσφιλέστατοι εἶητε καὶ ῥᾷστοι θεραπεύειν τε καὶ θεραπεύεσθαι. Νῦν δὲ ἤδη ὑμεῖς τε καὶ οἱ ἄλλοι πάντες, κοινῇ κατὰ τὸν νόμον τοὺς τετελευτηκότας ἀπολοφυράμενοι, ἄπιτε.

Οὗτός σοι ὁ λόγος, ὦ Μενέξενε, Ἀσπασίας τῆς Μιλησίας ἐστίν.

gerit vicem, et dum pueri sunt: et cum ad maturam aetatem venerunt, ad officia sua transmittit, omni armatura fulcit, patris studia ostendit et memorat, dum paternae virtutis tribuit instrumenta: ac simul auspicii gratia iubet tunc primum domum paternam ingredi filium, quasi imperaturum et armis cum robore fulctum. Eos praeterea, qui decesserunt e vita, honorat, caesemonias quotannis lege decretas communiter cunctis instaurans, quae privatim unicuique proprie peragi solent. Gymnica item certamina equestriaque instituit, musicaeque ludos varios adhibet. Ac profecto, quoad defunctos spectat, heredis et filii subit conditionem: quoad filios, patris: quoad parentes ceterosque huiusmodi, curatoris: omni diligentia semper omnibus providens. Quarum rerum animadversione, quae aciderunt, aequo animo ferre debetis. nam hoc pacto et mortuis et viventibus eritis gratiores, facileque curabitis, et facile curabimini. Nunc vero vos, ac ceteri omnes, qui communiter secundum legem eos, qui naturae cesserunt, iam lugubribus expiationibus prosecuti estis, abite. Hic est, o Menexene, Aspasiae Milesiae sermo.

MEN. Νὴ Δί', ὦ Σώκρατες, μακαρίαν γε λέγεις τὴν Ἀσπασίαν, εἰ γυνὴ οὖσα τοιούτους λόγους οἵα τ' ἐστὶ συντιθέναι.

ΣΩ. Ἀλλ' εἰ μὴ πιστεύεις, ἀκολούθει μετ' ἐμοῦ καὶ ἀκούσει αὐτῆς λεγούσης.

MEN. Πολλάκις, ὦ Σώκρατες, ἐγὼ ἐντετύχηκα Ἀσπασίᾳ, καὶ οἶδα οἵα ἐστίν.

ΣΩ. Τί οὖν; οὐκ ἄγασαι αὐτὴν καὶ νῦν χάριν ἔχεις τοῦ λόγου αὐτῇ;

MEN. Καὶ πολλήν γε, ὦ Σώκρατες, ἐγὼ χάριν 19
ἔχω τούτου τοῦ λόγου ἐκείνῃ ἢ ἐκείνῳ ὅς τίς σοι ὁ εἰπών ἐστιν αὐτόν· καὶ πρό γε ἄλλων πολλῶν χάριν ἔχω τῷ εἰπόντι.

ΣΩ. Εὖ ἂν ἔχοι, ἀλλ' ὅπως μου μὴ κατερεῖς, ἵνα καὶ αὖθίς σοι πολλοὺς καὶ καλοὺς λόγους παρ' αὐτῆς πολιτικοὺς ἀπαγγέλλω.

MEN. Θάρρει, οὐ κατερῶ· μόνον ἀπάγγελλε.

ΣΩ. Ἀλλὰ ταῦτ' ἔσται.

Men. Per Iovem, o Socrates, beatam dicis Aspasiam, si, cum mulier sit, tales potest orationes componere. *So.* At, si minus credis, sequere me: dicentem ipsam audies. *Men.* Saepenumero cum Aspasia fui, Socrates, et qualis sit, novi. *So.* Cur igitur eam non veneraris? cur non habes propter hanc orationem illi gratiam? *Men.* Ingentem equidem, o Socrates, habeo gratiam mulieri huic, seu viro, quisquis tibi orationem hanc tradidit: ac prae ceteris multis narranti gratiam habeo. *So.* Bene quidem. Sed ne me prodas, ut deinceps multas eius praeclarasque de civilibus rebus orationes tibi recenseam. *Men.* Confide. non prodam, referas modo. *So.* Fiet ut postulas.

ΙΠΠΙΑΣ ΜΕΙΖΩΝ

ΤΑ ΤΟΥ ΔΙΑΛΟΓΟΥ ΠΡΟΣΩΠΑ

ΣΩΚΡΑΤΗΣ, ΙΠΠΙΑΣ.

SOCRATES, HIPPIAS.

Ἱππίας ὁ καλός τε καὶ σοφός, ὡς διὰ χρόνου ἡμῖν 281
κατῆρας εἰς τὰς Ἀθήνας.

III. Οὐ γὰρ σχολή, ὦ Σώκρατες. ἡ γὰρ Ἦλις ὅταν τι δέηται διαπράξασθαι πρός τινα τῶν πόλεων, ἀεὶ ἐπὶ πρῶτον ἐμὲ ἔρχεται τῶν πολιτῶν αἱρουμένη πρεσβευτήν, ἡγουμένη δικαστὴν καὶ ἄγγελον ἱκανώτατον εἶναι τῶν λόγων οἳ ἂν παρὰ τῶν πόλεων ἑκάστων λέγωνται. πολλάκις μὲν οὖν καὶ εἰς ἄλλας πόλεις ἐπρέσβευσα, πλεῖστα δὲ καὶ περὶ πλείστων καὶ μεγίστων εἰς τὴν
10 Λακεδαίμονα. διὸ δή, ὃ σὺ ἐρωτᾷς, οὐ θαμίζω εἰς τούσδε τοὺς τόπους.

ΣΩ. Τοιοῦτον μέντοι, ὦ Ἱππία, ἔστι τὸ τῇ ἀληθείᾳ σοφόν τε καὶ τέλειον ἄνδρα εἶναι. σὺ γὰρ καὶ ἰδίᾳ ἱκανὸς εἶ παρὰ τῶν νέων πολλὰ χρήματα λαμβάνων ἔτι πλείω ὠφελεῖν ὧν λαμβάνεις, καὶ αὖ δημοσίᾳ τὴν σαυτοῦ πόλιν ἱκανὸς εὐεργετεῖν, ὡς περ χρὴ τὸν

O sapiens et pulcher Hippias, quam raro Athenas accedis! *Hip.* Non datur, o Socrates, otium. nam Elienses cives, quotiens cum externis gentibus aliquid est tractandum, mihi praeceteris legationes committunt, idoneum me iudicem ac nuntium existimantes eorum, quae apud singulas civitates dicuntur. Quamobrem saepe et ad alias urbes, saepius etiam et de maximis rebus Lacedaemonem legatus accessi, quo fit, ut haec loca, quod ipse quaerebas, minus frequentem. *So.* Hoc certe, o Hippia, sapientis perfectique viri proprium est. Tu quidem privatim, multis ab adolescentibus acceptis pecuniis, ad plura etiam prodesse illis, quam quae acceperis, vales: atque iterum publice patriam tuam tueri, ut decet eum, qui non contemnen-

μέλλοντα μὴ καταφρονήσεσθαι ἀλλ' εὐδοκιμήσειν ἐν τοῖς πολλοῖς. ἀτάρ, ὦ Ἱππία, τί ποτε τὸ αἴτιον ὅτι οἱ παλαιοὶ ἐκεῖνοι, ὧν ὀνόματα μεγάλα λέγεται ἐπὶ σοφίᾳ, Πιττακοῦ τε καὶ Βίαντος καὶ τῶν ἀμφὶ τὸν Μιλήσιον Θαλῆν καὶ ἔτι τῶν ὕστερον μέχρι Ἀναξαγόρου, ὡς ἢ πάντες ἢ οἱ πολλοὶ αὐτῶν φαίνονται ἀπεχόμενοι τῶν πολιτικῶν πράξεων;

ΙΠ. Τί δ' οἴει, ὦ Σώκρατες, ἄλλο γε ἢ ἀδύνατοι ἦσαν καὶ οὐχ ἱκανοὶ ἐξικνεῖσθαι φρονήσει ἐπ' ἀμφότερα, τά τε κοινὰ καὶ τὰ ἴδια;

ΣΩ. Ἆρ' οὖν πρὸς Διός, ὡς περ αἱ ἄλλαι τέχναι ἐπιδεδώκασι καὶ εἰσὶ παρὰ τοὺς νῦν δημιουργούς οἱ παλαιοὶ φαῦλοι, οὕτω καὶ τὴν ὑμετέραν τῶν σοφιστῶν τέχνην ἐπιδεδωκέναι φῶμεν καὶ εἶναι τῶν ἀρχαίων τοὺς περὶ τὴν σοφίαν φαύλους πρὸς ὑμᾶς;

ΙΠ. Πάνυ μὲν οὖν ὀρθῶς λέγεις.

ΣΩ. Εἰ ἄρα νῦν ἡμῖν, ὦ Ἱππία, ὁ Βίας ἀνα-
32 βιώη, γέλωτ' ἂν ὄφλοι πρὸς ὑμᾶς, ὡς περ καὶ τὸν Δαίδαλόν φασιν οἱ ἀνδριαντοποιοί, νῦν εἰ γενόμενος τοιαῦτ' ἐργάζοιτο οἷα ἦν ἀφ' ὧν τοὔνομ' ἔσχε, καταγέλαστον ἂν εἶναι.

ΙΠ. Ἔστι μὲν ταῦτα, ὦ Σώκρατες, οὕτως ὡς σὺ

dus vulgo, sed summo in pretio sit habendus. Ceterum quaenam, o Hippia, causa, quod prisci illi, qui sapientum cognomen adepti sunt, Pittacus atque Bias, et qui Thaletis Milesii tempore, quive deinceps usque ad Anaxagoram, sapientiae studio floruerunt, vel omnes vel plurimi civilibus actionibus abstinuere? *Hip.* Quid aliud putas, o Socrates, illos continuisse quam imbecillitatem ingenii, cum non possent utraque, privata et publica, prudenter administrare? *So.* An quemadmodum ceterae artes incrementum tempore susceperunt, adeo ut nostri temporis artifices superioribus longe praecellant: ita et facultatem vestram, studium videlicet Sophistarum, creviase dicendum, ac veteres sapientiae studiosos, si vobiscum comparentur, viles admodum exstitisse? *Hip.* Recte omnino loqueris. *So.* Ergo si hodie Bias in vitam resurgeret, a vobis irrideretur: quemadmodum ipsum Daedalum sculptores aiunt, si reviviscens talia fabricaret, qualia quondam, ex quibus sibi gloriam comparavit, ridiculum fore. *Hip.* Sic se res habet, ut ais, o Socra-

λέγεις· εἴωθα μέντοι ἔγωγε τοὺς παλαιούς τε καὶ προτέρους ἡμῶν προτέρους τε καὶ μᾶλλον ἐγκωμιάζειν ἢ τοὺς νῦν, εὐλαβούμενος μὲν φθόνον τῶν ζώντων, φοβούμενος δὲ μῆνιν τῶν τετελευτηκότων.

ΣΩ. Καλῶς γε σύ, ὦ Ἱππία, νομίζων τε καὶ διανοούμενος, ὡς ἐμοὶ δοκεῖς. συμμαρτυρήσαι δέ σοι ἔχω ὅτι ἀληθῆ λέγεις καὶ τῷ ὄντι ὑμῶν ἐπιδέδωκεν ἡ τέχνη πρὸς τὸ καὶ τὰ δημόσια πράττειν δύνασθαι μετὰ τῶν ἰδίων. Γοργίας τε γὰρ οὗτος ὁ Λεοντῖνος σοφιστὴς δεῦρο ἀφίκετο δημοσίᾳ οἴκοθεν πρεσβεύων, ὡς ἱκανώτατος ὢν Λεοντίνων τὰ κοινὰ πράττειν, καὶ ἔν τε τῷ δήμῳ ἔδοξεν ἄριστα εἰπεῖν καὶ ἰδίᾳ ἐπιδείξεις ποιούμενος καὶ συνὼν τοῖς νέοις χρήματα πολλὰ εἰργάσατο καὶ ἔλαβεν ἐκ τῆσδε τῆς πόλεως· εἰ δὲ βούλει, ὁ ἡμέτερος ἑταῖρος Πρόδικος οὗτος πολλάκις μὲν καὶ ἄλλοτε δημοσίᾳ ἀφίκετο, ἀτὰρ τὰ τελευταῖα ἔναγχος ἀφικόμενος δημοσίᾳ ἐκ Κέω λέγων τ' ἐν τῇ βουλῇ πάνυ εὐδοκίμησε καὶ ἰδίᾳ ἐπιδείξεις ποιούμενος καὶ τοῖς νέοις συνὼν χρήματα ἔλαβε θαυμαστὰ ὅσα. τῶν δὲ παλαιῶν ἐκείνων οὐδεὶς πώποτε ἠξίωσεν ἀργύριον μισθὸν πράξασθαι οὐδ' ἐπιδείξεις ποιήσασθαι ἐν παντοδαποῖς ἀνθρώποις τῆς ἑαυτοῦ σοφίας· οὕτως ἦσαν εὐήθεις καὶ

tes, veruntamen priscos homines praeferre semper recentioribus consuevi, ut et viventium invidiam et defunctorum indignationem vitarem. *So.* Probe, o Hippia, et sentire et loqui mihi videris. ego quoque testari possum, te vera loqui. nam revera vestra facultas adaucta est, vimque suscepit ad publica una cum privatis administranda. Gorgias siquidem iste, Leontinus Sophista, huc patriae legatus accessit, utpote qui esset in civilium rerum gubernatione Leontinorum omnium praestantissimus: ubi ad populum concionari praeclare iudicatus est, deinde privatim disputans, et cum iuvenibus versatus, multas in hac urbe pecunias cumulavit, quin etiam, si audire vis, amicus noster Prodicus et saepe alias publicis muneribus functus est, et nuper ex Chio insula veniens, cum publice in consilio dixisset, summopere probatus est: et privatim disserens, iuvenesque erudiens, pecunias innumeras est lucratus. E priscis autem illis nullus unquam dignum putavit argenti mercedem sequi, aut propriam sapientiam in coetu diversorum hominum ostentare: adeo inepti et

ἐλεηθεὶ αὐτοὺς ἀργύριον ὡς πολλοῦ ἄξιον εἴη. τούτων δ' ἑκάτερος πλέον ἀργύριον ἀπὸ σοφίας εἴργασται ἢ ἄλλος δημιουργὸς ἀφ' ἧς τινὸς τέχνης· καὶ ἔτι πρότερος τούτων Πρωταγόρας.

ΙΠ. Οὐδὲν γάρ, ὦ Σώκρατες, οἶσθα τῶν καλῶν περὶ τοῦτο. εἰ γὰρ εἰδείης ὅσον ἀργύριον εἴργασμαι ἐγώ, θαυμάσαις ἄν. καὶ τὰ μὲν ἄλλα ἐῶ· ἀφικόμενος δέ ποτε εἰς Σικελίαν, Πρωταγόρου αὐτόθι ἐπιδημοῦντος καὶ εὐδοκιμοῦντος καὶ πρεσβυτέρου ὄντος καὶ πολὺ νεώτερος ὢν ἐν ὀλίγῳ χρόνῳ πάνυ πλέον ἢ πεντήκοντα καὶ ἑκατὸν μνᾶς εἰργασάμην, καὶ ἐξ ἑνός γε χωρίου πάνυ σμικροῦ, Ἰνυκοῦ, πλέον ἢ εἴκοσι μνᾶς. καὶ τοῦτο ἐλθὼν οἴκαδε φέρων τῷ πατρὶ ἔδωκα, ὥστε ἐκεῖνον καὶ τοὺς ἄλλους πολίτας θαυμάζειν τε καὶ ἐκπεπλῆχθαι. καὶ σχεδόν τι οἶμαι ἐμὲ πλείω χρήματα εἰργάσθαι ἢ ἄλλους σύνδυο οὓς τινας βούλει τῶν σοφιστῶν.

ΣΩ. Καλόν γε, ὦ Ἱππία, λέγεις καὶ μέγα τεκμήριον σοφίας τῆς τε σεαυτοῦ καὶ τῶν νῦν ἀνθρώπων πρὸς τοὺς ἀρχαίους, ὅσον διαφέρουσι. τῶν γὰρ προτέρων λέγεται πολλὴ ἀμαθία κατὰ τὸν σὸν λόγον. τοὐναντίον γὰρ Ἀναξαγόρᾳ φασὶ συμβῆναι ἢ ὑμῖν· καταλειφθέντων γὰρ αὐτῷ πολλῶν χρημάτων καταμελῆσαι καὶ ἀπο-

ignavi erant, eosque, quanti argentum sit, latebat. Sed uterque illorum, quos modo retuli, plus argenti sapientia sua, quam alius quivis artifex ex qualibet arte cumulavit: idemque Protagoras ante illos effecit. *Hip.* Nihil, o Socrates, egregium hac in re nosti. nam si videres, quantum ego argenti lucratus sum, obstupesceres. Mitto alia, verum in Siciliam quandoque profectus, ubi tunc Protagoras habitabat summoque in honore habebatur, me admodum senior, brevi plus quam centum et quinquaginta minas collegi, et ex regione quadam angusta, Inyca nomine, plus quam minas viginti: cumque domum rediissem, patri dedi: quod quidem tam ille, quam reliqui cives, vehementer admirati sunt. enimvero me plures ferme pecunias, quam duos alios simul, quoscunque vis, Sophistas congregasse existimo, *So.* O rem praeclaram! potissimum, Hippia, id argumentum est, quanto et tu et alii huius seculi sapientes veteres superatis. nam prima quanta inscitia Anaxagorae fuisse videtur? cui contra ac vobis contigit. amplum quippe patrimonium ne-

λέσαι πάντα· οὕτως αὐτὸν ἀνόητα σοφίζεσθαι. λέγουσι δὲ καὶ περὶ ἄλλων τῶν παλαιῶν ἕτερα τοιαῦτα. τοῦτο μὲν οὖν μοι δοκεῖς καλὸν τεκμήριον ἀποφαίνειν περὶ σοφίας τῶν νῦν πρὸς τοὺς προτέρους, καὶ πολλοῖς συνδοκεῖ, ὅτι τὸν σοφὸν αὐτὸν αὑτῷ μάλιστα δεῖ σοφὸν εἶναι· τούτου δ' ὅρος ἐστὶν ἄρα, ὃς ἂν πλεῖστον ἀργύριον ἐργάσηται. Καὶ ταῦτα μὲν ἱκανῶς ἐχέτω· τόδε δέ μοι εἰπέ, σὺ αὐτὸς πόθεν πλεῖστον ἀργύριον εἰργάσω τῶν πόλεων εἰς ἃς ἀφικνεῖ; ἢ δῆλον ὅτι ἐκ Λακεδαίμονος, οἷ περ καὶ πλειστάκις ἀφῖξαι;

Hip. Οὐ μὰ τὸν Δί', ὦ Σώκρατες.

So. Πῶς φῄς; ἀλλ' ἐλάχιστον;

Hip. Οὐδὲν μὲν οὖν τὸ παράπαν πώποτε.

So. Τέρας λέγεις καὶ θαυμαστόν, ὦ Ἱππία. καί μοι εἰπέ, πότερον ἡ σοφία ἡ σὴ οὐχ οἵα τοὺς συνόντας αὐτῇ καὶ μανθάνοντας εἰς ἀρετὴν βελτίους ποιεῖν;

Hip. Καὶ πολύ γε, ὦ Σώκρατες.

So. Ἀλλὰ τοὺς μὲν Ἰνυκηνῶν υἱεῖς οἷός τε ἦσθα ἀμείνους ποιῆσαι, τοὺς δὲ Σπαρτιατῶν ἠδυνάτεις;

Hip. Πολλοῦ γε δέω.

So. Ἀλλὰ δῆτα Σικελιῶται μὲν ἐπιθυμοῦσιν ἀμείνους γίγνεσθαι, Λακεδαιμόνιοι δ' οὔ;

glexisse dissipasseque dicatur: adeo stulte philosophabatur; deque ceteris illorum temporum sapientibus alia quaedam huiusmodi tradunt. Quapropter optimam hanc attulisse coniecturam videris, quod sapientes nostri superioribus praestent: multique in hoc consentiunt, sapientem inprimis sibi ipsi sapere oportere. huius autem haec est summa, ut argentum plurimum acquiratur. Et de iis satis. hoc autem mihi dicas, cum multas urbes adieris, ubinam potissimum lucratus es? num Lacedaemone, quo frequentius es profectus? *Hip.* Non, per Iovem, o Socrates. *So.* Quid ais? nunquid minimum? *Hip.* Immo nihil penitus unquam. *So.* Monstrum est, quod dicis, o Hippia, dictuque mirabile. Responde ad haec: utrum sapientia tua illos, qui tecum versantur discuntque, meliores ad virtutem efficere possit, necne? *Hip.* Et maxime quidem. *So.* Nunquid Inyciorum civium filios meliores reddere potuisti, filios autem Spartanorum minime? *Hip.* Absit. *So.* An forte Siculi meliores fieri student, Lacedaemones negligunt?

εἶεν ἐν λήθῃ καὶ ζῷεν κάλλιον καὶ ὀρθότερον καὶ ἡμῖν προσφιλέστερον.

Ταῦτα δὴ ἱκανὰ τοῖς ἡμετέροις παρ' ἡμῶν ἀγγέλλειν· τῇ δὲ πόλει παρακελευοίμεθ' ἂν ὅπως ἡμῖν καὶ πατέρων καὶ υἱέων ἐπιμελήσονται, τοὺς μὲν παιδεύοντες κοσμίως, τοὺς δὲ γηροτροφοῦντες ἀξίως· νῦν δὲ ἴσμεν ὅτι καὶ ἐὰν μὴ ἡμεῖς παρακελευώμεθα, ἱκανῶς ἐπιμελήσεται.

Ταῦτα οὖν, ὦ παῖδες καὶ γονεῖς τῶν τελευτησάντων, ἐκεῖνοί τε ἐπέσκηπτον ἡμῖν ἀπαγγέλλειν καὶ ἐγὼ ὡς δύναμαι προθυμότατα ἀπαγγέλλω· καὶ αὐτὸς δέομαι ὑπὲρ ἐκείνων τῶν μὲν μιμεῖσθαι τοὺς αὐτῶν, τῶν δὲ θαῤῥεῖν ὑπὲρ αὐτῶν, ὡς ἡμῶν καὶ ἰδίᾳ καὶ δημοσίᾳ γηροτροφησόντων ὑμᾶς καὶ ἐπιμελησομένων, ὅπου ἂν ἕκαστος ἑκάστῳ ἐντυγχάνῃ ὅτῳοῦν τῶν ἐκείνων. τῆς δὲ πόλεως ἴστε που καὶ αὐτοὶ τὴν ἐπιμέλειαν, ὅτι νόμους θεμένη περὶ τοὺς τῶν ἐν τῷ πολέμῳ τελευτησάντων παῖδάς τε καὶ γεννήτορας ἐπιμελεῖται, καὶ διαφερόντως τῶν
249 ἄλλων πολιτῶν προστέτακται φυλάττειν ἀρχὴ ἥ περ μεγίστη ἐστίν, ὅπως ἂν οἱ τούτων μὴ ἀδικῶνται πατέρες τε καὶ μητέρες· τοὺς δὲ παῖδας συνεκτρέφει αὐτή, προθυμουμένη ὅτι μάλιστ' ἄδηλον αὐτοῖς τὴν ὀρφανίαν γενέσθαι, ἐν πατρὸς σχήματι κατασταῦσα αὐτοῖς αὐτὴ ἔτι

dabunt, pulchriusve et rectius nobisque gratius vitam agent. Haec igitur nostro nomine nostris praedicare sufficiet. Civitati vero mandamus, ut parentum nostrorum filiorumque curam habeat, et hos quidem honeste eruditi, illorum senium digne foveat. Cognovimus certe vos, etiamsi haec minime praecepterimus, optime curaturos. Haec igitur, o filii defunctorum atque parentes, ut moneremus, illi mandarunt: ego vero, quantum possum, diligentissime moneo, eorumque nomine obsecro, iuniores quidem, ut praeclaras suorum res imitentur; seniores autem, ut de se optime sperent. nempe senectutem vestram privatim publiceque alemus, et quemcunque ex illorum progenie nacti fuerimus, summa benevolentia complectemur. Civitatis vero providentiam ipsi minime ignoratis, quae statutis legibus parentes et filios eorum, qui in bello interiere, tutatur, et ante alios cives summo magistratui talium committit curam, ne ulla prorsus iniuria parentes horum afficiantur. Filios autem educa ipsa, studetque, ut illis ignota sit orbitas. nam ipsa parenti

τε παισὶν οὖσι, καὶ ἐπειδὰν εἰς ἀνδρὸς τέλος ἴωσιν, ἀποπέμπει ἐπὶ τὰ σφέτερ' αὐτῶν πανοπλίᾳ κοσμήσασα, ἐνδεικνυμένη καὶ ἀναμιμνήσκουσα τὰ τοῦ πατρὸς ἐπιτηδεύματα, ὄργανα τῆς πατρῴας ἀρετῆς διδοῦσα, καὶ ἅμα οἰωνοῦ χάριν ἄρχεσθαι ἰέναι ἐπὶ τὴν πατρῴων ἑστίαν ἄρξοντα μετ' ἰσχύος ὅπλοις κεκοσμημένον. αὐτοὺς δὲ τοὺς τελευτήσαντας τιμῶσα οὐδέποτε ἐκλείπει, καθ' ἕκαστον ἐνιαυτὸν αὐτὴ τὰ νομιζόμενα ποιοῦσα κοινῇ πᾶσιν ἃ περ ἰδίᾳ ἑκάστῳ [ἴδια] γίγνεται, πρὸς δὲ τούτοις ἀγῶνας γυμνικοὺς καὶ ἱππικοὺς τιθεῖσα καὶ μουσικῆς πάσης, καὶ ἀτεχνῶς τῶν μὲν τελευτησάντων ἐν κληρονόμου καὶ υἱέος μοίρᾳ καθεστηκυῖα, τῶν δὲ υἱέων ἐκ πατρός, γονέων δὲ καὶ τῶν τοιούτων ἐν ἐπιτρόπου, πᾶσαν πάντων παρὰ πάντα τὸν χρόνον ἐπιμέλειαν ποιουμένη. ὧν χρὴ ἐνθυμουμένους πραότερον φέρειν τὴν ξυμφοράν· τοῖς τε γὰρ τελευτήσασι καὶ τοῖς ζῶσιν οὕτως ἂν προσφιλέστατοι εἶητε καὶ ῥᾷστοι θεραπεύειν τε καὶ θεραπεύεσθαι. Νῦν δὲ ἤδη ὑμεῖς τε καὶ οἱ ἄλλοι πάντες, κοινῇ κατὰ τὸν νόμον τοὺς τετελευτηκότας ἀπολοφυράμενοι, ἄπιτε.

Οὗτός σοι ὁ λόγος, ὦ Μενέξενε, Ἀσπασίας τῆς Μιλησίας ἐστίν.

gerit vicem, et dum pueri sunt: et cum ad maturam aetatem venerunt, ad officia sua transmittit, omni armatura fulcit, patris studia ostendit et memorat, dum paternae virtutis tribuit instrumenta: ac simul auspicii gratia iubet tunc primum domum paternam ingredi filium, quasi imperaturum et armis cum robore fulctum. Eos praeterea, qui decesserunt e vita, honorat, caesemonias quotannis lege decretas communiter cunctis instaurans, quae privatim unicuique proprie peragi solent. Gymnica item certamina equestriaque instituit, musicaeque ludos varios adhibet. Ac profecto, quoad defunctos spectat, heredis et filii subit conditionem: quoad filios, patris: quoad parentes ceterosque huiusmodi, curatoris: omni diligentia semper omnibus providens. Quarum rerum animadversione, quae aceiderunt, aequo animo ferre debetis. nam hoc pacto et mortuis et viventibus eritis gratiores, facileque curabitis, et facile curabimini. Nunc vero vos, ac ceteri omnes, qui communiter secundum legem eos, qui naturae cesserunt, iam lugubribus expiationibus prosecuti estis, abite. Hic est, o Menexene, Aspasiae Milesiae sermo.

MEN. Νὴ Δί', ὦ Σώκρατες, μακαρίαν γε λέγεις τὴν Ἀσπασίαν, εἰ γυνὴ οὖσα τοιούτους λόγους οἵα τ' ἐστὶ συντιθέναι.

ΣΩ. Ἀλλ' εἰ μὴ πιστεύεις, ἀκολούθει μετ' ἐμοῦ καὶ ἀκούσει αὐτῆς λεγούσης.

MEN. Πολλάκις, ὦ Σώκρατες, ἐγὼ ἐντετύχηκα Ἀσπασίᾳ, καὶ οἶδα οἵα ἐστίν.

ΣΩ. Τί οὖν; οὐκ ἄγασαι αὐτὴν καὶ νῦν χάριν ἔχεις τοῦ λόγου αὐτῇ;

MEN. Καὶ πολλήν γε, ὦ Σώκρατες, ἐγὼ χάριν 19
ἔχω τούτου τοῦ λόγου ἐκείνῃ ἢ ἐκείνῳ ὅς τίς σοι ὁ εἰπών ἐστιν αὐτόν· καὶ πρό γε ἄλλων πολλῶν χάριν ἔχω τῷ εἰπόντι.

ΣΩ. Εὖ ἂν ἔχοι. ἀλλ' ὅπως μου μὴ κατερεῖς, ἵνα καὶ αὖθίς σοι πολλοὺς καὶ καλοὺς λόγους παρ' αὐτῆς πολιτικοὺς ἀπαγγέλλω.

MEN. Θάρρει, οὐ κατερῶ· μόνον ἀπάγγελλε.

ΣΩ. Ἀλλὰ ταῦτ' ἔσται.

Men. Per Iovem, o Socrates, beatam dicis Aspasiam, si, cum mulier sit, tales potest orationes componere. *So.* At, si minus credis, sequere me: dicentem ipsam audies. *Men.* Saepenumero cum Aspasia fui, Socrates, et qualis sit, novi. *So.* Cur igitur eam non veneraris? cur non habes propter hanc orationem illi gratiam? *Men.* Ingentem equidem, o Socrates, habeo gratiam mulieri huic, seu viro, quisquis tibi orationem hanc tradidit: ac prae ceteris multis narranti gratiam habeo. *So.* Bene quidem. Sed ne me prodas, ut deinceps multas eius praeclarasque de civilibus rebus orationes tibi recenseam. *Men.* Confide. non prodam, referas modo. *So.* Fiet ut postulas.

ΙΠΠΙΑΣ ΜΕΙΖΩΝ

ΤΑ ΤΟΥ ΔΙΑΛΟΓΟΥ ΠΡΟΣΩΠΑ

ΣΩΚΡΑΤΗΣ, ΙΠΠΙΑΣ.

SOCRATES, HIPPIAS.

Ἱππίας ὁ καλός τε καὶ σοφός, ὡς διὰ χρόνου ἡμῖν 281
κατῆρας εἰς τὰς Ἀθήνας.

III. Οὐ γὰρ σχολή, ὦ Σώκρατες. ἡ γὰρ Ἦλις ὅταν τι δέηται διαπράξασθαι πρός τινα τῶν πόλεων, ἀεὶ ἐπὶ πρῶτον ἐμὲ ἔρχεται τῶν πολιτῶν αἱρουμένη πρεσβευτήν, ἡγουμένη δικαστὴν καὶ ἄγγελον ἱκανώτατον εἶναι τῶν λόγων ᾗ ἂν παρὰ τῶν πόλεων ἑκάστων λέγωνται. πολλάκις μὲν οὖν καὶ εἰς ἄλλας πόλεις ἐπρέσβευσα, πλεῖστα δὲ καὶ περὶ πλείστων καὶ μεγίστων εἰς τὴν Λακεδαίμονα, διὸ δή, ὃ σὺ ἐρωτᾷς, οὐ θαμίζω εἰς τοῦσδε τοὺς τόπους.

ΣΩ. Τοιοῦτον μέντοι, ὦ Ἱππία, ἔστι τὸ τῇ ἀληθείᾳ σοφόν τε καὶ τέλειον ἄνδρα εἶναι. σὺ γὰρ καὶ ἰδίᾳ ἱκανὸς εἶ παρὰ τῶν νέων πολλὰ χρήματα λαμβάνων ἔτι πλείω ὠφελεῖν ὧν λαμβάνεις, καὶ αὖ δημοσίᾳ τὴν σαυτοῦ πόλιν ἱκανὸς εὐεργετεῖν, ὡς περ χρὴ τὸν

O sapiens et pulcher Hippias, quam raro Athenas accedis! *Hip.* Non datur, o Socrates, otium. nam Elienses cives, quotiens cum externis gentibus aliquid est tractandum, mihi praeceteris legationes committunt, idoneum me iudicem ac nuntium existimantes eorum, quae apud singulas civitates dicuntur. Quamobrem saepe et ad alias urbes, saepius etiam et de maximis rebus Lacedaemonem legatus accessi, quo fit, ut haec loca, quod ipse quaerebas, minus frequentem. *So.* Hoc certe, o Hippia, sapientis perfectique viri proprium est. Tu quidem privatim, multis ab adolescentibus acceptis pecuniis, ad plura etiam prodesse illis, quam quae acceperis, vales: atque iterum publice patriam tuam tueri, ut decet eum, qui non contemnen-

μέλλοντα μὴ καταφρονήσεσθαι ἀλλ' εὐδοκιμήσειν ἐν τοῖς πολλοῖς. ἀτάρ, ὦ Ἱππία, τί ποτε τὸ αἴτιον ὅτι οἱ παλαιοὶ ἐκεῖνοι, ὧν ὀνόματα μεγάλα λέγεται ἐπὶ σοφίᾳ, Πιττακοῦ τε καὶ Βίαντος καὶ τῶν ἀμφὶ τὸν Μιλήσιον Θαλῆν καὶ ἔτι τῶν ὕστερον μέχρι Ἀναξαγόρου, ὡς ἢ πάντες ἢ οἱ πολλοὶ αὐτῶν φαίνονται ἀπεχόμενοι τῶν πολιτικῶν πράξεων;

ΙΠ. Τί δ' οἴει, ὦ Σώκρατες, ἄλλο γε ἢ ἀδύνατοι ἦσαν καὶ οὐχ ἱκανοὶ ἐξικνεῖσθαι φρονήσει ἐπ' ἀμφότερα, τά τε κοινὰ καὶ τὰ ἴδια;

ΣΩ. Ἆρ' οὖν πρὸς Διός, ὡς περ αἱ ἄλλαι τέχναι ἐπιδεδώκασι καὶ εἰσὶ παρὰ τοὺς νῦν δημιουργούς οἱ παλαιοὶ φαῦλοι, οὕτω καὶ τὴν ὑμετέραν τῶν σοφιστῶν τέχνην ἐπιδεδωκέναι φῶμεν καὶ εἶναι τῶν ἀρχαίων τοὺς περὶ τὴν σοφίαν φαύλους πρὸς ὑμᾶς;

ΙΠ. Πάνυ μὲν οὖν ὀρθῶς λέγεις.

ΣΩ. Εἰ ἄρα νῦν ἡμῖν, ὦ Ἱππία, ὁ Βίας ἀνα-
32 βιώῃ, γέλωτ' ἂν ὄφλοι πρὸς ὑμᾶς, ὡς περ καὶ τὸν Δαίδαλόν φασιν οἱ ἀνδριαντοποιοί, νῦν εἰ γενόμενος τοιαῦτ' ἐργάζοιτο οἷα ἦν ἀφ' ὧν τοὔνομ' ἔσχε, καταγέλαστον ἂν εἶναι.

ΙΠ. Ἔστι μὲν ταῦτα, ὦ Σώκρατες, οὕτως ὡς σὺ

dus vulgo, sed summo in pretio sit habendus. Ceterum quaenam, o Hippia, causa, quod prisci illi, qui sapientum cognomen adepti sunt, Pittacus atque Bias, et qui Thaletis Milesii tempore, quive deinceps usque ad Anaxagoram, sapientiae studio floruerunt, vel omnes vel plurimi civilibus actionibus abstinere? *Hip.* Quid aliud putas, o Socrates, illos continuisse quam imbecillitatem ingenii, cum non possent utraque, privata et publica, prudenter administrare? *So.* An quemadmodum ceterae artes incrementum tempore susceperunt, adeo ut nostri temporis artifices superioribus longe praecellant: ita et facultatem vestram, studium videlicet Sophistarum, crevisse dicendum, ac veteres sapientiae studiosos, si vobiscum comparentur, viles admodum exstitisse? *Hip.* Recte omnino loqueris. *So.* Ergo si hodie Bias in vitam resurgeret, a vobis irrideretur: quemadmodum ipsum Daedalum sculptores aiunt, si reviviscens talia fabricaret, qualia quondam, ex quibus sibi gloriam comparavit, ridiculum fore. *Hip.* Sic se res habet, ut ais, o Socra-

λέγεις· εἴωθα μέντοι ἔγωγε τοὺς παλαιούς τε καὶ προτέρους ἡμῶν προτέρους τε καὶ μᾶλλον ἐγκωμιάζειν ἢ τοὺς νῦν, εὐλαβούμενος μὲν φθόνον τῶν ζώντων, φοβούμενος δὲ μῆνιν τῶν τετελευτηκότων.

ΣΩ. Καλῶς γε σύ, ὦ Ἱππία, νομίζων τε καὶ διανοούμενος, ὡς ἐμοὶ δοκεῖς. συμμαρτυρῆσαι δέ σοι ἔχω ὅτι ἀληθῆ λέγεις καὶ τῷ ὄντι ὑμῶν ἐπιδέδωκεν ἡ τέχνη πρὸς τὸ καὶ τὰ δημόσια πράττειν δύνασθαι μετὰ τῶν ἰδίων. Γοργίας τε γὰρ οὗτος ὁ Λεοντῖνος σοφιστὴς δεῦρο ἀφίκετο δημοσίᾳ οἴκοθεν πρεσβεύων, ὡς ἱκανώτατος ὢν Λεοντίνων τὰ κοινὰ πράττειν, καὶ ἔν τε τῷ δήμῳ ἔδοξεν ἄριστα εἰπεῖν καὶ ἰδίᾳ ἐπιδείξεις ποιούμενος καὶ συνὼν τοῖς νέοις χρήματα πολλὰ εἰργάσατο καὶ ἔλαβεν ἐκ τῆσδε τῆς πόλεως· εἰ δὲ βούλει, ὁ ἡμέτερος ἑταῖρος Πρόδικος οὗτος πολλάκις μὲν καὶ ἄλλοτε δημοσίᾳ ἀφίκετο, ἀτὰρ τὰ τελευταῖα ἔναγχος ἀφικόμενος δημοσίᾳ ἐκ Κέω λέγων τ' ἐν τῇ βουλῇ πάνυ εὐδοκίμησε καὶ ἰδίᾳ ἐπιδείξεις ποιούμενος καὶ τοῖς νέοις συνὼν χρήματα ἔλαβε θαυμαστὰ ὅσα. τῶν δὲ παλαιῶν ἐκείνων οὐδεὶς πώποτε ἠξίωσεν ἀργύριον μισθὸν πράξασθαι οὐδ' ἐπιδείξεις ποιήσασθαι ἐν παντοδαποῖς ἀνθρώποις τῆς ἑαυτοῦ σοφίας· οὕτως ἦσαν εὐήθεις καὶ

tes, veruntamen priscos homines praeferre semper recentioribus consuevi, ut et viventium invidiam et defunctorum indignationem vitarem. *So.* Probe, o Hippia, et sentire et loqui mihi videris, ego quoque testari possum, te vera loqui. nam revera vestra facultas adaucta est, vimque suscepit ad publica una cum privatis administranda. Gorgias siquidem iste, Leontinus Sophista, huc patriae legatus accessit, utpote qui esset in civilium rerum gubernatione Leontinorum omnium praestantissimus: ubi ad populum concionari praeclare iudicatus est, deinde privatim disputans, et cum iuvenibus versatus, multas in hac urbe pecunias cumulavit, quin etiam, si audire vis, amicus noster Prodicus et saepe alias publicis muneribus functus est, et nuper ex Chio insula veniens, cum publice in consilio dixisset, summopere probatus est: et privatim disserens, iuvenesque erudiens, pecunias innumeras est lucratus. E priscis autem illis nullus unquam dignum putavit argenti mercedem sequi, aut propriam sapientiam in coetu diversorum hominum ostentare: adeo inepti et

ἐλεληθεὶ αὐτοὺς ἀργύριον ὡς πολλοῦ ἄξιον εἴη. τούτων δ' ἑκάτερος πλέον ἀργύριον ἀπὸ σοφίας εἴργασται ἢ ἄλλος δημιουργὸς ἀφ' ἧς τινὸς τέχνης· καὶ ἔτι πρότερος τούτων Πρωταγόρας.

ΙΠ. Οὐδὲν γάρ, ὦ Σώκρατες, οἶσθα τῶν καλῶν περὶ τοῦτο, εἰ γὰρ εἰδείης ὅσον ἀργύριον εἴργασμαι ἐγώ, θαυμάσαις ἄν. καὶ τὰ μὲν ἄλλα ἐῶ· ἀφικόμενος δέ ποτε εἰς Σικελίαν, Πρωταγόρου αὐτόθι ἐπιδημοῦντος καὶ εὐδοκιμοῦντος καὶ πρεσβυτέρου ὄντος καὶ πολὺ νεώτερος ὢν ἐν ὀλίγῳ χρόνῳ πάνυ πλέον ἢ πεντήκοντα καὶ ἑκατὸν μνᾶς εἰργασάμην, καὶ ἐξ ἑνός γε χωρίου πάνυ σμικροῦ, Ἰννυκοῦ, πλέον ἢ εἴκοσι μνᾶς. καὶ τοῦτο ἐλθὼν οἴκαδε φέρων τῷ πατρὶ ἔδωκα, ὥστε ἐκεῖνον καὶ τοὺς ἄλλους πολίτας θαυμάζειν τε καὶ ἐκπεπλῆχθαι. καὶ σχεδόν τι οἶμαι ἐμὲ πλείω χρήματα εἰργάσθαι ἢ ἄλλους σύνδυο οὕς τινας βούλει τῶν σοφιστῶν.

ΣΩ. Καλόν γε, ὦ Ἱππία, λέγεις καὶ μέγα τεκμήριον σοφίας τῆς τε σεαυτοῦ καὶ τῶν νῦν ἀνθρώπων πρὸς τοὺς ἀρχαίους, ὅσον διαφέρουσι. τῶν γὰρ προτέρων λέγεται πολλὴ ἀμαθία κατὰ τὸν σὸν λόγον. τοὐναντίον γὰρ Ἀναξαγόρᾳ φασὶ συμβῆναι ἢ ὑμῖν· καταλειφθέντων γὰρ αὐτῷ πολλῶν χρημάτων καταμελῆσαι καὶ ἀπο-

ignavi erant, eosque, quanti argentum sit, latebat. Sed uterque illorum, quos modo retuli, plus argenti sapientia sua, quam alius quivis artifex ex qualibet arte cumulavit: idemque Protagoras ante illos effecit. *Hip.* Nihil, o Socrates, egregium hac in re nosti. nam si videres, quantum ego argenti lucratus sum, obstupescerés. Mitto alia, verum in Siciliam quandoque profectus, ubi tunc Protagoras habitabat summoque in honore habebatur, me admodum senior, brevi plus quam centum et quinquaginta minas collegi, et ex regione quadam angusta, Inyca nomine, plus quam minas viginti: cumque domum rediissem, patri dedi: quod quidem tam ille, quam reliqui cives, vehementer admirati sunt. enimvero me plures ferme pecunias, quam duos alios simul, quoscunque vis, Sophistas congregasse existimo. *So.* O rem praeclaram! potissimum, Hippia, id argumentum est, quanto et tu et alii huius seculi sapientes veteres superatis. nam prima quanta inscitia Anaxagorae fuisse videtur? cui contra ac vobis contigit. amplum quippe patrimonium ne-

λέσαι πάντα· οὕτως αὐτὸν ἀνόητα σοφίζεσθαι. λέγουσι δὲ καὶ περὶ ἄλλων τῶν παλαιῶν ἕτερα τοιαῦτα. τοῦτο μὲν οὖν μοι δοκεῖς καλὸν τεκμήριον ἀποφαίνειν περὶ σοφίας τῶν νῦν πρὸς τοὺς προτέρους, καὶ πολλοῖς συνδοκεῖ, ὅτι τὸν σοφὸν αὐτὸν αὑτῷ μάλιστα δεῖ σοφὸν εἶναι· τούτου δ' ὅρος ἐστὶν ἆρα, ὃς ἂν πλεῖστον ἀργύριον ἐργάσηται. Καὶ ταῦτα μὲν ἱκανῶς ἐχέτω· τόδε δέ μοι εἰπέ, σὺ αὐτὸς πόθεν πλεῖστον ἀργύριον εἰργάσω τῶν πόλεων εἰς ἃς ἀφικνεῖ; ἢ δῆλον ὅτι ἐκ Λακεδαίμονος, οἷ περ καὶ πλειστάκις ἀφῖξαι;

ΙΠ. Οὐ μὰ τὸν Δί', ὦ Σώκρατες.

ΣΩ. Πῶς φῄς; ἀλλ' ἐλάχιστον;

ΙΠ. Οὐδὲν μὲν οὖν τὸ παράπαν πώποτε.

ΣΩ. Τέρας λέγεις καὶ θαυμαστόν, ὦ Ἱππία. καί μοι εἰπέ, πότερον ἡ σοφία ἡ σὴ οὐχ οἵα τοὺς συνόντας αὐτῇ καὶ μανθάνοντας εἰς ἀρετὴν βελτίους ποιεῖν;

ΙΠ. Καὶ πολύ γε, ὦ Σώκρατες.

ΣΩ. Ἀλλὰ τοὺς μὲν Ἰνυκηνῶν υἱεῖς οἷός τε ἦσθα ἀμείνους ποιῆσαι, τοὺς δὲ Σπαρτιατῶν ἠδυνάτεις;

ΙΠ. Πολλοῦ γε δέω.

ΣΩ. Ἀλλὰ δῆτα Σικελιῶται μὲν ἐπιθυμοῦσιν ἀμείνους γίγνεσθαι, Λακεδαιμόνιοι δ' οὔ;

---

glexisse dissipasseque dicatur: adeo stulte philosophabatur; deque ceteris illorum temporum sapientibus alia quaedam huiusmodi tradunt. Quapropter optimam hanc attulisse coniecturam videris, quod sapientes nostri superioribus praestent: multique in hoc consentiunt, sapientem inprimis sibi ipsi sapere oportere. huius autem haec est summa, ut argentum plurimum acquiratur. Et de iis satis. hoc autem mihi dicas, cum multas urbes adieris, ubinam potissimum lucratus es? num Lacedaemone, quo frequentius es profectus? *Hip.* Non, per Iovem, o Socrates. *So.* Quid ais? nunquid minimum? *Hip.* Immo nihil penitus unquam. *So.* Monstrum est, quod dicis, o Hippia, dictuque mirabile. Responde ad haec: utrum sapientia tua illos, qui tecum versantur discuntque, meliores ad virtutem efficere possit, necne? *Hip.* Et maxime quidem. *So.* Nunquid Inycorum civium filios meliores reddere potuisti, filios autem Spartanorum minime? *Hip.* Absit. *So.* An forte Siculi meliores fieri student, Lacedaemones negligunt?

ΙΠ. Πάντως που, ὦ Σώκρατες, καὶ Λακεδαιμόνιοι.

ΣΩ. Ἆρ' οὖν χρημάτων ἐνδείᾳ ἔφευγον τὴν σὴν ὁμιλίαν;

ΙΠ. Οὐ δῆτα, ἐπεὶ ἱκανὰ αὐτοῖς ἐστίν.

ΣΩ. Τί δῆτ' ἂν εἴη ὅτι ἐπιθυμοῦντες καὶ ἔχοντες χρήματα, καὶ σοῦ δυναμένου τὰ μέγιστα αὐτοὺς ὠφελεῖν, οὐ πλήρη σε ἀργυρίου ἀπέπεμψαν; Ἀλλ' ἐκεῖνο, μῶν μὴ Λακεδαιμόνιοι σοῦ βέλτιον ἂν παιδεύσειαν τοὺς αὑτῶν παῖδας; ἢ τοῦτο φῶμεν οὕτω, καὶ σὺ συγχωρεῖς;

ΙΠ. Οὐδ' ὁπωστιοῦν.

ΣΩ. Πότερον οὖν τοὺς νέους οὐχ οἷός τ' ἦσθα πείθειν ἐν Λακεδαίμονι; ὡς σοὶ συνόντες πλέον ἂν εἰς ἀρετὴν ἐπιδιδοῖεν ἢ τοῖς ἑαυτῶν; ἢ τοὺς ἐκείνων πατέρας ἠδυνάτεις πείθειν ὅτι σοὶ χρὴ παραδιδόναι μᾶλλον ἢ αὐτοὺς ἐπιμελεῖσθαι, εἴ τι περὶ τῶν υἱῶν κήδονται; οὐ γάρ που ἐφθόνουν γε τοῖς ἑαυτῶν παισὶν ὡς βελτίστοις γενέσθαι.

ΙΠ. Οὐκ οἶμαι ἔγωγε φθονεῖν.

ΣΩ. Ἀλλὰ μὴν εὔνομός γ' ἡ Λακεδαίμων.

ΙΠ. Πῶς γὰρ οὔ;

284 ΣΩ. Ἐν δέ γε ταῖς εὐνόμοις πόλεσι τιμιώτατον ἡ ἀρετή.

ΙΠ. Πάνυ γε.

Hip. Immo et Lacedaemones idem affectant. *So.* Num pecuniarum defectu tua consuetudine caruerunt? *Hip.* Nequaquam. diuites enim sunt. *So.* Cum igitur sapientiam affectarent, et suppeterent facultates, tuque illos voti compotes reddere posses, cur non inde locupletissimus rediisti? an forte ipsi Lacedaemones melius, quam tu, filios suos erudiunt? Vis ita dicamus? ac tu consentis? *Hip.* Nullo modo. *So.* Utrum iuvenibus Lacedaemone persuadere non potuisti, ut tibi adhaerentes magis proficerent ad virtutem, quam si cum suis vixerint? an parentes inducere non potuisti, ut tibi filios potius, quam diligentiae suae, committerent, si modo filiorum curam haberent? neque enim adeo invidebant filiis, ut optimos evadere nollent. *Hip.* Equidem invidisse non arbitror. *So.* Nunquid Lacedaemon bonis legibus instituta est? *Hip.* Bonis profecto. *So.* In huiusmodi vero gubernationibus virtus maxime omnium honoratur. *Hip.* Maxime quidem.

ΣΩ. Σὺ δὲ ταύτην παραδιδόναι ἄλλῳ κάλλιστ' ἀνθρώπων ἐπίστασαι.

ΙΠ. Καὶ πολύ γε, ὦ Σώκρατες.

ΣΩ. Ὁ οὖν κάλλιστ' ἐπιστάμενος ἱππικὴν παραδιδόναι ἆρ' οὐκ ἂν ἐν Θετταλίᾳ τῆς Ἑλλάδος μάλιστα τιμῷτο καὶ πλεῖστα χρήματα λαμβάνοι, καὶ ἄλλοθι ὅπου τοῦτο σπουδάζοιτο;

ΙΠ. Εἰκός γε.

ΣΩ. Ὁ δὴ δυνάμενος παραδιδόναι τὰ πλείστου ἄξια μαθήματα εἰς ἀρετὴν οὐκ ἐν Λακεδαίμονι μάλιστα τιμήσεται καὶ πλεῖστα ἐργάσεται χρήματα, ἂν βούληται, καὶ ἐν ἄλλῃ πόλει ἥ τις τῶν Ἑλληνίδων εὐνομεῖται, ἀλλ' ἐν Σικελίᾳ, ὦ ἑταῖρε, οἶει μᾶλλον καὶ ἐν Ἰννυκῷ; ταῦτα πειθώμεθα, ὦ Ἱππία; ἐὰν γὰρ σὺ κελεύῃς, πειστέον.

ΙΠ. Οὐ γὰρ πάτριον, ὦ Σώκρατες, Λακεδαιμονίοις κινεῖν τοὺς νόμους οὐδὲ παρὰ τὰ εἰωθότα παιδεύειν τοὺς υἱεῖς.

ΣΩ. Πῶς λέγεις; Λακεδαιμονίοις οὐ πάτριον ὀρθῶς πράττειν ἀλλ' ἐξαμαρτάνειν;

ΙΠ. Οὐκ ἂν φαίην ἔγωγε, ὦ Σώκρατες.

ΣΩ. Οὐκοῦν ὀρθῶς ἂν πράττοιεν βέλτιον ἀλλὰ μὴ χεῖρον παιδεύοντες τοὺς νέους;

So. Tu autem hanc aliis tradere, prae ceteris hominibus optime nosti. *Hip.* Prorsus, o Socrates. *So.* Qui facultatem equestrem egregie docere potest, nonne in Thessalia magis, quam in reliqua Graecia, coleretur, lucrareturque plurimum, similiterque et alibi, ubicunque haec ars in pretio est? *Hip.* Consentaneum id quidem. *So.* Qui ergo potis est praeclarissimis virtutis praeceptis iuvenes instituere, cur non Lacedaemone summopere honoretur, ibique innumeras affatim pecunias cumulet, ac similiter in quacunque civitate Graecorum virtus maximi aestimatur? At forte in Sicilia magis et in Inycia, putas, ista credere debemus, Hippia, si tu iusseris, credendum est. *Hip.* Non est, o Socrates, mos patrius Lacedaemoniis, mutare leges, neque praeter consuetudinem filios educare. *So.* Quid ais? Lacedaemonibus haud patrium est recte agere, sed aberrare? *Hip.* Nunquam id ego assererem. *So.* Recte vero agerent, si melius, non si deterius iuvenes erudirent?

ΙΠ. Ὀρθῶς. ἀλλὰ ξενικὴν παίδευσιν οὐ νόμιμον αὐτοῖς παιδεύειν, ἐπεὶ εὖ ἴσθι, εἴ πέρ τις ἄλλος ἐκεῖθεν χρήματα ἔλαβε πώποτε ἐπὶ παιδεύσει, καὶ ἐμὲ ἂν λαβεῖν πολὺ μάλιστα· χαίρουσι γοῦν ἀκούοντες ἐμοῦ καὶ ἐπαινοῦσιν. ἀλλ', ὃ λέγω, οὐ νόμος.

ΣΩ. Νόμον δὲ λέγεις, ὦ Ἱππία, βλάβην πόλεως εἶναι ἢ ὠφέλειαν;

ΙΠ. Τίθεται μέν, οἶμαι, ὠφελείας ἕνεκα, ἐνίοτε δὲ καὶ βλάπτει, ἐὰν κακῶς τεθῇ ὁ νόμος.

ΣΩ. Τί δέ; οὐχ ὡς ἀγαθὸν μέγιστον πόλει τίθενται τὸν νόμον οἱ τιθέμενοι, καὶ ἄνευ τούτου μετὰ εὐνομίας ἀδύνατον οἰκεῖν;

ΙΠ. Ἀληθῆ λέγεις.

ΣΩ. Ὅταν ἄρα ἀγαθοῦ ἁμάρτωσιν οἱ ἐπιχειροῦντες τοὺς νόμους τιθέναι, νομίμου τε καὶ νόμου ἁμαρτήκασιν. ἢ πῶς λέγεις;

ΙΠ. Τῷ μὲν ἀκριβεῖ λόγῳ, ὦ Σώκρατες, οὕτως ἔχει, οὐ μέντοι εἰώθασιν ἄνθρωποι ὀνομάζειν οὕτως.

ΣΩ. Πότερον, ὦ Ἱππία, οἱ εἰδότες ἢ οἱ μὴ εἰδότες;

ΙΠ. Οἱ πολλοί.

ΣΩ. Εἰσὶ δ' οὗτοι οἱ εἰδότες τἀληθές, ὁ πολλοὶ

ΙΠ. Οὐ δῆτα.

Hip. Recte. verum peregrinas disciplinas lex illorum non mittit. alioquin si quis unquam alius ibi quandoque disci nae gratia lucratus esset, scito me plurimum fuisse lucratu Laetantur ergo, cum me audiunt, atque laudant: sed, u cebam, lex illorum peregrina vetat. *So.* Legem, o Hi perniciem civitatis, an salutem, vocas? *Hip.* Conditur, quidem sententia, utilitatis gratia lex: nonnunquam obest, si male sit posita. *So.* Nonne ut maximum quo civitati bonum legem condunt latores legum? legeque si cum iniquitate simul vivere in civitate non possumus? Vera loqueris. *So.* Quotiens igitur a bono aberrant b leges ferre nituntur, a legitimo legeque discedunt. Ç haec? *Hip.* Exacta quidem ratione sic se res habet, o tes: non tamen sic homines nominare consueverunt. *So.* o Hippia, qui cognoscunt vel qui ignorant? *Hip.* *So.* Qui verum cognoscunt, vulgus sunt? *Hip.* Neq

ΣΩ. Ἀλλὰ μήν που οἵ γ' εἰδότες τὸ ὠφελιμώτερον τοῦ ἀνωφελεστέρου νομιμώτερον ἡγοῦνται τῇ ἀληθείᾳ πᾶσιν ἀνθρώποις. ἢ οὐ συγχωρεῖς;

ΙΠ. Ναί, συγχωρῶ ὅτι γε τῇ ἀληθείᾳ.

ΣΩ. Οὐκοῦν ἔστι γε καὶ ἔχει οὕτως ὡς οἱ εἰδότες ἡγοῦνται;

ΙΠ. Πάνυ γε.

ΣΩ. Ἔστι δέ γε Λακεδαιμονίοις, ὡς σὺ φῄς, ὠφελιμώτερον τὴν ὑπὸ σοῦ παίδευσιν, ξενικὴν οὖσαν, παι- 285
10 δεύεσθαι μᾶλλον ἢ τὴν ἐπιχωρίαν.

ΙΠ. Καὶ ἀληθῆ γε λέγω.

ΣΩ. Καὶ γὰρ ὅτι τὰ ὠφελιμώτερα νομιμώτερά ἐστι, καὶ τοῦτο λέγεις, ὦ Ἱππία;

ΙΠ. Εἶπον γάρ.

ΣΩ. Κατὰ τὸν σὸν ἄρα λόγον τοῖς Λακεδαιμονίων υἱέσιν ὑπὸ Ἱππίου παιδεύεσθαι νομιμώτερόν ἐστιν, ὑπὸ δὲ τῶν πατέρων ἀνομώτερον, εἴ περ τῷ ὄντι ὑπὸ σοῦ πλείω ὠφεληθήσονται.

ΙΠ. Ἀλλὰ μὴν ὠφεληθήσονται, ὦ Σώκρατες.

20 ΣΩ. Παρανομοῦσιν ἄρα Λακεδαιμόνιοι οὐ διδόντες σοι χρυσίον καὶ ἐπιτρέποντες τοὺς αὑτῶν υἱεῖς.

ΙΠ. Συγχωρῶ ταῦτα· δοκεῖς γάρ μοι τὸν λόγον πρὸς ἐμοῦ λέγειν, καὶ οὐδέν με δεῖ αὐτῷ ἐναντιοῦσθαι.

ΣΩ. Παρανόμους μὲν δή, ὦ ἑταῖρε, τοὺς Λάκω-

So. At vero qui sapiunt, hi, quod utilius est, magis legitimum, quam quod inutile, revera omnibus hominibus esse censent. nonne fateris? *Hip.* Fateor equidem, ita revera esse. *So.* An non ita est, ut scientes existimant? *Hip.* Prorsus. *So.* Praestat autem, ut tu ais, Lacedaemonios disciplina tua, licet peregrina, quam patria imbui. *Hip.* Et vera loquor. *So.* Quin etiam quaecunque utiliora sunt, magis legitima dicis? *Hip.* Dixi equidem. *So.* Ergo secundum rationem tuam magis e lege est, ut Lacedaemoniorum filii ab Hippia, quam a parentibus, doceantur: quandoquidem tu magis, quam illi, revera prodesses. *Hip.* Prodessem procul dubio, Socrates. *So.* Praeter legem igitur agunt Lacedaemonii, cum tibi filios suos erudiendos, auri oblata mercede, non tradant. *Hip.* Assentior equidem. videris enim pro me dicere. quamobrem repugnare tibi non decet. *So.* Bonarum legum ex-

νας εὑρίσκομεν, καὶ ταῦτ' εἰς τὰ μέγιστα, τοὺς νομιμωτάτους δοκοῦντας εἶναι. Ἐπαινοῦσι δὲ δή σε πρὸς θεῶν, ὦ Ἱππία, καὶ χαίρουσιν ἀκούοντες ποῖα; ἢ δῆλον δὴ ὅτι ἐκεῖνα ἃ σὺ κάλλιστα ἐπίστασαι, τὰ περὶ τὰ ἄστρα τε καὶ τὰ οὐράνια πάθη;

Hip. Οὐδ' ὁπωστιοῦν ταῦτά γε· οὐδ' ἀνέχονται.

So. Ἀλλὰ περὶ γεωμετρίας τι χαίρουσιν ἀκούοντες;

Hip. Οὐδαμῶς, ἔπεὶ οὐδ' ἀριθμεῖν ἐκείνων γε ὡς ἔπος εἰπεῖν πολλοὶ ἐπίστανται.

So. Πολλοῦ ἄρα δέουσι περί γε λογισμῶν ἀνέχεσθαί σου ἐπιδεικνυμένου.

Hip. Πολλοῦ μέντοι νὴ Δία.

So. Ἀλλὰ δῆτα ἐκεῖνα ἃ σὺ ἀκριβέστατα ἐπίστασαι ἀνθρώπων διαιρεῖν, περί τε γραμμάτων δυνάμεως καὶ συλλαβῶν καὶ ῥυθμῶν καὶ ἁρμονιῶν;

Hip. Περὶ ποίων, ὦ 'γαθέ, ἁρμονιῶν καὶ γραμμάτων;

So. Ἀλλὰ τί μήν ἐστιν ἃ ἡδέως σου ἀκροῶνται καὶ ἐπαινοῦσιν; αὐτός μοι εἰπέ, ἐπειδὴ ἐγὼ οὐχ εὑρίσκω.

Hip. Περὶ τῶν γενῶν, ὦ Σώκρατες, τῶν τε ἡρώων καὶ τῶν ἀνθρώπων, καὶ τῶν κατοικίσεων, ὡς τὸ ἀρχαῖον ἐκτίσθησαν αἱ πόλεις, καὶ συλλήβδην πάσης τῆς

pertes Laconas esse invenimus, et in rebus quidem maximis, cum tamen melioribus legibus quam reliqui Graeci uti videantur. Te vero quando potissimum laudant, Hippia, et quibus rebus audiendis praecipue delectantur? an videlicet cum illa narras quae ipse egregie nosti, astra coelestesque progressus? *Hip.* Nullo modo haec sustinent. *So.* Num geometriae sermo illo oblectat? *Hip.* Minime omnium. nam pauci admodum ex illi ut ita dicam, numerare sciunt. *So.* Longe igitur abest, ut r tiocinationes computationesque libenter audiant. *Hip.* Long per Iovem. *So.* Nunquid illa, quae tu acutissime omnium h minum intelligis, literarum syllabarumque distinctiones, rh thmorum harmoniarumque naturas? *Hip.* Quas, o bone harmonias ac literas? *So.* At quae tandem ista sunt, quae dientes illi laetantur, teque laudant? tu saltem referas, postq ego invenire non possum. *Hip.* Stirpem heroum atque homin et antiquarum urbium constructiones, ac summatim omnem

ἀρχαιολογίας ἥδιστα ἀκροῶνται, ὥστ' ἔγωγε δι' αὐτοὺς ἠνάγκασμαι ἐκμεμαθηκέναι τε καὶ μεμελετηκέναι πάντα τὰ τοιαῦτα.

ΣΩ. Ναὶ μὰ Δί', ὦ Ἱππία, εὐτύχηκάς γε ὅτι Λακεδαιμόνιοι οὐ χαίρουσιν ἄν τις αὐταῖς ἀπὸ Σόλωνος τοὺς ἄρχοντας τοὺς ἡμετέρους καταλέγῃ· εἰ δὲ μή, πράγματ' ἂν εἶχες ἐκμανθάνων.

III. Πόθεν, ὦ Σώκρατες; ἅπαξ ἀκούσας πεντήκοντα ὀνόματα ἀπομνημονεύσω.

ΣΩ. Ἀληθῆ λέγεις· ἀλλ' ἐγὼ οὐκ ἐνενόησα ὅτι τὸ μνημονικὸν ἔχεις, ὥστε ἐννοῶ ὅτι εἰκότως σοι χαίρουσιν οἱ Λακεδαιμόνιοι ἅτε πολλὰ εἰδότι, καὶ χρῶνται 286
ὥς περ ταῖς πρεσβύτισιν οἱ παῖδες πρὸς τὸ ἡδέως μυθολογῆσαι.

III. Καὶ ναὶ μὰ Δί', ὦ Σώκρατες, περί γε ἐπιτηδευμάτων καλῶν καὶ ἐναγχος αὐτόθι εὐδοκίμησα διεξιών, ἃ χρὴ τὸν νέον ἐπιτηδεύειν. ἔστι γάρ μοι περὶ αὐτῶν πάγκαλος λόγος συγκείμενος, καὶ ἄλλως εὖ διακείμενος καὶ τοῖς ὀνόμασι. πρόσχημα δέ μοί ἐστι καὶ ἀρχὴ τοιάδε τις τοῦ λόγου. ἐπειδὴ ἡ Τροία ἥλω, λέγει ὁ λόγος ὅτι Νεοπτόλεμος Νέστορα ἔροιτο ποῖά ἐστι καλὰ ἐπιτηδεύματα, ἃ ἄν τις ἐπιτηδεύσας νέος ὢν εὐδοκιμώτατος γένοιτο. μετὰ ταῦτα δὴ λέγων ἐστὶν ὁ

tiquitatis historiam attente audiunt. Quocirca illorum causa ediscere, meditarique huius generis omnia coactus sum. *So.* Quam bene tecum actum est, o Hippia, quod Lacedaemonii moleste ferant, si quis nostros principes incipiens a Solone recenseat. alioquin eorum nominibus ediscendis fatigari te oportuisset. *Hip.* Quid fatigari, Socrates? semel audiens quinquaginta nomina, memoriter repetam. *So.* Probe loqueris. sed ego te memoria pollere non adverteram. Quapropter Lacedaemonios te merito delectari, tanquam multarum rerum perito, iam intelligo, teque perinde uti, ac aniculis pueri, ad confabulandi iucunditatem. *Hip.* Per Iovem, o Socrates, nuper ibidem de pulchris studiis, quibus incumbere iuvenem decet, edisserens admirationi fui. Exstat enim de iis a me composita luculenta quaedam oratio, quae praecipue verborum elegantia pollet. forma vero et principium orationis eiusmodi est: Postquam capta est Troia, Neoptolemus Nestorem interrogavit, quae sint pulcherrima studia, quibus incumbens iuvenis vir illustris evadat. Cui respondens

Νέστωρ καὶ ὑποτιθέμενος αὐτῷ πάμπολλα νόμιμα καὶ πάγκαλα. τοῦτον δὴ καὶ ἐκεῖ ἐπεδειξάμην καὶ ἐνθάδε μέλλω ἐπιδεικνύναι εἰς τρίτην ἡμέραν, ἐν τῷ Φειδοστράτου διδασκαλείῳ, καὶ ἄλλα πολλὰ καὶ ἄξια ἀκοῆς· ἐδεήθη γάρ μου Εὔδικος ὁ Ἀπημάντου. ἀλλ' ὅπως παρέσει καὶ αὐτὸς καὶ ἄλλους ἄξεις, οἵ τινες ἱκανοὶ ἀκούσαντες κρῖναι τὰ λεγόμενα.

ΣΩ. Ἀλλὰ ταῦτ' ἔσται, ἂν θεὸς ἐθέλῃ, ὦ Ἱππία. νυνὶ μέντοι βραχύ τί μοι περὶ αὐτοῦ ἀπόκριναι· καὶ γάρ με εἰς καλὸν ὑπέμνησας. ἔναγχος γάρ τις, ὦ ἄριστε, εἰς ἀπορίαν με κατέβαλεν ἐν λόγοις τισὶ τὰ μὲν ψέγοντα ὡς αἰσχρά, τὰ δ' ἐπαινοῦντα ὡς καλά, οὕτω πως ἐρόμενος καὶ μάλα ὑβριστικῶς· Πόθεν δέ μοι σύ, ἔφη, ὦ Σώκρατες, οἶσθα ὁποῖα καλὰ καὶ αἰσχρά; ἐπεὶ φέρε, ἔχοις ἂν εἰπεῖν τί ἔστι τὸ καλόν; Καὶ ἐγὼ διὰ τὴν ἐμὴν φαυλότητα ἠπορούμην τε καὶ οὐκ εἶχον αὐτῷ κατὰ τρόπον ἀποκρίνασθαι. ἀπιὼν οὖν ἐκ τῆς συνουσίας ἐμαυτῷ τε ὠργιζόμην καὶ ὠνείδιζον, καὶ ἠπείλουν, ὁπότε πρῶτον ὑμῶν τῳ τῶν σοφῶν ἐντύχοιμι, ἀκούσας καὶ μαθὼν καὶ ἐκμελετήσας ἰέναι πάλιν ἐπὶ τὸν ἐρωτήσαντα, ἀναμαχούμενος τὸν λόγον. νῦν οὖν, ὃ

Nestor multa et pulchra praecepta recenset. Hanc equidem orationem ibi ostendi, et hic quoque tertia hinc die in Phidostrati ludo, atque insuper alia multa auditu digna, ostensurus sum. Eudicus enim, Apimanti filius, me rogavit. Quare da operam, ut tu quoque adsis, et alios tecum ducas, quicunque dicenda audiendo iudicare sciant. *So.* Fient ista, si Deus voluerit, Hippia. in praesentia autem breve quiddam de hoc ipso responde: nam opportune me admonuisti. nuper enim, o vir optime, cum in sermone quodam alia ut pulchra laudarem, alia vituperarem ut turpia, hanc quispiam in medium dubitationem induxit, me valde contentiose sic interrogans: Unde, o Socrates, pulchra turpiave cognoscis? potesne, quid pulchrum sit, definire? Ego autem ob ignaviam meam haesitavi, neque, quod accommodate responderem, habui. atque ex coetu hominum abiens, mecum ipse iratus sum, ruditatemque meam vehementer vituperavi: ac minatus sum, cum primum quempiam vestrum, qui sapientiam profitemini, obvium haberem, conaturum me id audire ac discere, et diligenter praemeditatum ad eum, qui rogaverat, reversurum, ut rursus eadem de re pugnarem. Quapropter nunc

λέγω, εἰς καλὸν ἥκεις, καί με δίδαξον ἱκανῶς αὐτὸ τὸ καλὸν ὅ τι ἔστι, καὶ πειρῶ μοι ὅτι μάλιστα ἀκριβῶς εἰπεῖν ἀποκρινόμενος, μὴ ἐξελεγχθεὶς τὸ δεύτερον αὖθις γέλωτα ὄφλω. οἶσθα γὰρ δή που σαφῶς, καὶ σμικρόν τί που τοῦτ' ἂν εἴη μάθημα ὧν σὺ τῶν πολλῶν ἐπίστασαι.

III. Σμικρὸν μέντοι νὴ Δί', ὦ Σώκρατες, καὶ οὐδενὸς ἄξιον ὡς ἔπος εἰπεῖν.

ΣΩ. Ῥᾳδίως ἄρα μαθήσομαι καὶ οὐδείς με ἐξελέγξει ἔτι.

III. Οὐδεὶς μέντοι· φαῦλον γὰρ ἂν εἴη τὸ ἐμὸν πρᾶγμα καὶ ἰδιωτικόν.

ΣΩ. Εὖ γε νὴ τὴν Ἥραν λέγεις, ὦ Ἱππία, εἰ 287
χειρωσόμεθα τὸν ἄνδρα. Ἀτὰρ μή τι κωλύω μιμούμενος ἐγὼ ἐκεῖνον, ἐὰν σοῦ ἀποκρινομένου ἀντιλαμβάνωμαι τῶν λόγων, ἵν' ὅτι μάλιστά με ἐκμελετήσῃς; σχεδὸν γάρ τι ἔμπειρός εἰμι τῶν ἀντιλήψεων. εἰ οὖν μή τί σοι διαφέρει, βούλομαι ἀντιλαμβάνεσθαι, ἵν' ἐρρωμενέστερον μάθω.

III. Ἀλλ' ἀντιλαμβάνου. καὶ γάρ, ὃ νῦν δὴ εἶπον, οὐ μέγα ἐστὶ τὸ ἐρώτημα, ἀλλὰ καὶ πολὺ τούτου χαλεπώτερα ἂν ἀποκρίνασθαί ἐγώ σε διδάξαιμι, ὥστε μηδένα ἀνθρώπων δύνασθαί σε ἐξελέγξειν.

tu, ut dicebam, peropportune venisti. Doce, obsecro, me, quid ipsum pulchrum est: conare, inquam, diligentissime omnem respondendo rem aperire, ne iterum redargutus irrideari. nosti enim perspicue: idque exiguum quiddam est e multis, quae tu calles. *Hip.* Exiguum, per Iovem, Socrates, et nullius, ut ita dicam, pretii. *So.* Facile itaque discam: neque ullus ulterius me refellet. *Hip.* Nullus certe. vile namque et rude studium meum esset. *So.* Per Iunonem, bene loqueris, Hippia, si virum illum capiamus. verum ne tibi impedimento sim, imitatus illum, te respondente rationes resumam, ut me magis exerceas. ferme enim in resumendis sermonibus quoquo peritus sum. Si ergo nihil tua interest, repetere cupio, ut vehementius firmiusque perdiscam. *Hip.* Repete, ut lubet. nam, ut modo dicebam, non ardua quaestio est: sed ad difficiliora te respondere docerem, ut nemo te refellere possit.

ΣΩ. Φεῦ ὡς εὖ λέγεις. ἀλλ' ἄγ', ἐπειδὴ καὶ σὺ κελεύεις, φέρε ὅτι μάλιστ' ἐκεῖνος γενόμενος πειρῶμαί σε ἐρωτᾶν. Εἰ γὰρ δὴ αὐτῷ τὸν λόγον τοῦτον ἐπιδείξαιο ὃν φῂς, τὸν περὶ τῶν καλῶν ἐπιτηδευμάτων, ἀκούσας, ἐπειδὴ παύσαιο λέγων, ἔροιτ' ἂν σὺ περὶ ἄλλου πρότερον ἢ περὶ τοῦ καλοῦ, ἔθος γάρ τι τοῦτ' ἔχει, καὶ εἴποι ἂν Ὦ ξένε Ἠλεῖε, ἆρ' οὐ δικαιοσύνη δίκαιοί εἰσιν οἱ δίκαιοι; Ἀπόκριναι δή, ὦ Ἱππία, ὡς ἐκείνου ἐρωτῶντος.

ΙΠ. Ἀποκρινοῦμαι ὅτι δικαιοσύνῃ. 1

ΣΩ. Οὐκοῦν ἔστι τι τοῦτο, ἡ δικαιοσύνη;

ΙΠ. Πάνυ γε.

ΣΩ. Οὐκοῦν καὶ σοφίᾳ οἱ σοφοὶ εἰσι σοφοὶ καὶ τῷ ἀγαθῷ πάντα τἀγαθὰ ἀγαθά;

ΙΠ. Πῶς δ' οὔ;

ΣΩ. Οὖσί γέ τισι τούτοις· οὐ γὰρ δή που μὴ οὖσί γε.

ΙΠ. Οὖσι μέντοι.

ΣΩ. Ἆρ' οὖν οὐ καὶ τὰ καλὰ πάντα τῷ καλῷ ἐστὶ καλά; 2

ΙΠ. Ναί, τῷ καλῷ.

ΣΩ. Ὄντι γέ τινι τούτῳ;

ΙΠ. Ὄντι· ἀλλὰ τί γὰρ μέλλει;

So. O quam bene loqueris! ac postquam tu iubes, eius ipse personam indutus, te interrogare aggredior. Si illi sermonem tuum de pulchris disputantem officiis ostendisses, cum primum finem dicendi fecisses, de nullo alio prius, quam de pulchro, quaesissēt. nos enim iste suus: et in hunc modum interrogasset; O Eliensis hospes, nonne iustitia iusti sunt, quicunque iusti? Respondē, quaeso, Hippia, tanquam percontante illo. *Hip.* Iustitia profecto. *So.* An non aliquid haec ipsa iustitia est? *Hip.* Prorsus. *So.* Et sapientia sapientes sunt, quicunque sapiunt? et bono simliter bona omnia, quae bona sunt? *Hip.* Quid prohibet? *So.* Sapientiam vero et bonum secundum se esse oportet, quam si ipsa non essent, alia per illa nunquam talia forent. *Hip.* Sic est. *So.* Nonne et pulchra omnia ipso pulchro sunt pulchra? *Hip.* Pulchro certe. *So.* Estne igitur ipsum pulchrum? *Hip.* Est procul dubio; sed quorsum?

ΣΩ. Εἰπὲ δή, ὦ ξένε, φήσει, τί ἔστι τοῦτο τὸ καλόν;

ΙΠ. Ἄλλο τι οὖν, ὦ Σώκρατες, ὁ τοῦτο ἐρωτῶν δεῖται μηθέσθαι τί ἐστι καλόν;

ΣΩ. Οὔ μοι δοκεῖ, ἀλλ' ὅ τι ἔστι τὸ καλόν, ὦ Ἱππία.

ΙΠ. Καὶ τί διαφέρει τοῦτ' ἐκείνου;

ΣΩ. Οὐδέν σοι δοκεῖ;

ΙΠ. Οὐδὲν γὰρ διαφέρει.

ΣΩ. Ἀλλὰ μέντοι δῆλον ὅτι σὺ κάλλιον οἶσθα. ὅμως δέ, ὦ γαθέ, ἄθρει· ἐρωτᾷ γάρ σε οὐ τί ἐστι καλόν, ἀλλ' ὅ τί ἐστι τὸ καλόν.

ΙΠ. Μανθάνω, ὦ γαθέ, καὶ ἀποκρινοῦμαί γε αὐτῷ ὅ τί ἐστι τὸ καλόν, καὶ οὐ μή ποτε ἐλεγχθῶ. ἔστι γάρ, ὦ Σώκρατες, εὖ ἴσθι, εἰ δεῖ τἀληθὲς λέγειν, παρθένος καλὴ καλόν.

ΣΩ. Καλῶς γε, ὦ Ἱππία, νὴ τὸν κύνα καὶ εὐδόξως ἀπεκρίνω. ἄλλο τι οὖν, ἂν ἐγὼ τοῦτο ἀποκρίνωμαι, τὸ ἐρωτώμενόν τε ἀποκεκριμένος ἔσομαι καὶ ὀρθῶς, καὶ 288
οὐ μὴ ἐλεγχθῶ;

ΙΠ. Πῶς γὰρ ἄν, ὦ Σώκρατες, ἐλεγχθείης ὅ γε πᾶσι δοκεῖ καὶ πάντες σοι μαρτυρήσουσιν οἱ ἀκούοντες ὅτι ὀρθῶς λέγεις;

ΣΩ. Εἶεν, πάνυ μὲν οὖν. φέρε δή, ὦ Ἱππία, πρὸς

So. Hic ille statim quaeret: Dic, hospes, quid hoc ipsum pulchrum est? *Hip.* Num qui ista interrogat, audire indiget, quid est pulchrum? *So.* Non mihi videtur: sed aliud quiddam est ipsum pulchrum. *Hip.* Quid hoc ab illo differt? *So.* Nihilne tibi videtur? *Hip.* Nihil certe. non enim differt. *So.* Constat autem te melius nosse. considera tamen: non quae res pulchra est, ille petit, sed quid ipsum pulchrum est. *Hip.* Intelligo iam, o bone vir: et quod ipsum pulchrum est, respondebo adeo, ut nunquam redarguar. Si verum dicere oportet, scito, Socrates, virginem pulchram ipsum pulchrum esse. *So.* Praeclare, o Hippia, et decore admodum respondisti. nunquid ergo, si hoc respondero, ad interrogata responsum erit, et recte, neque refellar? *Hip.* Qua te ille ratione corripiet, si quod omnibus videtur, et de quo audientes singuli pro te testabuntur, responderis? *So.* Eia quam belle. sed mecum ipse, o Hippia, quod

ἐμαυτὸν ἀναλάβω ὃ λέγεις. ὁ μὲν ἐρήσεταί με οὕτωσί πως, Ἴθι μοι, ὦ Σώκρατες, ἀπόκριναι· ταῦτα πάντα ἃ φῂς καλὰ εἶναι, εἴ τί ἐσιν αὐτὸ τὸ καλόν, ταῦτ' ἂν εἴη καλά; ἐγὼ δὲ δὴ ἐρῶ ὅτι εἰ παρθένος καλὴ καλόν ἐστι, δι' ὃ ταῦτ' ἂν εἴη καλά.

III. Οἴει οὖν ἔτι αὐτὸν ἐπιχειρήσειν σε ἐλέγχειν ὡς οὐ καλόν ἐστιν ὃ λέγεις; ἢ ἐὰν ἐπιχειρήσῃ, οὐ καταγέλαστον ἔσεσθαι;

ΣΩ. Ὅτι μὲν ἐπιχειρήσει, ὦ θαυμάσιε, εὖ οἶδα· εἰ δ' ἐπιχειρήσας ἔσται καταγέλαστος, αὐτὸ δείξει. ἆ μέντοι ἐρεῖ, ἐθέλω σοι λέγειν.

III. Λέγε δή.

ΣΩ. Ὡς γλυκὺς εἶ, φήσει, ὦ Σώκρατες. θήλεια δ' ἵππος καλὴ οὐ καλόν, ἢν καὶ ὁ θεὸς ἐν τῷ χρησμῷ ἐπῄνεσε; Τί φήσομεν, ὦ Ἱππία; ἄλλο τι φῶμεν καὶ τὴν ἵππον καλὸν εἶναι, τήν γε καλήν; πῶς γὰρ ἂν τολμῷμεν ἐξαρνοι εἶναι τὸ καλὸν μὴ καλὸν εἶναι;

III. Ἀληθῆ λέγεις, ὦ Σώκρατες, ἐπεί τοι καὶ ὀρθῶς αὐτὸ ὁ θεὸς εἶπε· πάγκαλαι γὰρ παρ' ἡμῖν ἵπποι γίγνονται.

ΣΩ. Εἶεν, φήσει δή· τί δέ; λύρα καλὴ οὐ καλόν; Φῶμεν, ὦ Ἱππία;

III. Ναί.

dicis animadverto. Ille siquidem ita quodammodo percontab tur: Age, respònde mihi, o Socrates, quid est ipsum pulchrum quod si sit, haec omnia, quae pulchra dicuntur, per ipsu pulchra sunt? Ego autem respondebo: Si pulchra virgo ipsu pulchrum est, propter quod haec pulchra fiunt. *Hip.* Puta illum te reprehendere ulterius ausurum, quasi non pulchr sit, quod dicis? vel, si forte ausus fuerit, non ab omnibus risum iri? *So.* Quod quidem audebit, o vir mirifice, c scio; utrum vero ausus ridiculus evasurus sit, res ipsa os det. quae tamen ille inferet, tibi dicere cupio. *Hip.* Dic *So.* Quam lepidus es, o Socrates! dicet. Pulchra equa, ne pulchrum? quam in oraculo Deus ipse laudavit. Qui haec, o Hippia? pulchram equam nonne pulchram esse bimur? nam quo pacto, quod pulchrum est, esse pulc negabimus? *Hip.* Vera narras, o Socrates: recte quippe cecinit. pulcherrimae enim equae apud nos nascuntur. *S* det ille post haec: Lyra pulchra, nonne pulchrum? *Hi*

ΣΩ. Ἐρεῖ τοίνυν μετὰ τοῦτ' ἐκεῖνος, σχεδόν τι εὖ οἶδα ἐκ τοῦ τρόπου τεκμαιρόμενος, Ὦ βέλτιστε οὗ, τί δέ; χύτρα καλὴ οὐ καλὸν ἄρα;

ΙΠ. Ὦ Σώκρατες, τίς δ' ἔστιν ὁ ἄνθρωπος; ὡς ἀπαίδευτός τις, ὃς οὕτω φαῦλα ὀνόματα ὀνομάζειν τολμᾷ ἐν σεμνῷ πράγματι.

ΣΩ. Τοιοῦτός τις, ὦ Ἱππία, οὐ κομψὸς ἀλλὰ συρφετός, οὐδὲν ἄλλο φροντίζων ἢ τὸ ἀληθές. ἀλλ' ὅμως ἀποκριτέον τῷ ἀνδρί, καὶ ἔγωγε προαποφαίνομαι· εἴ περ ἡ χύτρα κεκεραμευμένη εἴη ὑπ' ἀγαθοῦ κεραμέως λεία καὶ στρογγύλη καὶ καλῶς ὠπτημένη, οἷαι τῶν καλῶν χυτρῶν εἰσί τινες δίωτοι, τῶν ἓξ χοᾶς χωρουσῶν, πάγκαλαι, εἰ τοιαύτην ἐρωτῴη χύτραν, καλὴν ὁμολογητέον εἶναι. πῶς γὰρ ἂν φαῖμεν καλὸν ὂν μὴ καλὸν εἶναι;

ΙΠ. Οὐδαμῶς, ὦ Σώκρατες.

ΣΩ. Οὐκοῦν καὶ χύτρα, φήσει, καλὴ καλόν; Ἀποκρίνου.

ΙΠ. Ἀλλ' οὕτως, ὦ Σώκρατες, ἔχει, οἶμαι· καλὸν μὲν καὶ τοῦτο τὸ σκεῦός ἐστι καλῶς εἰργασμένον, ἀλλὰ τὸ ὅλον τοῦτο οὐκ ἔστιν ἄξιον κρίνειν ὡς ὂν καλὸν πρὸς ἵππον τε καὶ παρθένον καὶ τἆλλα πάντα τὰ καλά.

So. Quaeret iterum, (novi enim eius morem) O vir optime, pulchra olla, an non pulchrum? *Hip.* Ha Socrates, quis adeo rudis est, ut in re seria tam vilia nomina misceat? *So.* Talis ille est, o Hippia. non enim comptus iucundusque, sed sordidus, nihilque aliud praeter veritatem curans. attamen respondendum illi est, et ego praefabor. Si olla a bono figulo ficta sit aequalis et rotunda, satisque cocta, quales sunt ollae quaedam utrinque auritae atque perpulchrae, quae sex patinas capiunt: si de tali, inquam, olla interroget, respondendum, pulchram exsistere. quomodo enim, quod pulchrum est, non esse pulchrum assereremus? *Hip.* Nullo pacto, o Socrates. *So.* An non et olla, rogabit, illa pulchra pulchrum? responde, amabo. *Hip.* Sic esse arbitror. pulchrum quoque vas hoc est, cum ex arte est fictum: sed totum hoc, si cum equa et virgine aliisque speciosis omnibus comparetur, tali cognomento indignum est.

289 ΣΩ. Εἶεν· μανθάνω, ὦ Ἱππία, ὡς ἄρα χρὴ ἡμᾶς ἀντιλέγειν πρὸς τὸν ταῦτα ἐρωτῶντα τάδε, Ὦ ἄνθρωπε, ἀγνοεῖς ὅτι τὸ τοῦ Ἡρακλείτου εὖ ἔχει, ὡς ἄρα πιθήκων ὁ κάλλιστος αἰσχρὸς ἀνθρωπείῳ γένει συμβάλλειν, καὶ χυτρῶν ἡ καλλίστη αἰσχρὰ παρθένων γένει συμβάλλειν, ὡς φησιν Ἱππίας ὁ σοφός. Οὐχ οὕτως, ὦ Ἱππία;

ΙΠ. Πάνυ μὲν οὖν, ὦ Σώκρατες, ὀρθῶς ἀπεκρίνω.

ΣΩ. Ἄκουε δή. μετὰ τοῦτο γὰρ εὖ οἶδ' ὅτι φήσει Τί δέ, ὦ Σώκρατες; τὸ τῶν παρθένων γένος θεῶν γένει ἄν τις συμβάλλῃ, οὐ ταὐτὸν πείσεται ὅ περ τὰ τῶν χυτρῶν τῷ τῶν παρθένων συμβαλλόμενον; οὐχ ἡ καλλίστη παρθένος αἰσχρὰ φανεῖται; ἢ οὐ καὶ Ἡράκλειτος ταὐτὸν τοῦτο λέγει, ὃν σὺ ἐπῄνεσας, ὅτι ἀνθρώπων ὁ σοφώτατος πρὸς θεὸν πίθηκος φανεῖται καὶ σοφίᾳ καὶ κάλλει καὶ τοῖς ἄλλοις πᾶσιν; Ὁμολογήσωμεν, ὦ Ἱππία, τὴν καλλίστην παρθένον πρὸς θεῶν γένος αἰσχρὰν εἶναι;

ΙΠ. Τίς γὰρ ἂν ἀντείποι τούτῳ γε, ὦ Σώκρατες;

ΣΩ. Ἂν τοίνυν ταῦτα ὁμολογήσωμεν, γελάσεταί τε καὶ ἐρεῖ Ὦ Σώκρατες, μέμνησαι οὖν ὅ τι ἠρωτήθης; Ἔγωγε, φήσω, ὅτι αὐτὸ τὸ καλὸν ὅ τί ποτ' ἔστιν.

So. En, Hippia, iam intelligo, quid interroganti illi, qui petit, obiiciendum sit: O vir, ignoras, quam scitum sit illud Heraclíti, Speciosissima simiarum deformis est, cum alio genere animalium comparata? nec non ollarum pulcherrima turpis est, si cum virginum genere conferatur, ut sapiens Hippias indicavit. Nonne sic, Hippia? *Hip.* Recte nimium respondisti. *So.* Audi. deinceps enim scio sic inferet: Quid si quis genus virginum, o Socrates, cum Deorum genere conferat, nonne idem patietur, quod et olla collata cum virgine? an non formosissima virginum deformis esse videbitur? nonne Heraclitus, quem tu in testimonium adduxisti, hoc idem tradit, hominem scilicet sapientissimum ad Deum simiam apparere, quoad sapientiam et formam et alia omnia? Confitebimur, Hippia, speciosissimam virginem, cum Deorum genere comparatam, esse deformem? *Hip.* Quis huic, Socrates, contradixerit? *So.* Si haec admittamus, ridebit illico, et in hunc modum me iterum compellabit: Recordaris, Socrates, quid interrogatus fueris? At ego: Recordor equidem me interrogatum fuisse, quid ipsum pulchrum sit.

Ἔπειτα, φήσει, ἐρωτηθεὶς τὸ καλὸν ἀποκρίνει ὃ τυγχάνει ὄν, ὡς αὐτὸς φῄς, οὐδὲν μᾶλλον καλὸν ἢ αἰσχρόν; Ἔοικε, φήσω. Ἢ τί μοι συμβουλεύεις, ὦ φίλε, φάναι;

ΙΠ. Τοῦτ' ἔγωγε, καὶ δὴ πρός γε θεοὺς ὅτι οὐ καλὸν τὸ ἀνθρώπειον γένος, ἀληθῆ ἐρεῖ.

ΣΩ. Εἰ δέ σε ἠρόμην, φήσει, ἐξ ἀρχῆς τί ἐστι καλόν τε καὶ αἰσχρόν, εἴ μοι ἃ περ νῦν ἀπεκρίνω, ἆρ' οὐκ ἂν ὀρθῶς ἀποκέκριφο; ἔτι δὲ καὶ δοκεῖ σοι αὐτὸ τὸ καλόν, ᾧ καὶ τἆλλα πάντα κοσμεῖται καὶ καλὰ φαίνεται, ἐπειδὰν προσγένηται ἐκεῖνο τὸ εἶδος, τοῦτ' εἶναι παρθένος ἢ ἵππος ἢ λύρα;

ΙΠ. Ἀλλὰ μέντοι, ὦ Σώκρατες, εἰ τοῦτό γε ζητεῖ, πάντων ῥᾷστον ἀποκρίνασθαι αὐτῷ τί ἐστι τὸ καλόν, ᾧ καὶ τἆλλα πάντα κοσμεῖται καὶ προσγενομένου αὐτοῦ καλὰ φαίνεται. εὐηθέστατος οὖν ἐστὶν ὁ ἄνθρωπος καὶ οὐδὲν ἐπαΐει περὶ καλῶν κτημάτων. ἐὰν γὰρ αὐτῷ ἀποκρίνῃ ὅτι τοῦτ' ἐστὶν ὃ ἐρωτᾷ τὸ καλὸν οὐδὲν ἄλλο ἢ χρυσός, ἀπορήσει καὶ οὐκ ἐπιχειρήσει σε ἐλέγχειν. ἴσμεν γάρ που πάντες ὅτι ὅπου ἂν τοῦτο προσγένηται, κἂν πρότερον αἰσχρὸν φαίνηται, καλὸν φανεῖται χρυσῷ γε κοσμηθέν.

Tum ille dicet: Interrogatus, quid pulchrum sit, respondes, quod non magis pulchrum quam turpe esse contingit, ut tu ipse fateris. Ita videri dicam? Dic, quidnam tu, amice, mihi respondendum consulis? *Hip.* Hoc ipsum, *So.* Quin etiam, quod ad Deos genus hominum pulchrum minime sit, concedet. Sin autem ab initio te, dicet ille, rogassem, quid pulchrum turpeque est, et tu mihi eadem, quae in praesentia, respondisses, recte quidem? praeterea, num tibi ipsum pulchrum, quo decorantur omnia pulchraque apparent, quotiens illa species adest, virgo videtur esse vel equa vel lyra? *Hip.* Si id ille quaesiverit, Socrates, facillime respondebitur, quid ipsum pulchrum sit, quo cetera omnia decorantur, cuiusve praesentia pulchra videntur. Ineptissimus nempe homo est, nihilque praeclarae quaestionis inducit. si enim tu illi responderis, pulchrum ipsum, quod quaerit, nihil aliud esse, quam aurum, haesitabit profecto, neque te confutare tentabit. constat enim apud omnes, cuicunque hoc adest, licet turpe illud antea visum fuerit, pulchrum videri auro perornatum.

ΣΩ. Ἄπειρος εἶ τοῦ ἀνδρός, ὦ Ἱππία, ὡς σχέτλιός ἐστι καὶ οὐδὲν ῥᾳδίως ἀποδεχόμενος.

ΙΠ. Τί οὖν τοῦτο, ὦ Σώκρατες; τὸ γὰρ ὀρθῶς λεγόμενον ἀνάγκη αὐτῷ ἀποδέχεσθαι ἢ μὴ ἀποδεχομένῳ καταγέλαστῳ εἶναι.

ΣΩ. Καὶ μὲν δὴ ταύτην γε τὴν ἀπόκρισιν, ὦ ἄριστε, οὐ μόνον οὐκ ἀποδέξεται, ἀλλὰ πάνυ με καὶ τωθάσεται, καὶ ἐρεῖ Ὦ τετυφωμένε σύ, Φειδίαν οἴει κακὸν εἶναι δημιουργόν; Καὶ ἐγώ, οἶμαι, ἐρῶ ὅτι Οὐδ' ὁπωστιοῦν.

ΙΠ. Καὶ ὀρθῶς γ' ἐρεῖς, ὦ Σώκρατες.

ΣΩ. Ὀρθῶς μέντοι. τοιγάρτοι ἐκεῖνος, ἐπειδὰν ἐγὼ ὁμολογῶ ἀγαθὸν εἶναι δημιουργὸν τὸν Φειδίαν, Εἶτα, φήσει, οἴει, τοῦτο τὸ καλὸν ὃ σὺ λέγεις, ἠγνόει Φειδίας; Καὶ ἐγὼ Τί μάλιστα; φήσω. Ὅτι, ἐρεῖ, τῆς Ἀθηνᾶς τοὺς ὀφθαλμοὺς οὐ χρυσοῦς ἐποίησεν, οὐδὲ τὸ ἄλλο πρόσωπον οὐδὲ τοὺς πόδας οὐδὲ τὰς χεῖρας, εἴ περ χρυσοῦν γε δὴ ὂν κάλλιστον ἔμελλε φαίνεσθαι, ἀλλ' ἐλεφάντινον. δῆλον ὅτι τοῦτο ὑπὸ ἀμαθίας ἐξήμαρτεν, ἀγνοῶν ὅτι χρυσὸς ἄρ' ἐστὶν ὁ πάντα καλὰ ποιῶν, ὅπου ἂν προσγένηται. Ταῦτ' οὖν λέγοντι τί ἀποκρινώμεθα, ὦ Ἱππία;

ΙΠ. Οὐδὲν χαλεπόν· ἐροῦμεν γὰρ ὅτι ὀρθῶς ἐποίησε. καὶ γὰρ τὸ ἐλεφάντινον, οἶμαι, καλόν ἐστιν.

So. Nescis, Hippia, quam molestus vir ille sit, quamve difficile dicentibus assentiatur. *Hip.* Quid tum? quod recte dicitur, concedat necesse est. hoc enim si respuerit, ludibrio omnibus erit *So.* Atqui responsionem hanc non modo non accipiet, sed acrite me mordebit. O inflate vir, dicet, Phidiam rudem artificem putas? Et ego illi, ut arbitror, nullo modo putare me dicam. *Hi* Et recte quidem. *Sa.* Recte procul dubio. postquam vero peritu artificem Phidiam esse concessero, haec insuper addet: Exis mas, id, quod pulchrum vocas, Phidiam ignorasse? At ego q maxime dicam? Tum ille: Quoniam Minervae oculos non aur fecit, neque reliquum vultum, neque pedes, neque manus, (qu doquidem, si aurea fuissent, pulcherrima exstitissent) sed ebur reddidit, in quo certe propter inscitiam aberravit, cum ignor aurum esse, cuius praesentia pulchra omnia fiunt, quibus que adhaeret. Quid ad haec, Hippia? *Hip.* Nihil arduum. enim fecisse fatebimur. nam eburneum quoque pulchrum

ΣΩ. Τοῦ οὖν ἕνεκα, φήσει, οὐ καὶ τὰ μέσα τῶν ὀφθαλμῶν ἐλεφάντινα εἰργάσατο, ἀλλὰ λίθινα, ὡς οἷόν τ' ἦν ὁμοιότητα τοῦ λίθου τῷ ἐλέφαντι ἐξευρών; ἢ καὶ ὁ λίθος ὁ καλὸς καλόν ἐστι; Φήσομεν, ὦ Ἱππία;

ΙΠ. Φήσομεν μέντοι, ὅταν γε πρέπων ᾖ.

ΣΩ. Ὅταν δὲ μὴ πρέπων, αἰσχρόν; Ὁμολογῶ ἢ μή;

ΙΠ. Ὁμολόγει, ὅταν γε μὴ πρέπῃ;

ΣΩ. Τί δὲ δή; ὁ ἐλέφας καὶ ὁ χρυσός, φήσει, ὦ σοφὲ σύ, οὐχ ὅταν μὲν πρέπῃ, καλὰ ποιεῖ φαίνεσθαι, ὅταν δὲ μή, αἰσχρά; Ἐξαρνοι ἐσόμεθα ἢ ὁμολογήσομεν αὐτῷ ὀρθῶς λέγειν αὐτόν;

ΙΠ. Ὁμολογήσομεν τοῦτό γε, ὅτι ὃ ἂν πρέπῃ ἑκάστῳ, τοῦτο καλὸν ποιεῖ ἕκαστον.

ΣΩ. Πότερον πρέπει, φήσει, ὅταν τις τὴν χύτραν ἣν ἄρτι ἐλέγομεν, τὴν καλήν, ἔψῃ ἔτνους καλοῦ μεστήν, χρυσῇ τορύνῃ αὐτῇ ἢ συκίνῃ;

ΙΠ. Ἡράκλεις, οἷον λέγεις ἄνθρωπον, ὦ Σώκρατες. οὐ βούλει μοι εἰπεῖν τίς ἐστιν;

ΣΩ. Οὐ γὰρ ἂν γνοίης, εἴ σοι εἴποιμι τοὔνομα.

ΙΠ. Ἀλλὰ καὶ νῦν ἔγωγε γιγνώσκω ὅτι ἀμαθής τίς ἐστιν.

ΣΩ. Μέρμερος πάνυ ἐστίν, ὦ Ἱππία. ἀλλ' ὅμως τί φήσομεν; ποτέραν πρέπειν τοῖν τορύναιν τῷ ἔτνει

So. Sed ille: Cur non pupillas etiam oculorum eburneas fecit, sed lapideas, inveniens, quoad fieri potuit, lapidis cum ebore similitudinem? Num pulchrum lapidem pulchrum esse, o Hippia, respondebimus? *Hip.* Immo certe, cum decens est. *So.* Cum vero non decens, turpe fatendum, necne? *Hip.* Fatendum sane, cum minime decet. *So.* His adiiciet ille: O vir sapiens, ebur et aurum nonne, cum decent, pulchra omnia reddunt? contra vero, cum dedecent? Renuemusne, an potius admittemus? *Hip.* Fatebimur plane, quicquid aliquid decet, pulchrum efficere. *So.* Hic ille inferet: Utrum decet pulchrae ollae, de qua supra diximus, plenae bonorum leguminum, auream tudeculam addere an ficulneam? *Hip.* Proh Hercules, qualem hominem narras! Cur non eius nomen profers? *So.* Haud agnosceres hominem, licet nomen audires. *Hip.* Veruntamen in praesentia indoctum illum esse cognosco. *So.* Curiosus nimium est, o Hippia. Ceteram quid dicemus? utram potius e duabus tudeculis legumini

καὶ τῇ χύτρᾳ; ἢ δῆλον ὅτι τὴν συκίνην; εὐωδέστερον γάρ που τὸ ἔτνος ποιεῖ, καὶ ἅμα, ὦ ἑταῖρε, οὐκ ἂν συντρίψασα ἡμῖν τὴν χύτραν ἐκχέαι τὸ ἔτνος καὶ τὸ πῦρ ἀποσβέσειε καὶ τοὺς μέλλοντας ἐστιᾶσθαι ἀνευ ὄψου πάνυ γενναίου ποιήσειεν· ἡ δὲ χρυσῆ ἐκείνη πάντ' ἂν
291 ταῦτα ποιήσειεν, ὥστ' ἐμοὶ δοκεῖ τὴν συκίνην ἡμᾶς μᾶλλον φάναι πρέπειν ἢ τὴν χρυσῆν, εἰ μή τι σὺ ἄλλο λέγεις.

III. Πρέπει μὲν γάρ, ὦ Σώκρατες, μᾶλλον· οὐ μέντ' ἂν ἔγωγε τῷ ἀνθρώπῳ τοιοῦτ' ἐρωτῶντι διαλε- 10
γοίμην.

ΣΩ. Ὀρθῶς γε, ὦ φίλε· σοὶ μὲν γὰρ οὐκ ἂν πρέποι τοιούτων ὀνομάτων ἀναπίμπλασθαι, καλῶς μὲν οὕτωσὶ ἀμπεχομένῳ, καλῶς δὲ ὑποδεδεμένῳ, εὐδοκιμοῦντι δὲ ἐπὶ σοφίᾳ ἐν πᾶσι τοῖς Ἕλλησιν. ἀλλ' ἐμοὶ οὐδὲν πρᾶγμα φύρεσθαι πρὸς τὸν ἄνθρωπον· ἐμὲ οὖν προυδίδασκε καὶ ἐμὴν χάριν ἀποκρίνου. εἰ γὰρ δὴ πρέπει γε μᾶλλον ἡ συκίνη τῆς χρυσῆς, φήσει ὁ ἄνθρωπος, ἄλλο τι καὶ καλλίων ἂν εἴη, ἐπειδή περ τὸ πρέπον, ὦ Σώκρατες, κάλλιον ὡμολόγησας εἶναι τοῦ μὴ 20
πρέποντος; Ἄλλο τι ὁμολογῶμεν, ὦ Ἱππία, τὴν συκίνην καλλίω τῆς χρυσῆς εἶναι;

et ollae congruere? an ficulneam? suaviorem quippe odorem praestat; neque collidens frangensque ollam diffundet legumina, nec aqua ignem exstinguet, neque comesturos homines pretioso privabit obsonio. contra vero aurea tudecula. quamobrem videtur mihi ficulnea magis decere quam aurea: nisi tu contradixeris. *Hip.* Decet sane magis: quamvis ego cum homine talia perquirenti minime disputarem. *So.* Probe nimirum, o amice. tibi enim talibus nominibus uti non convenit, cum tam speciosо amictu calceisque ornatus sis, et inter omnes Graecos sapientia polleas: me autem nihil prohibet, quo minus cum illo versem. me igitur ante erudias, meique gratia respondere digneris. Ille namque sic deinde perget: S ficulnea decet magis quam aurea, nonne pulchrior? *Hip.* Pulchriorem respondebis, o Socrates, postquam quod decet, pulchrius quam quod dedecet, es confessus. *So.* Nunquid, Hippia, confitendum, ficulneam pulchriorem esse quam auream

III. Βούλει σοι εἴπω, ὦ Σώκρατες, ὃ εἰπὼν εἶναι τὸ καλὸν ἀπαλλάξεις αὐτὸν τῶν πολλῶν λόγων;

ΣΩ. Πάνυ μὲν οὖν. μὴ μέντοι πρότερόν γε, πρὶν ἄν μοι εἴπῃς ποτέραν ἀποκρίνωμαι οἷν ἄρτι ἔλεγον τοῖν τορύναιν πρέπουσάν τε καὶ καλλίω εἶναι.

III. Ἀλλ', εἰ βούλει, αὐτῷ ἀπόκριναι ὅτι ἡ ἐκ τῆς συκῆς εἰργασμένη.

ΣΩ. Λέγε δὴ νυνὶ ὃ ἄρτι ἔμελλες λέγειν. ταύτῃ μὲν γὰρ τῇ ἀποκρίσει ἦ ἂν φῶ τὸ καλὸν χρυσὸν εἶναι, οὐδὲν ὡς ἔοικέ μοι ἀναφανήσεται κάλλιον ὂν χρυσὸς ἢ ξύλον σύκινον· τὸ δὲ νῦν τί αὖ λέγεις τὸ καλὸν εἶναι;

III. Ἐγώ σοι ἐρῶ. ζητεῖν γάρ μοι δοκεῖς τοιοῦτόν τι τὸ καλὸν ἀποκρίνασθαι, ὃ μηδέποτε αἰσχρὸν μηδαμοῦ μηδενὶ φανεῖται.

ΣΩ. Πάνυ μὲν οὖν, ὦ Ἱππία, καὶ καλῶς γε νῦν ὑπολαμβάνεις.

III. Ἄκουε δή. πρὸς γὰρ τοῦτ', ἴσθι, ἐάν τις ἔχῃ ὅ τι ἀντείπῃ, φάναι ἐμὲ μηδ' ὁτιοῦν ἐπαΐειν.

ΣΩ. Λέγε δὴ ὡς τάχιστα πρὸς θεῶν.

III. Λέγω τοίνυν ἀεὶ καὶ παντὶ καὶ πανταχοῦ κάλλιστον εἶναι ἀνδρὶ πλουτοῦντι, ὑγιαίνοντι, τιμωμένῳ ὑπὸ τῶν Ἑλλήνων, ἀφικομένῳ εἰς γῆρας, τοὺς αὑτοῦ

Hip. Vis tibi dicam, Socrates, quomodo pulchrum definiens, prolixis eum sermonibus alienabis? *So.* Quidni velim? modo tamen prius mihi dixeris, utram e duabus illis tudiculis decentiorem pulchrioremque exsistere respondendum sit. *Hip.* Atqui, si vis, illam, quae ex ficu est, pulchriorem esse responde. *So.* Nunc iam dicas, quod paulo ante inceptabas. hac enim responsione, qua ipsum pulchrum aurum esse aio, nihilo pulchrius, ut arbitror, aurum quam lignum ficulneum apparebit. Nunc denuo quid ipsum pulchrum asseris? *Hip.* Dicam equidem. requirere namque mihi videris tale quiddam pulchrum respondere, quod nunquam alicui turpe videri queat. *So.* Omnino, ô Hippia, et nunc recte accipis. *Hip.* Audi iam. scito, Socrates, si quis habeat, quod adversus hoc inferre valeat, autumare me nihil unquam penitus laudaturum. *So.* Dic, per Deos, cito. *Hip.* Aio equidem, semper apud quemlibet et ubicunque pulcherrimum esse, ut sanus aliquis sit, dives et honoratus inter Graecos usque ad senectutem: et sicut parentes suos defunctos

γονέας τελευτήσαντας καλῶς περιστείλαιτι ὑπὸ τῶν αὐτοῦ ἐκγόνων καλῶς καὶ μεγαλοπρεπῶς ταφῆναι.

ΣΩ. Ἰοὺ ἰού, ὦ Ἱππία, ἦ θαυμασίως τε καὶ μεγάλως καὶ ἀξίως σαυτοῦ εἴρηκας· καὶ νὴ τὴν Ἥραν ἄγαμαί σου, ὅτι μοι δοκεῖς εὐνοϊκῶς καθ' ὅσον οἷός τ' εἶ βοηθεῖν. ἀλλὰ γὰρ τοῦ ἀνδρὸς οὐ τυγχάνομεν, ἀλλ' ἡμῶν δὴ νῦν καὶ πλεῖσιον καταγελάσεται, εὖ ἴσθι.

ΙΠ. Πονηρόν γ', ὦ Σώκρατες, γέλωτα· ὅταν γὰρ πρὸς ταῦτα ἔχῃ μὲν μηδὲν ὅ τι λέγῃ, γελᾷ δέ, αὐτοῦ
292 καταγελάσεται καὶ ὑπὸ τῶν παρόντων αὐτὸς ἔσται καταγελαστος. 10

ΣΩ. Ἴσως οὕτως ἔχει· ἴσως μέντοι ἐπί γε ταύτῃ τῇ ἀπιυχρίσει, ὡς ἐγὼ μαντεύομαι, κινδυνεύσει οὐ μόνον μου καταγελᾶν.

ΙΠ. Ἀλλὰ τί μήν;

ΣΩ. Ὅτι, ἂν τύχῃ βακτηρίαν ἔχων, ἂν μὴ ἐκφύγω φεύγων αὐτόν, εὖ μάλα μου ἐφικέσθαι πειράσεται.

ΙΠ. Πῶς λέγεις; δεσπότης τίς σου ὁ ἄνθρωπός ἐστι; καὶ τοῦτο ποιήσας οὐκ ἀχθήσεται καὶ δίκας ὀφλήσει; ἢ οὐκ ἔνδικος ὑμῖν ἡ πόλις ἐστίν, ἀλλ' ἐᾷ ἀδίκως 20 τύπτειν ἀλλήλους τοὺς πολίτας;

ΣΩ. Οὐδ' ὁπωστιοῦν ἐᾷ.

ΙΠ. Οὐκοῦν δώσει δίκην ἀδίκως γέ σε τύπτων.

egregio funere decoravit, sic a filiis suis praeclare atque magnifice sepeliatur. *So.* Hui, hui, o Hippia, quam mirifice et excellenter, et ut te decet, dixisti. per Iunonem, valde te amo, quia mihi videris summa cum benevolentia pro viribus auxiliari. Virum tamen illum nondum comprehendimus: sed nunc effusius nos, mihi crede, ridebit. *Hip.* O ineptum risum! cum enim nihil adversus ista proferre valeat, rideat autem, se ipsum ridebit, praesentibusque omnibus ipse ludibrio erit. *So.* Forte sic se res habet. forte etiam ex hac responsione, ut ego vaticinor, non solum illudere me audebit. *Hip.* Quid ultra? *So.* Si baculum habuerit, neque ego statim fugero, caedere me conabitur. *Hip.* Quid ais? an tuus ille dominus? si tibi iniuriatus fuerit, non dabit poenas? an iniusta vestra civitas, caedereque se mutuo cives permittit? *So.* Nullo modo. *Hip.* Nonne igitur punietur, si te iniuste percusserit?

ΣΩ. Οὔ μοι δοκεῖ, ὦ Ἱππία, οὔκ, εἰ ταῦτά γε ἀποκριναίμην, ἀλλὰ δικαίως, ἔμοιγε δόκει.

ΙΠ. Καὶ ἐμοὶ τοίνυν δοκεῖ, ὦ Σώκρατες, ἐπειδή περ γε αὐτὸς ταῦτα οἴει.

ΣΩ. Οὐκοῦν εἶπω σοι καὶ ἢ αὐτὸς οἶομαι δικαίως ἂν τύπτεσθαι ταῦτα ἀποκρινόμενος; ἢ καὶ σύ με ἄκριτον τυπτήσεις; ἢ δέξει λόγον;

ΙΠ. Δεινὸν γὰρ ἂν εἴη, ὦ Σώκρατες, εἰ μὴ δεχοίμην. ἀλλὰ πῶς λέγεις;

ΣΩ. Ἐγώ σοι ἐρῶ τὸν αὐτὸν τρόπον ὃν περ νῦν δή, μιμούμενος ἐκεῖνον, ἵνα μὴ πρὸς σὲ λέγω ῥήματα οἷα ἐκεῖνος εἰς ἐμὲ ἐρεῖ, χαλεπά τε καὶ ἀλλόκοτα. εὖ γὰρ ἴσθι, Εἰπέ μοι, φήσει, ὦ Σώκρατες, οἴει ἂν ἀδίκως πληγὰς λαβεῖν, ὅς τις διθύραμβον τοσουτονὶ ὄσας οὕτως ἀμούσως πολὺ ἀπῄσας ἀπὸ τοῦ ἐρωτήματος; Πῶς δή; φήσω ἐγώ. Ὅπως; φήσει· οὐχ οἷός τ' εἶ μεμνῆσθαι ὅτι τὸ καλὸν αὐτὸ ἠρώτων, ὃ παντὶ ᾧ ἂν προσγένηται, ὑπάρχει ἐκείνῳ καλῷ εἶναι, καὶ λίθῳ καὶ ξύλῳ καὶ ἀνθρώπῳ καὶ θεῷ καὶ ἁπάσῃ πράξει καὶ παντὶ μαθήματι; αὐτὸ γὰρ ἔγωγε, ὦ ἄνθρωπε, κάλλος ἐρωτῶ ὅ τι ἔστι, καὶ οὐδέν σοι μᾶλλον γεγωνεῖν δύναμαι ἢ εἴ μοι παρεπάθησο λίθος, καὶ οὕτος μυλίας, μήτε ὦτα

So. Non iniuste quidem, o Hippia, si talia responderem, sed iure mihi videtur. *Hip.* Mihi quoque; quando quidem et tu haec putas. *So.* Vis tibi dicam, quam ob causam me talia respondentem verberibus dignum putem? An tu me prius quam iudices verberabis, vel rationem admittes? *Hip.* Grave hoc esset, o Socrates, si non admitterem. sed qua ratione id ais? *So.* Dicam eodem modo, quo et paulo ante, inlatas illum, ne coram te verba, quibus ille mecum utitur, proferam, dura nimium et absurda. Nam sic me procul dubio alloquetur: Die age, o Socrates, iniuste caedi illum censes, qui dithyrambum tantum inconcinne pronuntians, tam procul a proposita quaestione abierit? At ego, Quonam pacto? interrogabo. Tum ille: Quia oblitus es, quaesitum fuisse ipsum pulchrum, quod omnia, quibuscunque inest, pulchra efficit, lapidem, lignum, hominem, Deum, actionem denique omnem et disciplinam. hoc ipsum, o vir, pulchrum quid est, perquiro. tu vero non magis audisti me, quam si lapis coram assedisses, et molaris quidem, nec aures

μήτ' ἐγκέφαλον ἔχων. Εἰ οὖν φοβηθεὶς εἴποιμι ἐγὼ ἐπὶ τούτοις τάδε, ἆρα οὐκ ἂν ἄχθοιο, ὦ Ἱππία; Ἀλλὰ μέντοι τόδε τὸ καλὸν εἶναι Ἱππίας ἔφη· καί τοι ἐγὼ αὐτὸν ἠρώτων οὕτως ὥς περ σὺ ἐμέ, ὃ πᾶσι καλὸν καὶ ἀεί ἐστι. Πῶς οὖν σὺ φῄς; οὐκ ἀχθέσει ἂν εἰπὼ ταῦτα;

III. Εὖ γ' οὖν οἶδα, ὦ Σώκρατες, ὅτι πᾶσι καλὸν τοῦτ' ἐστὶν ὃ ἐγὼ εἶπον, καὶ δόξει.

ΣΩ. Ἦ καὶ ἔσται; φήσει· ἀεὶ γάρ που καλὸν τό γε καλόν.

III. Πάνυ γε.

ΣΩ. Οὐκοῦν καὶ ἦν; φήσει.

III. Καὶ ἦν.

ΣΩ. Ἦ καὶ τῷ Ἀχιλλεῖ, φήσει, ὁ ξένος ὁ Ἠλεῖος ἔφη καλὸν εἶναι ὑστέρῳ τῶν προγόνων ταφῆναι, καὶ τῷ πάππῳ αὐτοῦ Αἰακῷ, καὶ τοῖς ἄλλοις ὅσοι ἐκ θεῶν γεγόνασι, καὶ αὐτοῖς τοῖς θεοῖς;

III. Τί τοῦτο; βάλλ' ἐς μακαρίαν! τοῦ ἀνθρώπου οὐδ' εὔφημα, ὦ Σώκρατες, ταῦτά γε τὰ ἐρωτήματα.

ΣΩ. Τί δαί; τὸ ἐρομένου ἑτέρου φάναι ταῦθ' οὕτως ἔχειν οὐ πάνυ δύσφημον;

III. Ἴσως.

ΣΩ. Ἴσως τοίνυν σὺ εἶ οὗτος, φήσει, ὃς πάντα φῂς καὶ ἀεὶ καλὸν εἶναι ὑπὸ μὲν τῶν ἐγγόνων ταφῆ-

neque cerebrum habens. Quod si ego perterritus ad haec ita respondeam, num graviter feres, Hippia? *Hip.* Quonam modo *So.* Sic, inquam. Hoc tamen Hippias pulchrum esse dixit quamvis ego illum, ut tu me nunc, interrogassem, quod omnibus pulchrum semperque exsistit. Quid ais? an moleste fers si haec dixero? *Hip.* Certo scio, o Socrates, quod dixi, omnibus esse pulchrum, et ita videbitur. *So.* An et erit? dicet id semper enim pulchrum? *Hip.* Omnino. *So.* Nonne et eum interrogabit. *Hip.* Et erat. *So.* Ad haec ille: Et nunquid Elisis hospes inquit Achilli pulchrum esse, post genitores suos turae concedere? et avo illius Aeaco, aliisque, quicunque Diis nati sunt, et ipsis denique Diis? *Hip.* Quid hoc? Mriae, Herculis filiae, ad expiandum scelus sacra facito. pnae enim sunt, o Socrates, huiusmodi quaestiones. *So.* vero? percontante alio haec asserere non valde profanum? Forsitan. *So.* Forte igitur tu is es, ille dicet, qui cuili semper pulchrum esse dicis, a filiis funere honorari, pa

ναι, τοὺς δὲ γονέας θάψαι. ἢ οὐχ εἷς τῶν ἁπάντων καὶ Ἡρακλῆς ἦν καὶ οὓς νῦν δὴ ἐλέγομεν πάντες;

III. Ἀλλ' οὐ τοῖς θεοῖς ἔγωγε ἔλεγον.

ΣΩ. Οὐδὲ τοῖς ἥρωσιν, ὡς ἔοικας.

III. Οὐχ ὅσοι γε θεῶν παῖδες ἦσαν.

ΣΩ. Ἀλλ' ὅσοι μή;

III. Πάνυ γε.

ΣΩ. Οὐκοῦν κατὰ τὸν σὸν αὖ λόγον, ὡς φαίνεται, τῶν ἡρώων τῷ μὲν Ταντάλῳ καὶ τῷ Δαρδάνῳ καὶ τῷ Ζήθῳ δεινόν τε καὶ ἀνόσιον καὶ αἰσχρόν ἐστι, Πέλοπι δὲ καὶ τοῖς ἄλλοις τοῖς οὕτω γεγονόσι καλόν.

III. Ἔμοιγε δοκεῖ.

ΣΩ. Σοὶ τοίνυν δοκεῖ, φήσει, ὦ ἄρτι οὐκ ἔφησθα, τὸ θάψαντι τοὺς προγόνους ταφῆναι ὑπὸ τῶν ἐκγόνων ἐνίοτε καὶ ἐνίοις αἰσχρὸν εἶναι· ἔτι δὲ μᾶλλον, ὡς ἔοικεν, ἀδύνατον πᾶσι τοῦτο γενέσθαι καὶ εἶναι καλόν, ὥς τε τοῦτό γε, ὡς περ καὶ τὰ ἔμπροσθεν ἐκεῖνα, ἥ τε παρθένος καὶ ἡ γύτρα, ταὐτὸν πέπονθε, καὶ ἔτι γελοιοτέρως τοῖς μέν ἐστι καλόν, τοῖς δ' οὐ καλόν. καὶ οὐδέπω καὶ τήμερον, φήσει, οἷός τ' εἶ, ὦ Σώκρατες, περὶ τοῦ καλοῦ ὅ τι ἔστι, τὸ ἐρωτώμενον ἀποκρίνασθαι. Ταῦτά μοι καὶ τοιαῦτα ὀνειδιεῖ δικαίως, ἐὰν αὐτῷ οὕτως ἀποκρίνωμαι.

bus parentare. An non ex omnibus unus Hercules erat, aliique, quos antea memoravimus? *Hip.* At vero non Diis dicebam. *So.* Nec heroibus etiam, ut videris. *Hip.* Non certe, quicunque Deorum filii fuerunt. *So.* Illis vero, qui non Deorum? *Hip.* His ipsis. *So.* Ergo secundum sermonem tuum ex heroum numero Tantalo quidem et Dardano atque Zetho grave, profanum et turpe est: Pelopi vero aliisque similiter genitis pulchrum. *Hip.* Ita mihi videtur. *So.* Ad haec ille: Tibi ergo videtur, quod in superioribus non dicebas, sepelire parentes, a filiis sepeliri, quandoque et quibusdam turpe contingere; immo impossibile esse, hoc omnibus esse pulchrum. Quamobrem similiter hoc atque superiora illa, scilicet virgo et olla, afficitur: atque etiam ridicule magis, aliis pulchrum est, aliis minime. Quocirca sic me ille corripiet: Nondum hodie potes, o Socrates, quid ipsum, de quo quaeritur, pulchrum sit, exprimere? Et merito me ita iurgabit, dum sibi talia respondebo.

Τὰ μὲν οὖν πολλά, ὦ Ἱππία, σχεδόν τί μοι οὕτω διαλέγεται· ἐνίοτε δ' ὥς περ ἐλεήσας μου τὴν ἀπειρίαν καὶ ἀπαιδευσίαν αὐτός μοι προβάλλει ἐρωτῶν εἰ τοιόνδε μοι δοκεῖ εἶναι τὸ καλόν, ἢ καὶ περὶ ἄλλου ὁτου ἂν τύχῃ πυνθανόμενος καὶ περὶ οὗ ἂν λόγος ᾖ.

III. Πῶς τοῦτο λέγεις, ὦ Σώκρατες;

ΣΩ. Ἐγώ σοι φράσω. Ὦ δαιμόνιε, φησί, Σώκρατες, τὰ μὲν τοιαῦτα ἀποκρινόμενος καὶ οὕτω παῦσαι· λίαν γὰρ εὐήθη τε καὶ εὐεξέλεγκτά ἐστιν· ἀλλὰ τὸ τοιόνδε σκόπει, εἴ σοι δοκεῖ καλὸν εἶναι οὗ καὶ νῦν δὴ ἐπελαβόμεθα ἐν τῇ ἀποκρίσει, ἡνίκ' ἔφαμεν τὸν χρυσόν, οἷς μὲν πρέπει, καλὸν εἶναι, οἷς δὲ μή, οὔ, καὶ τἆλλα πάντα οἷς ἂν τοῦτο προσῇ. αὐτὸ δὴ τοῦτο τὸ πρέπον καὶ τὴν φύσιν αὐτοῦ τοῦ πρέποντος σκόπει, εἰ τοῦτο τυγχάνει ὂν τὸ καλόν. Ἐγὼ μὲν οὖν εἴωθα συμφάναι τὰ τοιαῦθ' ἑκάστοτε· οὐ γὰρ ἔχω ὅ τι λέγω· σοὶ δ' οὖν δοκεῖ τὸ πρέπον καλὸν εἶναι;

III. Πάντως δή που, ὦ Σώκρατες.

ΣΩ. Σκοπώμεθα μή πῃ ἆρ' ἐξαπατώμεθα.

III. Ἀλλὰ χρὴ σκοπεῖν.

294 ΣΩ. Ὅρα τοίνυν. τὸ πρέπον ἆρα τοῦτο λέγομεν ὃ παραγενόμενον ποιεῖ ἕκαστα φαίνεσθαι καλὰ τούτων οἷς ἂν παρῇ, ἢ ὃ εἶναι ποιεῖ, ἢ ἀμφότερα τούτων;

Talis est ut plurimum disputatio nostra. Quandoque vero, tanquam imperitiam meam et inscitiam miseratus, ipse mihi occurrit, interrogans, utrum tale quiddam pulchrum ipsum esse mihi videatur, vel de quovis alio disputetur. *Hip.* Quomodo id ais, o Socrates? *So.* Dicam. O beate Socrates, inquit, ita respondere talia desine. inepta quippe sunt, et facile refelluntur. Sed adverte, num tale quiddam ipsum pulchrum appareat, quod nos supra tetigimus, cum aurum diceremus, quibus decens est, esse pulchrum; contra, quibus minime: atque alia omnia, quibus ipsum decens eiusque natura competit, pulchra fieri. Vide igitur, num hoc ipsum pulchrum sit. Ego autem ista passim concedere consuevi. nam quid obiiciam, non invenio. Tibi vero decorum, ipsum pulchrum esse videtur? *Hip.* Omnino, o Socrates. *So.* Caveamus, ne in aliquo decipiamur. *Hip.* Cavendum certe. *So.* Vide itaque. decorum id vocamus, quod adveniens videri pulchra singula facit, quibus adest, vel quod esse efficit, vel ex iis neutrum?

ΙΠ. Ἔμοιγε δοκεῖ.

ΣΩ. Πότερα ὃ ποιεῖ φαίνεσθαι καλά, ὡς πέρ γε ἐπειδὰν ἱμάτιά τις λάβῃ ἢ ὑποδήματα ἁρμόττοντα, κἂν ᾖ γελοῖος, καλλίων φαίνεται; οὐκοῦν εἴ περ καλλίω ποιεῖ φαίνεσθαι ἢ ἔστι τὸ πρέπον, ἀπάτη τις ἂν εἴη περὶ τὸ καλὸν τὸ πρέπον, καὶ οὐκ ἄν εἴη τοῦτο ὃ ἡμεῖς ζητοῦμεν, ὦ Ἱππία; ἡμεῖς γάρ που ἐκεῖνο ζητοῦμεν ᾧ πάντα τὰ καλὰ πράγματα καλά ἐστιν, ὡς περ ᾧ πάντα τὰ μεγάλα ἐστὶ μεγάλα, τῷ ὑπερέχοντι. τούτῳ γὰρ πάντα μεγάλα ἐστί, καὶ ἂν μὴ φαίνηται, ὑπερέχῃ δέ, ἀνάγκη αὐτοῖς μεγάλοις εἶναι. οὕτω δή, φαμέν, καὶ τὸ καλόν, ᾧ καλὰ πάντα ἐστίν, ἄν τ' οὖν φαίνηται ἄν τε μή, τί ἂν εἴη; τὸ μὲν γὰρ πρέπον οὐκ ἂν εἴη· καλλίω γὰρ ποιεῖ φαίνεσθαι ἢ ἔστιν, ὡς ὁ σὸς λόγος, οἷα δ' ἔστιν, οὐκ ἐᾷ φαίνεσθαι. τὸ δὲ ποιοῦν εἶναι καλά, ἅ περ νῦν δὴ εἴπον, ἐάν τε φαίνηται ἐάν τε μή, πειρατέον λέγειν τί ἐστι· τοῦτο γὰρ ζητοῦμεν, εἴ περ τὸ καλὸν ζητοῦμεν.

ΙΠ. Ἀλλὰ τὸ πρέπον, ὦ Σώκρατες, καὶ εἶναι καὶ φαίνεσθαι ποιεῖ καλὰ παρόν.

ΣΩ. Ἀδύνατον ἄρα τῷ ὄντι καλὰ ὄντα μὴ φαίνεσθαι καλὰ εἶναι, παρόντος γε τοῦ ποιοῦντος φαίνεσθαι;

Hip. Mihi quidem videtur. *So.* Utrum quod apparere pulchra facit, perinde ac si quis deformis, amictu calceisque decoris ornatus, pulchrior appareat? Nonne si decorum ea, quibus inest, pulchriora quam sint videri faciat, quatenus decorum est, deceptio quaedam circa pulchrum decorum esset; neque esset hoc, quod quaerimus, Hippia? Illud quippe quaesivimus, quo res omnes pulchrae pulchrae sunt: quemadmodum omnia magna excessu magna sunt. haec enim omnia magna sunt: atque etiamsi non videantur, excedant tamen, magna esse necesse est. Sic et pulchrum quaesivimus, quo pulchra sunt omnia, sive appareant sive non, quid esset? decorum quidem non est: pulchriora enim, quam sint, videri facit, in quantum decorum est, ut ipse aiebas: qualia vero sunt, videri non sinit. Quod autem pulchra esse facit, quemadmodum paulo ante dicebam, sive appareant sive non, quid est dicendum. hoc nempe quaeritur, si modo pulchrum quaeritur. *Hip.* Atqui decorum, o Socrates, et esse et apparere pulchra, cum adest, efficit. *So.* Igitur impossibile est, quae revera pulchra sunt, non videri pulchra, dum adest, quod videri facit.

ΙΠ. Ἀδύνατον.

ΣΩ. Ὁμολογήσωμεν οὖν τοῦτ', ὦ Ἱππία, πάντα τὰ τῷ ὄντι καλὰ καὶ νόμιμα καὶ ἐπιτηδεύματα καὶ δοξάζεσθαι καλὰ εἶναι καὶ φαίνεσθαι ἀεὶ πᾶσιν, ἢ πᾶν τοὐναντίον ἀγνοεῖσθαι καὶ πάντων μάλιστα ἔριν καὶ μάχην περὶ αὐτῶν εἶναι καὶ ἰδίᾳ ἑκάστοις καὶ δημοσίᾳ ταῖς πόλεσιν;

ΙΠ. Οὕτω μᾶλλον, ὦ Σώκρατες· ἀγνοεῖσθαι.

ΣΩ. Οὐκ ἄν, εἰ γέ που τὸ φαίνεσθαι αὐτοῖς προσῆν· προσῆν δ' ἄν, εἰ περ τὸ πρέπον καλὸν ἦν καὶ μὴ μόνον καλὰ ἐποίει εἶναι ἀλλὰ καὶ φαίνεσθαι. ὥστε τὸ πρέπον, εἰ μὲν τὸ καλὰ ποιοῦν ἐστὶν εἶναι, τὸ [μὲν] καλὸν ἂν εἴη ὃ ἡμεῖς ζητοῦμεν, οὐ μέντοι τό γε ποιοῦν φαίνεσθαι· εἰ δ' αὖ τὸ φαίνεσθαι ποιοῦν ἐστὶ τὸ πρέπον, οὐκ ἂν εἴη τὸ καλὸν ὃ ἡμεῖς ζητοῦμεν. εἶναι γὰρ ἐκεῖνό γε ποιεῖ, φαίνεσθαι δὲ καὶ ποιεῖν εἶναι οὐ μόνον καλὰ οὐκ ἄν ποτε δύναιτο τὸ αὐτό, ἀλλ' οὐδὲ ἄλλο ὁτιοῦν. ἑλώμεθα δὴ πότερα δοκεῖ τὸ πρέπον εἶναι τὸ φαίνεσθαι καλὰ ποιοῦν ἢ τὸ εἶναι.

ΙΠ. Τὸ φαίνεσθαι, ἔμοιγε δοκεῖ, ὦ Σώκρατες.

ΣΩ. Βαβαί, οἴχεται ἀῤ' ἡμᾶς διαπεφευγός, ὦ Ἱππία, τὸ καλὸν γνῶναι ὅ τί ποτ' ἔστιν, ἐπειδή γε τὸ πρέπον ἄλλο τι ἐφάνη ὂν ἢ καλόν.

Hip. Impossibile. *So.* Confitebimur hoc, o Hippia, omnia revera pulchra instituta et studia existimari etiam pulchra ab hominibus? vel contra, ignorari, adeo ut de his homines privatim et publice acerrime pugnent? *Hip.* Ignorari potius, o Socrates, arbitror. *So.* Non tamen ignorarentur, si, ut pulchra sunt, ita pulchra etiam apparerent: apparerent autem, si decorum pulchrum esset, neque esse solum, sed videri etiam pulchra cogeret. Quamobrem, si decorum est, quod pulchra facit esse, est utique, quod quaerimus, pulchrum, non tamen id, quod videri cogit: sin autem videri duntaxat decorum efficit, nequaquam pulchrum ipsum est, quod petimus. esse namque illud compellit. Apparere autem simul et esse, neque pulchra neque aliud quicquam efficere idem potest. Eligamus iam, utrum decorum esse putemus, quod videri pulchra, vel quod esse facit. *Hip.* Quod videri, o Socrates, arbitror. *So.* Papae, quam longe nos Hippia, ipsius pulchri cognitio fugit, postquam decorum aliud quiddam praeter ipsum pulchrum esse apparuit.

III. Ναὶ μὰ Δία, ὦ Σώκρατες, καὶ μάλα ἔμοιγε 295
ἀτόπως.

ΣΩ. Ἀλλὰ μέντοι, ὦ ἑταῖρε, μή πώ γε ἀνῶμεν αὐτό· ἔτι γάρ τινα ἐλπίδα ἔχω ἐκφανήσεσθαί τί ποτ' ἔστι τὸ καλόν.

III. Πάντως δή που, ὦ Σώκρατες· οὐδὲ γὰρ χαλεπόν ἐστιν εὑρεῖν. ἐγὼ μὲν οὖν ἐῦ οἶδ' ὅτι, εἰ ὀλίγον χρόνον εἰς ἐρημίαν ἐλθὼν σκεψαίμην πρὸς ἐμαυτόν, ἀκριβέστερον αὐτό σοι εἴποιμι τῆς ἁπάσης ἀκριβείας.

ΣΩ. Ἆ μὴ μέγα, ὦ Ἱππία, λέγε. ὁρᾷς ὅσα πράγματα ἡμῖν ἤδη παρέσχηκε· μὴ καὶ ὀργισθὲν ἡμῖν ἔτι μᾶλλον ἀποδρᾷ. καί τοι οὐδὲν λέγω· σὺ μὲν γάρ, οἶμαι, ῥᾳδίως αὐτὸ εὑρήσεις, ἐπειδὰν μόνος γένῃ. ἀλλὰ πρὸς θεῶν ἐμοῦ ἐναντίον αὐτὸ ἔξευρε, εἰ δὲ βούλει, ὡς περ νῦν ἐμοὶ συζήτει. καὶ ἐὰν μὲν εὕρωμεν, κάλλιστα ἕξει· εἰ δὲ μή, στέρξω, οἶμαι, ἐγὼ τῇ ἐμῇ τύχῃ, σὺ δ' ἀπελθὼν ῥᾳδίως εὑρήσεις. καὶ ἐὰν νῦν εὕρωμεν, ἀμέλει, οὐκ ὀχληρὸς ἔσομαί σοι πυνθανόμενος ὅ τι ἦν ἐκεῖνο ὃ κατὰ σαυτὸν ἐξεῦρες. νῦν δὲ θέασαι αὐτό, εἴ σοι δοκεῖ εἶναι τὸ καλόν. λέγω δὴ αὐτὸ εἶναι — ἀλλὰ γὰρ ἐπισκόπει μοι πάνυ προσέχων τὸν νοῦν, μὴ παραληρήσω. τοῦτο γὰρ δὴ ἔστω ἡμῖν καλόν, ὃ ἂν χρή-

Hip. Per Iovem, o Socrates, mihi quidem absurde nimium. *So.* Ceterum, o amice, nondum dimittamus. neque enim omnem abieci spem, quid sit pulchrum inveniendi. *Hip.* Omnino spe randum, o Socrates. neque enim inventu difficile. mihi quippe conscius sum, quod si paulisper ad me ipsum in solitudine me reciperem, exactius tuis, quam exprimi possit, tibi id explicarem, ut nihil ultra requireres. *So.* Heu, ne alta id voce dicas, o Hippia, ne indignatum longius nos effugiat. non vides, quantum nos hactenus fatigaverit? verum nihil dico. tu enim, cum solus eris, facile, ut puto, invenies. Sed age, per Deos, me praesente invenias: et, si vis, ut hactenus, ita deinceps una mecum perquire. si inveniemus, bene erit. sin minus, ego quidem mea sorte contentus ero: tu vero, postquam abieris, facile invenies. si tamen nunc inveniamus, haud amplius tibi molestus ero, quid tecum ipse excogitaveris, flagitans. In praesentia vero considera, num tibi id pulchrum esse videatur. attende, obsecro, diligenter, ne delirem. Hoc utique pulchrum esto, quod

σιμον ᾖ, εἶπον δὲ ἐκ τῶνδε ἐννοούμενος. καλοί, φαμέν, οἱ ὀφθαλμοὶ εἰσιν οὐχ οἳ ἂν δοκῶσι τοιοῦτοι εἶναι οἷοι μὴ δυνατοὶ ὁρᾶν, ἀλλ' οἳ ἂν δυνατοί τε καὶ χρήσιμοι πρὸς τὸ ἰδεῖν, ἦ γάρ;

Hip. Ναί.

So. Οὐκοῦν καὶ τὸ ὅλον σῶμα οὕτω λέγομεν καλὸν εἶναι, τὸ μὲν πρὸς δρόμον, τὸ δὲ πρὸς πάλην, καὶ αὖ τὰ ζῶα πάντα, ἵππον καλὸν καὶ ἀλεκτρυόνα καὶ ὄρτυγα, καὶ τὰ σκεύη πάντα καὶ τὰ ὀχήματα τά τε πεζὰ καὶ τὰ ἐν τῇ θαλάττῃ πλοῖά τε καὶ τριήρεις, καὶ τά γε ὀργανα πάντα τά τε ὑπὸ τῇ μουσικῇ καὶ τὰ ὑπὸ ταῖς ἄλλαις τέχναις, εἰ δὲ βούλει, τὰ ἐπιτηδεύματα καὶ τοὺς νόμους, σχεδόν τι πάντα ταῦτα καλὰ προσαγορεύομεν τῷ αὐτῷ τρόπῳ· ἀποβλέποντες πρὸς ἕκαστον αὐτῶν ᾗ πέφυκεν, ᾗ εἴργασται, ᾗ κεῖται, τὸ μὲν χρήσιμόν καὶ ᾗ χρήσιμον καὶ πρὸς ὃ χρήσιμον καὶ ὁπότε χρήσιμον καλόν φαμεν εἶναι, τὸ δὲ ταύτῃ πάντῃ ἄχρηστον αἰσχρόν. ἆρ' οὖν οὐ καὶ σοὶ δοκεῖ οὕτως, ὦ Ἱππία;

Hip. Ἔμοιγε.

So. Ὀρθῶς ἄρα νῦν λέγομεν ὅτι τυγχάνει παντὸς ὂν μᾶλλον καλὸν τὸ χρήσιμον;

Hip. Ὀρθῶς μέντοι, ὦ Σώκρατες.

utile est, cuius quidem rei hinc maxime coniecturam facio: pulchri oculi sunt, non qui impotes videndi, sed qui potentes et utiles ad videndum. *Hip.* Certe. *So.* Et universum corpus ita pulchrum dicimus, aliud ad cursum, aliud ad luctam. itemque animalia omnia, ut pulchrum equum gallumque et coturnicem; et apparatus omnes, atque vehicula, tum terrestria tum maritima, naves atque triremes: instrumenta quoque omnia tam ad musicam quam ad artes alias pertinentia; item, si vis, studia atque leges: singula haec eadem ferme ratione pulchra vocamus, respicientes scilicet, qua conditione unumquodque natum vel fabricatum vel locatum est, quodve utile est, et qua ratione utile, et ad quid utile, et quando utile, pulchrum esse dicentes: quod vero secundum haec inutile, turpe. An non idem tibi quoque videtur, o Hippia? *Hip.* Mihi vero. *So.* Probe igitur nunc dicimus, prae ceteris omnibus quod utile est ipsum, pulchrum esse. *Hip.* Probe admodum, o Socrates.

ΣΩ. Οὐκοῦν τὸ δυνατὸν ἕκαστον ἀπεργάζεσθαι, εἰς ὅ περ δυνατόν, εἰς τοῦτο καὶ χρήσιμον, τὸ δὲ ἀδύνατον ἄχρηστον;

ΙΠ. Πάνυ γε.

ΣΩ. Δύναμις μὲν ἄρα καλόν, ἀδυναμία δὲ αἰσχρόν;

ΙΠ. Σφόδρα γε. τά τε οὖν ἄλλα, ὦ Σώκρατες, μαρτυρεῖ ἡμῖν ὅτι τοῦτο οὕτως ἔχει, ἀτὰρ οὖν καὶ τὰ 296
πολιτικά. ἐν γὰρ τοῖς πολιτικοῖς τε καὶ τῇ αὐτοῦ πό-
λει τὸ μὲν δυνατὸν εἶναι πάντων κάλλιστον, τὸ δὲ ἀδύνατον πάντων αἴσχιστον.

ΣΩ. Εὖ λέγεις. ἆρ' οὖν πρὸς θεῶν, ὦ Ἱππία, διὰ ταῦτα καὶ ἡ σοφία πάντων κάλλιστον, ἡ δὲ ἀμαθία πάντων αἴσχιστον;

ΙΠ. Ἀλλὰ τί οἴει, ὦ Σώκρατες;

ΣΩ. Ἔχε δὴ ῥῆμα, ὦ φίλε ἑταῖρε, ὡς φοβοῦμαι τί ποτ' αὖ λέγομεν.

ΙΠ. Τί δ' αὖ φοβεῖ, ὦ Σώκρατες, ἐπεὶ νῦν γέ σοι ὁ λόγος παγκάλως προβέβηκεν;

ΣΩ. Βουλοίμην ἄν, ἀλλά μοι τόδε συνεπίσκεψαι. ἆρ' ἄν τίς τι ποιήσειεν ὃ μήτ' ἐπίσταιτο μήτε τὸ παράπαν δύναιτο;

ΙΠ. Οὐδαμῶς· πῶς γὰρ ἂν ὅ γε μὴ δύναιτο;

ΣΩ. Οἱ οὖν ἐξαμαρτάνοντες καὶ κακὰ ἐργαζόμενοι

So. Nonne, quod efficere aliquid potest, ad id utile est, ad quod et potens? impotens contra inutile? *Hip.* Prorsus. *So.* Potentia ergo pulchrum, impotentia turpe. *Hip.* Maxime. nam et alia nobis omnia sic esse testantur, et civilia praecipue: quoniam in civitate sua atque re publica potentem esse omnium est pulcherrimum; impotentem vero turpissimum. *So.* Praeclare loqueris. sed nunquid ob hanc ipsam rationem sapientia pulcherrimum omnium, insipientia contra turpissimum? *Hip.* Tu vero quid putas? *So.* Siste parumper, o dulcis amice. nam de eo, quod dicimus, auspicor atque timeo. *Hip.* Quid metuis, Socrates? nonne scite dicta haec sunt? *So.* Velim equidem: sed mecum hoc animadverte, utrum quis unquam, quod neque scit neque potest, efficiat. *Hip.* Nequaquam. quo enim pacto, quod nequit, ageret? *So.* Qui delinquunt et mala agunt efficiuntque

τε καὶ ποιοῦντες ἄκοντες, ἄλλο τι οὗτοι, εἰ μὴ ἐδύναντο ταῦτα ποιεῖν, οὐκ ἂν ποτε ἐποίουν;

ΙΠ. Δῆλον δή.

ΣΩ. Ἀλλὰ μέντοι δυνάμει γε δύνανται οἱ δυνάμενοι· οὐ γάρ που ἀδυναμία γε.

ΙΠ. Οὐ δῆτα.

ΣΩ. Δύνανται δέ γε πάντες ποιεῖν οἱ ποιοῦντες ἃ ποιοῦσιν;

ΙΠ. Ναί.

ΣΩ. Καὶ δέ γε πολὺ πλείω ποιοῦσιν ἢ ἀγαθὰ πάντες ἄνθρωποι, ἀρξάμενοι ἐκ παίδων, καὶ ἐξαμαρτάνουσιν ἄκοντες.

ΙΠ. Ἔστι ταῦτα.

ΣΩ. Τί οὖν; ταύτην τὴν δύναμιν καὶ ταῦτα τὰ χρήσιμα, ἃ ἄν ἡ ἐπὶ τὸ κακόν τι ἐργάζεσθαι χρήσιμα, ἆρα φήσομεν ταῦτα εἶναι καλά, ἢ πολλοῦ δεῖ;

ΙΠ. Πολλοῦ, ἔμοιγε δοκεῖ, ὦ Σώκρατες.

ΣΩ. Οὐκ ἄρα, ὦ Ἱππία, τὸ δυνατόν τε καὶ τὸ χρήσιμον ἡμῖν, ὡς ἔοικεν, ἐστὶ τὸ καλόν.

ΙΠ. Ἐάν γε, ὦ Σώκρατες, ἀγαθὰ δύνηται καὶ ἐπὶ τοιαῦτα χρήσιμον ᾖ.

ΣΩ. Ἐκεῖνο μὲν τοίνυν οἴχεται, τὸ δυνατόν τε καὶ χρήσιμον ἁπλῶς εἶναι καλόν. ἀλλ' ἆρα τοῦτ' ἦν ἐκεῖνο, ὦ Ἱππία, ὃ ἐβούλετο ἡμῶν ἡ ψυχὴ εἰπεῖν, ὅτι

ignari, si haec non potuissent, nunquid egissent? *Hip.* Minime. *So.* At vero potentia possunt, quicunque possunt. non enim impotentia. *Hip.* Non certe. *So.* Possunt autem omnes facere, quae faciunt? *Hip.* Procul dubio. *So.* Mala vero multo plura, quam bona, omnes homines statim ab ineunte aetate per omnem vitam agunt, neque sponte delinquunt. *Hip.* Vera loqueris. *So.* Quid porro? hanc potentiam, atque haec utilia quae ad malorum exsecutionem conducunt, num pulchra vocabimus? an longe aliter? *Hip.* Longe absunt a pulchro, Socrates. *So.* Non ergo potens nobis et utile, ut videtur ipsum pulchrum exsistit. *Hip.* Immo, si modo bona possit, eaque conferat. *So.* Illud igitur reprobatum est, quod potens et utile simpliciter pulchrum sit. sed nunquid hoc erat, Hippia, ad quod animus noster respiciebat? ipsum scil

τὸ χρήσιμόν τε καὶ τὸ δυνατὸν ἐπὶ τὸ ἀγαθόν τι ποιῆσαι, τοῦτ' ἐστὶ τὸ καλόν;

ΙΠ. Ἔμοιγε δοκεῖ.

ΣΩ. Ἀλλὰ μὴν τοῦτό γε ὠφέλιμόν ἐστιν, ἢ οὔ;

ΙΠ. Πάνυ γε.

ΣΩ. Οὕτω δὴ καὶ τὰ καλὰ σώματα καὶ τὰ καλὰ νόμιμα καὶ ἡ σοφία καὶ ἃ νῦν δὴ ἐλέγομεν πάντα καλά ἐστιν, ὅτι ὠφέλιμα.

ΙΠ. Δῆλον ὅτι.

ΣΩ. Τὸ ὠφέλιμον ἄρα ἔοικεν ἡμῖν εἶναι τὸ καλόν, ὦ Ἱππία.

ΙΠ. Πάντως δή που, ὦ Σώκρατες.

ΣΩ. Ἀλλὰ μὴν τό γε ὠφέλιμον τὸ ποιοῦν ἀγαθόν ἐστιν.

ΙΠ. Ἔστι γάρ.

ΣΩ. Τὸ ποιοῦν δέ γ' ἐστὶν οὐκ ἄλλο τι ἢ τὸ αἴτιον. ἦ γάρ;

ΙΠ. Οὕτως.

ΣΩ. Τοῦ ἀγαθοῦ ἄρ' αἴτιόν ἐστι τὸ καλόν.

ΙΠ. Ἔστι γάρ.

ΣΩ. Ἀλλὰ μὴν τό γε αἴτιον, ὦ Ἱππία, καὶ οὐ 297
ἂν αἴτιον ἦ τὸ αἴτιον, ἄλλο ἐστίν· οὐ γάρ που τό γε αἴτιον αἰτίου αἴτιον ἂν εἴη. ὧδε δὲ σκόπει· οὐ τὸ αἴτιον ποιοῦν ἐφάνη;

ΙΠ. Πάνυ γε.

potens et utile ad bonum conficiendum pulchrum esse. *Hip.* Mihi quidem videtur. *So.* Hoc conducibile est, an non? *Hip.* Valde. *So.* Sic utique pulchra corpora, pulchra instituta legum, et sapientia, et alia, quae paulo ante retulimus, omnia ex eo pulchra sunt, quo conducibilia sunt. *Hip.* Constat. *So.* Conducibile itaque ipsum nobis pulchrum esse videtur. *Hip.* Maxime omnium. *So.* Atqui conducibile est, quod bonum efficit. *Hip.* Id ipsum. *So.* Efficiens autem nihil aliud est quam causa. *Hip.* Nihil. *So.* Ergo boni causa pulchrum est. *Hip.* Est profecto. *So.* Aliud vero est causa, aliud id, cuius causa est. neque enim causa ipsius causae causa esse potest. quod hinc maxime coniectare licet: Nonne causam efficientem esse constitit? *Hip.* Plane.

ΣΩ. Οὐκοῦν ὑπὸ ταῦ ποιοῦντος ποιεῖται οὐκ ἄλλο τι ἢ τὸ γιγνόμενον, ἀλλ' οὐ τὸ ποιοῦν;

ΙΠ. Ἔστι ταῦτα.

ΣΩ. Οὐκοῦν ἄλλο τι τὰ γιγνόμενον, ἄλλο δὲ τὸ ποιοῦν;

ΙΠ. Ναί.

ΣΩ. Οὐκ ἄρα τά γ' αἴτιον αἴτιον αἰτίου ἐστίν, ἀλλὰ τοῦ γιγνομένου ὑφ' ἑαυτοῦ.

ΙΠ. Πάνυ γε.

ΣΩ. Εἰ ἄρα τὸ καλόν ἐστιν αἴτιον ἀγαθοῦ, γίγνοιτ' ἂν ὑπὸ τοῦ καλοῦ τὸ ἀγαθόν. καὶ διὰ ταῦθ', ὡς ἔοικε, σπουδάζομεν καὶ τὴν φρόνησιν καὶ τἆλλα πάντα τὰ καλά, ὅτι τὸ ἔργον αὐτῶν καὶ τὸ ἔκγονον σπουδαστόν ἐστι, τὸ ἀγαθόν, καὶ κινδυνεύει ἐξ ὧν εὑρίσκομεν πατρός τινος ἰδέα εἶναι τὸ καλὸν ταῦ ἀγαθοῦ.

ΙΠ. Πάνυ μὲν οὖν καλῶς γὰρ λέγεις, ὦ Σώκρατες.

ΣΩ. Οὐκοῦν καὶ τόδε καλῶς λέγω, ὅτι οὔθ' ὁ πατὴρ υἱός ἐστιν οὔθ' ὁ υἱὸς πατήρ;

ΙΠ. Καλῶς μέντοι.

ΣΩ. Οὐδέ γε τὸ αἴτιον γιγνόμενόν ἐστιν, οὐδὲ τὸ γιγνάμενον αὖ αἴτιον.

ΙΠ. Ἀληθῆ λέγεις.

ΣΩ. Μὰ Δί', ὦ ἄριστε, οὐδὲ ἄρα τὸ καλὸν ἀγαθόν ἐστιν, οὐδὲ τὸ ἀγαθὸν καλόν. ἢ δοκεῖ σοι οἷόν τ εἶναι ἐκ τῶν προειρημένων;

So. Ab efficiente vero effectum fit, non efficiens. *Hip.* Verum est. *So.* Aliud efficiens, aliud effectum. *Hip.* Aliud certe. Non ergo causa ipsius causa est, sed eius, quod ab ipsa effi tur. *Hip.* Sic est. *So.* Itaque, si pulchrum boni causa est, pulchro fit bonum: et ob hanc causam, ut videtur, prudent aliaque pulchra omnia exoptamus, quia opus, quod ex his gnitur, id est bonum, exoptandum est. unde per ea, quae in nimus, pulchrum ad bonum ideam patris cuiusdam haberi detur. *Hip.* Omnino quidem. praeclare enim loqueris. *So.* et hoc praeclare, quod neque pater filius est, neque filius cissim pater? *Hip.* Et hoc. *So.* Enimvero nec causa effi est, nec effectum causa. *Hip.* Vera loqueris. *So.* Per Iov vir optime, neque pulchrum bonum est, neque bonum chrum, an tibi ex his, quae dicta sunt, fieri posse vi

ΙΠ. Οὐ μὰ τὸν Δί', οὔ μοι φαίνεται.

ΣΩ. Ἀρέσκει οὖν ἡμῖν καὶ ἐθέλοιμεν ἂν λέγειν ὡς τὸ καλὸν οὐκ ἀγαθὸν οὐδὲ τὸ ἀγαθὸν καλόν;

ΙΠ. Οὐ μὰ τὸν Δί', οὐ πάνυ μοι ἀρέσκει.

ΣΩ. Ναὶ μὰ τὸν Δί', ὦ Ἱππία· ἐμοὶ δέ γε πάντων ἥκιστ' ἀρέσκει ὧν εἰρήκαμεν λόγων.

ΙΠ. Ἔοικε γὰρ οὕτως.

ΣΩ. Κινδυνεύει ἄρ' ἡμῖν, οὐχ ὡς πρὸ ὀλίγου ἐφαίνετο κάλλιστος εἶναι τῶν λόγων τὸ ὠφέλιμον καὶ τὸ χρήσιμόν τε καὶ τὸ δυνατὸν ἀγαθόν τι ποιεῖν καλὸν εἶναι, οὐχ οὕτως ἔχειν, ἀλλ', εἰ οἷόν τ' ἐστίν, ἐκείνων εἶναι γελοιότερος τῶν πρώτων, ἐν οἷς τήν τε παρθένον ὠόμεθ' εἶναι τὸ καλὸν καὶ ἕν ἕκαστον τῶν ἔμπροσθεν λεχθέντων.

ΙΠ. Ἔοικεν.

ΣΩ. Καὶ ἐγὼ μὲν γε οὐκ ἔτι ἔχω, ὦ Ἱππία, ὅποι τραπωμαι, ἀλλ' ἀπορῶ· σὺ δὲ ἔχεις τι λέγειν;

ΙΠ. Οὐκ ἔν γε τῷ παρόντι, ἀλλ' ὥς περ ἄρτι ἔλεγον, σκεψάμενος εὖ οἶδ' ὅτι εὑρήσω.

ΣΩ. Ἀλλ' ἐγώ μοι δοκῶ ὑπὸ ἐπιθυμίας τοῦ εἰδέναι οὐχ οἷός τε σὲ εἶναι περιμένειν μέλλοντα. καὶ γὰρ οὖν δή τι καὶ οἶμαι ἄρτι εὐπορηκέναι. ὥρα γάρ, εἰ ὦ

Hip. Non mihi, non per Iovem. *So.* Placet nobis istud, et asserere volumus, quod neque pulchrum bonum neque bonum pulchrum? *Hip.* Non, per Iovem, non mihi placet. *So.* Per Iovem, mihi quoque, o Hippia, nihil minus ex his, quae dicta sunt, placet. *Hip.* Ita sane videtur. *So.* Haud amplius igitur sermo ille, ut supra, egregius esse videtur, quo id pulchrum asserebatur, quod conducibile utileque et potens ad bonum aliquod efficiendum. immo, si possibile est, absurdior iudicandus quam superiores illi, quibus virginem et singula, quae supra narravimus, pulchrum ipsum nuncupabamus. *Hip.* Apparet. *So.* Equidem, o Hippia, quo me vertam nescio: haesito enim et ambigo. tu vero num forte quid habes? *Hip.* In praesentia minime: sed, ut alias dixi, si mecum animadvertero, inventurum me aliquid certo scio. *So.* At videor mihi ob intelligendi ardentem aviditatem moram tuam nequaquam toleraturus. Sed ecce, nunc aliud quiddam mihi in mentem venit. Attende, obsecro,

ἂν χαίρειν ἡμᾶς ποιῇ, μή τι πάσας τὰς ἡδονάς, ἀλλ' ὅ
ἂν διὰ τῆς ἀκοῆς καὶ τῆς ὄψεως, τοῦτο φαῖμεν εἶναι
καλόν, πῶς τί ἄρ' ἂν ἀγωνιζοίμεθα; οἵ τέ γέ που κα-
298 λοὶ ἄνθρωποι, ὦ Ἱππία, καὶ τὰ ποικίλματα πάντα
καὶ τὰ ζωγραφήματα καὶ τὰ πλάσματα τέρπει ἡμᾶς
ὁρῶντας, ἃ ἂν καλὰ ᾖ· καὶ οἱ φθόγγοι οἱ καλοὶ καὶ ἡ
μουσικὴ ξύμπασα καὶ οἱ λόγοι καὶ αἱ μυθολογίαι ταὐ-
τὸν τοῦτο ἐργάζονται, ὥστ' εἰ ἀποκριναίμεθα τῷ θρα-
σεῖ ἐκείνῳ ἀνθρώπῳ ὅτι Ὦ γενναῖε, τὸ καλόν ἐστι τὸ
δι' ἀκοῆς τε καὶ ὄψεως ἡδύ, οὐκ ἂν οἴει αὐτὸν τοῦ 10
θράσους ἐπίσχοιμεν;

ΙΠ. Ἐμοὶ γοῦν δοκεῖ νῦν, ὦ Σώκρατες, εὖ λέγε-
σθαι τὸ καλὸν ὅ ἔστιν.

ΣΩ. Τί δ' ἄρα; τὰ ἐπιτηδεύματα τὰ καλὰ καὶ
τοὺς νόμους, ὦ Ἱππία, δι' ἀκοῆς ἢ δι' ὄψεως φήσομεν
ἡδέα ὄντα καλὰ εἶναι, ἢ ἄλλο τι εἶδος ἔχειν;

ΙΠ. Ταῦτα δ' ἴσως, ὦ Σώκρατες, κἂν παραλάθοι
τὸν ἄνθρωπον.

ΣΩ. Μὰ τὸν κύνα, ὦ Ἱππία, οὐχ ὅν γ' ἂν ἐγὼ
μάλιστ' αἰσχυνοίμην ληρῶν καὶ προσποιούμενός τι λέ- 20
γειν μηδὲν λέγων.

ΙΠ. Τίνα τοῦτον;

utrum quod nos delectat, (non de qualibet voluptate loquor, sed de illa, quae per visum atque auditum) utrum, inquam, tale quiddam pulchrum sit vocandum. nam quo pacto repugnare possumus, cum pulchri homines variique apparatus, picturae et figmenta pulchra, intuentes nos delectent? cantus quoque pulchri et voces universaque musica, sermones et confabulationes similiter nos afficiant? Quapropter si audaci illi pertinacique homini responderemus, pulchrum esse, quod per visum auditumque delectat, nonne audaciam eius reprimeremus? quid putas? *Hip.* Nunc mihi, o Socrates, quid ipsum pulchrum sit, scite dictum videtur. *So.* Quid vero? studia pulchra ac leges propterea pulchra dicemus, quod per visum auditumque iucunda sint, an alia quadam specie contineri? *Hip.* Haec ita forte, o Socrates, etsi hominem latent. *So.* Per Canem, o Hippia, non illum, quem ego maxime omnium vererer, quotiens delirarem aut aliquid dicere profiterer, cum nihil dicerem. *Hip.* Quem dicis?

ΣΩ. Σωκράτη τὸν Σωφρονίσκου, ὃς ἐμοὶ οὐδὲν ἂν μᾶλλον ταῦτα ἐπιτρέποι ἀνερεύνητα ὄντα ῥᾳδίως λέγειν ἢ ὡς εἰδότα ἃ μὴ οἶδα.

ΙΠ. Ἀλλὰ μήν ἔμοιγε καὶ αὐτῷ, ἐπειδὴ σὺ εἶπες, δοκεῖ τι ἄλλο εἶναι τοῦτο τὸ περὶ τοὺς νόμους.

ΣΩ. Ἔχ' ἡσυχῇ, ὦ Ἱππία· κινδυνεύομεν γάρ τοι, ἐν τῇ αὐτῇ ἐμπεπτωκότες ἀπορίᾳ περὶ τοῦ καλοῦ ἐν ᾗ περ νῦν δή, οἴεσθαι ἐν ἄλλῃ τινὶ εὐπορίᾳ εἶναι.

ΙΠ. Πῶς τοῦτο λέγεις, ὦ Σώκρατες;

ΣΩ. Ἐγώ σοι φράσω ὅ γέ μοι καταφαίνεται, εἴ ἄρα τι λέγω. ταῦτα μὲν γὰρ τὰ περὶ τοὺς νόμους τε καὶ τὰ ἐπιτηδεύματα τάχ' ἂν φανείη οὐκ ἐκτὸς ὄντα τῆς αἰσθήσεως ἣ διὰ τῆς ἀκοῆς τε καὶ ὄψεως ἡμῖν οὖσα τυγχάνει, ἀλλ' ὑπομείνωμεν τοῦτον τὸν λόγον, τὸ διὰ τούτων ἡδὺ καλὸν εἶναι, μηδὲν τὸ τῶν νόμων εἰς μέσον παράγοντες. ἀλλ' εἰ ἡμᾶς ἔροιτο εἴθ' οὗτος ὃν λέγω εἴτε ἄλλως ὁστισοῦν, Τί δή, ὦ Ἱππία τε καὶ Σώκρατες, ἀφωρίσατε τοῦ ἡδέος τὸ ταύτῃ ἡδύ, ᾗ λέγετε, καλὸν εἶναι, τὸ δὲ κατὰ τὰς ἄλλας αἰσθήσεις σίτων τε καὶ ποτῶν καὶ τῶν περὶ τἀφροδίσια καὶ τἆλλα πάντα τὰ τοιαῦτα οὔ φατε καλὰ εἶναι; ἢ οὐδὲ ἡδέα, οὐδὲ ἡδονὰς τὸ παράπαν ἐν τοῖς τοιούτοις φατὲ εἶναι,

So. Socratem Sophronisci filium, qui nihilo magis mihi concederet, ut haec indiscussa facile iudicarem, quam ut scire putarem, quae nescio. *Hip.* Atqui mihi quoque, postquam ipse dixisti, aliud quiddam id, quod ad leges attinet, esse videtur. *So.* Quiesce aliquantum, o Hippia. nam in eandem circa pulchrum ambiguitatem incidisse videmur, in quam paulo ante, dum putamus quiddam certi nos habere. *Hip.* Quo pacto id ais, Socrates? *So.* Dicam equidem, quod mihi videtur, ut, si quid veri dico, inspiciamus. haec profecto, quae ad studia legesque pertinent, forte non extra sensum videndi et audiendi existere viderentur. Verum sustineamus hunc sermonem, qui asserit, quod his sensibus gratum est, esse pulchrum, nec leges in medium producamus. At si quis nos interroget, sive is quem retuli, sive quivis alius, in hunc modum: Quid, o Hippia atque Socrates, id duntaxat iucundum, quod sensibus duobus percipitur, pulchrum esse censetis? quae vero ceteros sensus suavitate perfundunt, cibos, potus, Veneris actus aliaque huiusmodi, pulchra esse non dicitis? An forte neque dulcia haec, neque in sensibus, prae-

οὐδ' ἐν ἄλλῳ ἢ τῷ ἰδεῖν τε καὶ ἀκοῦσαι; τί φήσομεν, ὦ Ἱππία;

ΙΠ. Πάντως δή που φήσομεν, ὦ Σώκρατες, καὶ ἐν τοῖς ἄλλοις μεγάλας πάνυ ἡδονὰς εἶναι.

ΣΩ. Τί οὖν, φήσει, ἡδονὰς οὔσας οὐδὲν ἧττον ἢ καὶ ἐκείνας ἀφαιρεῖσθε τοῦτο τοὔνομα καὶ ἀποστερεῖτε
299 τοῦ καλὰς εἶναι; Ὅτι, φήσομεν, καταγέλῳη ἂν ἡμῶν οὐδεὶς ὅς τις οὐ, εἰ φαῖμεν μὴ ἡδὺ εἶναι φαγεῖν ἀλλὰ καλόν, καὶ ὄζειν ἡδὺ μὴ ἡδὺ ἀλλὰ καλόν. τὰ δέ που περὶ τὰ ἀφροδίσια πάντες ἂν ἡμῖν μάχοιντο ὡς ἥδιστον ὄν, δεῖ δὲ αὐτό, ἐάν τις καὶ πράττῃ, οὕτω πράττειν ὥστε μηδένα ὁρᾶν, ὡς αἰσχιστον ὂν ὁρᾶσθαι. Ταῦτα ἡμῶν λεγόντων, ὦ Ἱππία, Μανθάνω, ἂν ἴσως φαίη, καὶ ἐγὼ ὅτι πάλαι αἰσχύνεσθε ταύτας τὰς ἡδονὰς φάναι καλὰς εἶναι, ὅτι οὐ δοκεῖ τοῖς ἀνθρώποις. ἀλλ' ἐγὼ οὐ τοῦτο ἠρώτων, ὃ δοκεῖ τοῖς πολλοῖς καλὸν εἶναι, ἀλλ' ὅ τι ἔστιν. Ἐρούμεν δή, οἶμαι, ὅ περ ὑπεθέμεθα, ὅτι Τοῦθ' ἡμεῖς γέ φαμεν τὸ μέρος τοῦ ἡδέος, τὸ ἐπὶ τῇ ὄψει τε καὶ ἀκοῇ γιγνόμενον, καλὸν εἶναι. ἀλλὰ ἔχεις τι χρῆσθαι τῷ λόγῳ; Ἢ τί καὶ ἄλλο ἐροῦμεν, 2
ὦ Ἱππία;

terquam in audiendo videndoque, voluptatem aliquam potitis? quid, inquam, o Hippia, respondebimus? *Hip.* Magnas quoque inesse aliis sensibus voluptates assentiemur. *So.* Sed ille, Qua de causa, dicet, cum non minus, quam aliae, voluptates istae sint, pulchri eas cognomento privatis? Quoniam, respondebimus, nemo est, qui nos non rideat, si dicamus, non dulce comestionem esse, sed pulchrum: suavemque odorem non suave esse, sed pulchrum. Veneris quoque motus dulcissimum quiddam esse, quilibet nobiscum pugnabit: oportet autem, si qui hoc potiatur, ita potiri, ut lateat, quasi visu turpissimum si Cum haec dixerimus, Hippia, ille forsitan respondebit: Ir telligo equidem, quod iamdudum vos pudor impedit, quo m nus voluptates huiusmodi pulchras denominetis, quia hon nibus non videantur. ego vero non id quaerebam, quod vi go pulchrum videtur, sed quod pulchrum ipsum est. at nos id repetemus, pulchrum esse, quod iam posuimus, p tem scilicet eam iucundi, quae per oculos auresque delinit. vero, Hippia, quo te vertes? an forte quid aliud inferem

III. Ἀνάγκη πρός γε τὰ εἰρημένα, ὦ Σώκρατες, μὴ ἄλλ' ἄττα ἢ ταῦτα λέγειν.

ΣΩ. Καλῶς δὴ λέγετε, φήσει. οὐκοῦν εἴ περ τὸ δι' ὄψεως καὶ ἀκοῆς ἡδὺ καλόν ἐστιν, ὃ μὴ τοῦτο τυγχάνει ὂν τῶν ἡδέων, δῆλον ὅτι οὐκ ἂν καλον εἴη; Ὁμολογήσομεν;

III. Ναί.

ΣΩ. Ἦ οὖν τὸ δι' ὄψεως ἡδύ, φήσει, δι' ὄψεως καὶ ἀκοῆς ἐστιν ἡδύ, ἢ τὸ δι' ἀκοῆς ἡδὺ δι' ἀκοῆς καὶ ὄψεώς ἐστιν ἡδύ; Οὐδαμῶς, φήσομεν, τὸ διὰ τοῦ ἑτέρου ὂν τοῦτο δι' ἀμφοτέρων εἴη ἄν· τοῦτο γὰρ δοκεῖς ἡμῖν λέγειν. ἀλλ' ἡμεῖς ἐλέγομεν ὅτι καὶ ἑκάτερον τούτων αὐτὸ καθ' αὑτὸ τῶν ἡδέων καλὸν εἴη, καὶ ἀμφότερα. Οὐχ οὕτως ἀποκρινούμεθα;

III. Πάνυ μὲν οὖν.

ΣΩ. Ἆρ' οὖν, φήσει, ἡδὺ ἡδέος ὁτιοῦν ὁτουοῦν διαφέρει τούτῳ τῷ ἡδὺ εἶναι; μὴ γὰρ εἰ μείζων τις ἡδονὴ ἢ ἐλάττων ἢ μᾶλλον ἢ ἧττόν ἐστιν, ἀλλ' εἴ τις αὐτῷ τούτῳ διαφέρει, τῷ ἡ μὲν ἡδονὴ εἶναι, ἡ δὲ μὴ ἡδονή, τῶν ἡδονῶν. Οὐχ ἡμῖν γε δοκεῖ. Οὐ γάρ;

III. Οὐ γὰρ οὖν δοκεῖ.

ΣΩ. Οὐκοῦν, φήσει, δι' ἄλλο τι ἢ ὅτι ἡδοναί εἰσι

Hip. Non alia, praeter haec, o Socrates, respondendum. *So.* Praeclare dicitis, inferet ille. Si ergo solum, quod per visum auditumque gratum advenit, pulchrum est; quod per alium sensum delectat, minime pulchrum. Confitebimurne? *Hip.* Confitebimur. *So.* Ille vero sic iterum: An quod per visum iucundum, per visum et auditum iucundum est? et quod per auditum iucundum, per auditum et visum etiam? Ad haec nos: Nullo modo, quod per alterum est, per utrumque esset. hoc enim quaerere nobis videris. Nos vero diximus, quodvis e duobus his iucundis ipsum per se pulchrum esse, et similiter ambo. nonne sic respondendum? *Hip.* Sic prorsus. *So.* Nunquid a iucundo iucundum, eo ipso, quod iucundum est, differt? haud quaero, utrum maior minorve sit voluptate voluptas aut magis ac minus: sed utrum ex pluribus voluptatibus una quaedam hoc ipso ab alia differat, quod haec quidem voluptas sit, illa minime. Nobis quidem non videri dicemus. *Hip.* Non videri plane. *So.* Hic ille inferet: Nonne propter aliud quiddam, quam pro-

προειλεσθε ταύτας τὰς ἡδονὰς ἐκ τῶν ἄλλων ἡδονῶν, τοιοῦτόν τι ὁρῶντες ἐπ' ἀμφοῖν, ὅτι ἔχουσί τι διάφορον τῶν ἄλλων, εἰς ὃ ἀποβλέποντες καλάς φατε αὐτὰς εἶναι. οὐ γάρ πω δια τοῦτο καλή ἐστιν ἡδονὴ ἡ διὰ τῆς ὄψεως, ὅτι δι' ὄψεώς ἐστιν. εἰ γὰρ τοῦτο αὐτῇ ἦν τὸ αἴτιον καλῇ εἶναι, οὐκ ἄν ποτε ἦν ἡ ἑτέρα, ἡ διὰ τῆς ἀκοῆς, καλή· οὔκουν ἔστι γε δι' ὄψεως ἡδονή. Ἀληθῆ λέγεις, φήσομεν;

ΙΠ. Φήσομεν γάρ.

ΣΩ. Οὐδέ γ' αὖ ἡ δι' ἀκοῆς ἡδονὴ, ὅτι δι' ἀκοῆς ἐστί, διὰ ταῦτα τυγχάνει καλή. οὐ γὰρ ἄν ποτε αὖ ἦ διὰ τῆς ὄψεως καλὴ ἦν· οὔκουν ἔστι γε δι' ἀκοῆς ἡδονή. Ἀληθῆ φήσομεν, ὦ Ἱππία, λέγειν τὸν ἄνδρα ταῦτα λέγοντα;

ΙΠ. Ἀληθῆ.

ΣΩ. Ἀλλὰ μέντοι ἀμφότεραί γ' εἰσὶ καλαί, ὡς φατέ. Φαμὲν γάρ;

ΙΠ. Φαμέν.

ΣΩ. Ἔχουσιν ἄρα τι τὸ αὐτό, ὃ ποιεῖ αὐτὰς καλὰς εἶναι, τὸ κοινὸν τοῦτο, ὃ καὶ ἀμφοτέραις αὐταῖς ἔπεστι κοινῇ καὶ ἑκατέρᾳ ἰδίᾳ· οὐ γὰρ ἄν που ἄλλως

pterea quod voluptates sint, has potissimum voluptates e numero omnium elegistis. tale quiddam in utrisque inspicientes, quod videlicet naturam quandam habent ab aliis differentem, ad quam profecto respicientes, pulchras esse illas asseveratis? neque enim visus voluptas iccirco pulchra est, quia per visum fit. nam si illius pulchritudinis haec esset causa, nullo modo, quae per auditum fit, pulchra esset, cum per visum nequaquam efficiatur. Nos autem vera illum dicere confitebimur? *Hip.* Confitebimur sane. *So.* Neque rursus auditus voluptas ei eo pulchra, quia per auditum fiat? alioquin, quae per visum percipitur, pulchra non esset, quippe cum non eadem sit cui illa, quae per auditum efficitur. Eum virum, qui ista dicit, Hippia, vera loqui fatebimur? *Hip.* Vera nimirum. *So.* Verumtamen utraeque, inquiet, pulchrae sunt, ut dicitis. Dicimusne? *Hip.* Dicimus certe. *So.* Habent igitur commune quidam atque idem, quod eas pulchras efficit, quodve ambabus communiter inest, et unicuique proprie. neque enim aliter a

ἀμφότεραί τε καλαὶ ἦσαν καὶ ἑκατέρα. Ἀποκρίνου ἐμοὶ ὡς ἐκείνῳ.

Hip. Ἀποκρίνομαι, καὶ ἐμοὶ δοκεῖ ἔγειν ὡς λέγεις.

So. Εἰ ἄρα τι αὗται αἱ ἡδοναὶ ἀμφότεραι πεπόνθασιν, ἑκατέρα δὲ μή, οὐκ ἂν τούτῳ γε τῷ παθήματι εἶεν καλαί.

Hip. Καὶ πῶς ἂν εἴη τοῦτο, ὦ Σώκρατες; μηδ' ἑτέρας πεπονθυίας τι τῶν ὄντων ὁτιοῦν, ἔπειτα τοῦτο τὸ πάθος, ὃ μηδετέρα πέπονθεν, ἀμφοτέρας πεπονθέναι;

So. Οὐ δοκεῖ σοι;

Hip. Πολλὴ γὰρ ἂν μ' ἔχοι ἀπειρία καὶ τῆς τούτων φύσεως καὶ τῆς τῶν παρόντων λέξεως λόγων.

So. Ἡδέως γε, ὦ Ἱππία. ἀλλὰ γὰρ ἐγὼ ἴσως κινδυνεύω δοκεῖν μέν τι ὁρᾶν οὕτως ἔχον ὡς σὺ φῂς ἀδύνατον εἶναι, ὁρῶ δ' οὐδέν.

Hip. Οὐ κινδυνεύεις, ὦ Σώκρατες, ἀλλὰ πάνυ ἑτοίμως παροράᾳς.

So. Καὶ μὴν πολλά γέ μοι προφαίνεται τοιαῦτα πρὸ τῆς ψυχῆς, ἀλλ' ἀπιστῶ αὐτοῖς, ὅτι σοὶ μὲν οὐ φαντάζεται, ἀνδρὶ πλεῖστον ἀργύριον εἰργασμένῳ τῶν νῦν ἐπὶ σοφίᾳ, ἐμοὶ δέ, ὃς οὐδὲν πώποτε εἰργασάμην. καὶ ἐνθυμοῦμαι, ὦ ἑταῖρε, μὴ παίζῃς πρός με καὶ ἑκὼν ἐξαπατᾷς· οὕτω μοι σφόδρα καὶ πολλὰ καταφαίνεται.

bae pulchrae essent, et quaelibet. Age, mihi, tanquam illi, responde. *Hip.* Ita mihi, ut ais, videri respondeo. *So.* Si enim voluptates istae aliquid ambae susciperent, quod non earum quaelibet pateretur, nunquam huiusmodi passione pulchrae existerent. *Hip.* Sic est, o Socrates. qui enim fieri potest, ut, quod neutra illarum patitur, ambae perpetiantur? *So.* Non tibi videtur? *Hip.* Atqui et rerum istarum et locutionum huiusmodi penitus imperitus essem. *So.* Iucunde quidem, o Hippia, ceterum ego forte perielitor videri mihi aliquid intueri, quod ita se habere, ut tu ais, minime possit: video autem nihil. *Hip.* Non perichitaris, o Socrates: sed nimium despicis. *So.* Enimvero huius generis permulta mihi in mentem veniunt, quibus fidem non praesto, quoniam non probantur abs te, qui argenti plus studio sapientiae, quam ceteri nostri temporis, cumulasti. Ego autem, o amice, utpote qui nihil unquam lucratus sum, cogito, ne mecum forte ioceris, ex industriaque deludas: adeo mihi multa videntur.

III. Οὐδεὶς σοῦ, ὦ Σώκρατες, κάλλιον εἴσεται εἴτε παίζω εἴτε μή, ἐὰν ἐπιχειρήσῃς λέγειν τὰ προφαινόμενά σοι ταῦτα· φανήσει γὰρ οὐδὲν λέγων. οὐ γὰρ μή ποτε ευρῃς, ὃ μήτ' ἐγὼ πέπονθα μήτε σύ, τοῦτ' ἀμφοτέρους ἡμᾶς πεπονθότας.

ΣΩ. Πῶς λέγεις, ὦ Ἱππία; ἴσως μέντοι τι λέγεις, ἐγὼ δ' οὐ μανθάνω. ἀλλά μου σαφέστερον ἄκουσον ὃ βούλομαι λέγειν. ἐμοὶ γὰρ φαίνεται, ὃ μήτ' ἐγὼ πέπονθα εἶναι μήτ' εἰμὶ μηδ' αὖ σὺ εἶ, τοῦτ' ἀμφοτέρους πεπονθέναι ἡμᾶς οἷόν τ' εἶναι· ἕτερα δ' αὖ ἃ ἀμφότεροι πεπόνθαμεν εἶναι, ταῦτ' οὐδέτερον εἶναι ἡμῶν.

III. Τέρατα αὖ ἀποκρινομένῳ ἔοικας, ὦ Σώκρατες, ἔτι μείζω ἢ ὀλίγον πρότερον ἀπεκρίνω. σκόπει γάρ· πότερον εἰ ἀμφότεροι δίκαιοι ἐσμεν, οὐ καὶ ἑκάτερος
301 *ἡμῶν εἴη ἄν, ἢ εἰ ἄδικος ἑκάτερος, οὐ καὶ ἀμφότεροι αὖ; ἢ εἰ ὑγιαίνοντες, οὐ καὶ ἑκάτερος; ἢ εἰ κεκμηκώς τι ἢ τετρωμένος ἢ πεπληγμένος ἢ ἄλλ' ὁτιοῦν πεπονθὼς ἑκάτερος ἡμῶν εἴη, οὐ καὶ ἀμφότεροι αὖ ἂν τοῦτο πεπόνθοιμεν; ἔτι τοίνυν εἰ χρυσοῖ ἢ ἀργυροῖ ἢ ἐλεφάντινοι, εἰ δὲ βούλει, γενναῖοι ἢ σοφοὶ ἢ τίμιοι ἢ γέροντές γε ἢ νέοι ἢ ἄλλο ὅ τι βούλει τῶν ἐν ἀνθρώποι*

Hip. Nemo melius, quam tu, intelliget, Socrates, utrum ioc necne, si ista, quae tibi occurrunt, proferre coeperis. nihil er dicere videberis, quoniam nunquam reperies, quod nec ego tiar neque tu, ambos perpeti. *So.* Quomodo inquis, Hipj forte tu aliquid dicis, quod ego minus intelligo, verum aus ta me: quod sentio, planius explicabo. Mihi quidem vid quod neque contingit me esse, neque sum, neque tu si ter, hoc ambos pati nos posse: item alia, quae ambo pati neutrum nostrum exsistere. *Hip.* Monstra rursus afferre ris, o Socrates, et magis certe, quam paulo ante. A modo: Si ambo insti essemus, nonne et singuli? vel si stus uterque, nonne et ambo? aut si sani ambo, an non que? et si quilibet nostrum laborat in aliquo, vel vuli est vel percussus, sive aliud quidvis passus fuerit, nonn ambo perpetimur? praeterea, si aurei vel argentei ve nei, ac etiam, si vis, generosi aut sapientes aut honor aenea vel iuvenes, aut aliud quidvis humanum ambo

ἀμφότεροι τύχοιμεν ὄντες, ἆρ' οὐ μεγάλη ἀνάγκη καὶ ἑκάτερον ἡμῶν τοῦτ' εἶναι;

ΣΩ. Πάντως γε δή που.

ΙΠ. Ἀλλὰ γὰρ δὴ σύ, ὦ Σώκρατες, τὰ μὲν ὅλα τῶν πραγμάτων οὐ σκοπεῖς, οὐδ' ἐκεῖνοι οἷς σὺ εἴωθας διαλέγεσθαι, κρούετε δὲ ἀπολαμβάνοντες τὸ καλὸν καὶ ἕκαστον τῶν ὄντων ἐν τοῖς λόγοις κατατέμνοντες. διὰ ταῦτα οὕτω μεγάλα ὑμᾶς λανθάνει καὶ διανεκῆ σώματα τῆς οὐσίας πεφυκότα. καὶ νῦν τοσοῦτόν σε λέληθεν, ὥστε οἴει εἶναί τι ἢ πάθος ἢ οὐσίαν ἣ περὶ μὲν ἀμφότερα ταῦτα ἔστιν ἅμα, περὶ δὲ ἑκάτερον οὔ, ἢ αὖ περὶ μὲν ἑκάτερον, περὶ δὲ ἀμφότερα οὔ· οὕτως ἀλογίστως καὶ ἀσκέπτως καὶ εὐήθως καὶ ἀδιανοήτως διάκεισθε.

ΣΩ. Τοιαῦτα, ὦ Ἱππία, τὰ ἡμέτερά ἐστιν, οὐχ οἷα βούλεταί τις, φασὶν ἄνθρωποι ἑκάστοτε παροιμιαζόμενοι, ἀλλ' οἷα δύναται. ἀλλὰ σὺ ἡμᾶς ὀνίνης ἀεὶ νουθετῶν, ἐπεὶ καὶ νῦν, πρὶν ὑπὸ σοῦ ταῦτα νουθετηθῆναι, ὡς εὐήθως διεκείμεθα, ἔτι σοι μᾶλλον ἐγὼ ἐπιδείξω, εἰπὼν ἃ διανοούμεθα περὶ αὐτῶν, ἢ μὴ εἴπω;

ΙΠ. Εἰδότι μὲν ἐρεῖς, ὦ Σώκρατες· οἶδα γὰρ ἕκαστους τῶν περὶ τοὺς λόγους ὡς διάκεινται· ὅμως δ' εἴ τι σοὶ ἥδιον, λέγε.

nonne omnino necessarium esset, hoc quemlibet nostrum esse? *So.* Omnino quidem. *Hip.* Ceterum ipse, o Socrates, res ipsas integras non consideras, neque illi, quibuscum disputare es solitus: pulsatis illico pulchrum, et aliud quodcunque disputandum suscipitis; atque iccirco ita vos latent magna et universa corpora, continuam essentiam ex natura sortita. Et nunc adeo circa haec te veritas fugit, ut putes esse passionem aliquam vel essentiam, quae circa ambo quaedam versetur, circa vero singula minime: atque vicissim, quae circa singula quidem sit, circa ambo vero nequaquam. adeo irrationales, temerarii, inepti, fatui estis. *So.* Talia quidem nostra sunt, Hippia: non qualia quis optaret, ut trito proverbio fertur, sed qualia esse possunt. sed ipse semper admonendo nos iuvas. etenim priusquam nos in his admoneres, quam stolide affecti essemus, adhuc tibi clarius aperiam, si, quae de his sentimus, retulero. dicamne? *Hip.* Scienti, Socrates, referes. novi enim omnem eorum, qui in disputando versantur, conditionem. veruntamen si cupis, enarra.

ΣΩ. Ἀλλὰ μὴν ἥδιόν γε, ἡμεῖς γάρ, ὦ βέλτιστε, οὕτως ἀβέλτεροι ἦμεν πρίν σε ταῦτ' εἰπεῖν, ὥστε δόξαν εἴχομεν περὶ ἐμοῦ τε καὶ σοῦ ὡς ἑκάτερος ἡμῶν εἷς ἐστί, τοῦτο δέ, ὃ ἑκάτερος ἡμῶν εἴη, οὐκ ἄρα εἴημεν ἀμφότεροι· οὐ γὰρ εἷς ἐσμὲν ἀλλὰ δύο. οὕτως εὐηθικῶς εἴχομεν. νῦν δὲ παρὰ σοῦ ἤδη ἀνεδιδάχθημεν ὅτι εἰ μὲν δύο ἀμφότεροί ἐσμεν, δύο καὶ ἑκάτερον ἡμῶν ἀνάγκη εἶναι, εἰ δὲ εἷς ἑκάτερος, ἕνα καὶ ἀμφοτέρους ἀνάγκη· οὐ γὰρ οἷόν τε διανεκεῖ λόγῳ τῆς οὐσίας κατὰ Ἱππίαν ἄλλως ἔχειν, ἀλλ' ὃ ἂν ἀμφότερα ᾖ, τοῦτο καὶ ἑκάτερον, καὶ ὃ ἑκάτερον, ἀμφότερα εἶναι. πεπειραμένος δὴ νῦν ἐγὼ ὑπὸ σοῦ ἐνθάδε κάθημαι. πρότερον μέντοι, ὦ Ἱππία, ὑπόμνησόν με· πότερον εἷς ἐσμὲν ἐγώ τε καὶ σύ, ἢ σύ τε δύο κἀγὼ δύο;

ΙΠ. Τί λέγεις, ὦ Σώκρατες;

ΣΩ. Ταῦτα ἃ περ λέγω· φοβοῦμαι γάρ σε σαφῶς λέγειν, ὅτι μοι χαλεπαίνεις ἐπειδάν τι δόξῃς σαυτῷ λέγειν. ὅμως δ' ἔτι μοι εἰπέ· οὐχ εἷς ἡμῶν ἑκάτερός ἐστι καὶ πέπονθε τοῦτο, εἷς εἶναι;

ΙΠ. Πάνυ γε.

ΣΩ. Οὐκοῦν εἴ περ εἷς, καὶ περιττὸς ἂν εἴη ἑκάτερος ἡμῶν. ἢ οὐ τὸ ἓν περιττὸν ἡγεῖ;

So. Cupio equidem. Enimvero ita rudes eramus, antequam tu haec diceres, ut de me ac te opinaremur, quod uterque nostrum unus sit; neque tamen ambo id simus, quod quisque nostrum. non enim unus, sed duo sumus. adeo fatui eramus. Nunc vero abs te didicimus, quod si duo ambo sumus, duo similiter utrumque nostrum esse necesse est: et si unus uterque, unum pariter ambos. Impossibile enim est, universali et continua essentiae ratione secundum Hippiam, aliter se habere, sed quod ambo erant, idem et singula: et contra, quod singula, pariter ambo. Nunc igitur a te persuasus hic sedeo. prius tamen, o Hippia, id mihi memora, utrum unus ego tuque simus, vel tu duo, et ego duo. *Hip.* Quid ais, Socrates? *So.* Haec ipsa, quae dico, vereor enim aperte coram te loqui. nam mihi succenses turbasque, quando dicere aliquid tibi ipsi videris. Simul autem mihi dicas, nonne uterque nostrum unus est, et unum esse est passus? *Hip.* Omnino. *So.* Quod si unus, impar quoque. an non unum impar existimas?

ΙΠ. Ἔγωγε.

ΣΩ. Ἦ καὶ ἀμφότεροι οὖν περιττοί ἐσμεν δύο ὄντες;

ΙΠ. Οὐκ ἂν εἴη, ὦ Σώκρατες.

ΣΩ. Ἀλλ' ἄρτιοί γε ἀμφότεροι. ἦ γάρ;

ΙΠ. Πάνυ γε.

ΣΩ. Μῶν οὖν, ὅτι ἀμφότεροι ἄρτιοι, τούτου ἕνεκεν καὶ ἑκάτερος ἄρτιος ἡμῶν ἐστίν;

ΙΠ. Οὐ δῆτα.

ΣΩ. Οὐκ ἄρα πᾶσα ἀνάγκη, ὡς νῦν δὴ ἔλεγες, ἃ ἂν ἀμφότεροι, καὶ ἑκάτερον, καὶ ἃ ἂν ἑκάτερος, καὶ ἀμφοτέρους εἶναι.

ΙΠ. Οὐ τά γε τοιαῦτα, ἀλλ' οἷα ἐγὼ πράτερον ἔλεγον.

ΣΩ. Ἐξαρκεῖ, ὦ Ἵππία· ἀγαπητὰ γὰρ καὶ ταῦτα, ἐπειδὴ τὰ μὲν οὕτω φαίνεται, τὰ δ' οὐχ οὕτως ἔχοντα. καὶ γὰρ ἐγὼ ἔλεγον, εἰ μέμνησαι ὅθεν οὗτος ὁ λόγος ἐλέχθη, ὅτι ἡ διὰ τῆς ὄψεως καὶ δι' ἀκοῆς ἡδονὴ οὐ τούτῳ εἶεν καλαί, ὅ τι τυγχάνοιεν ἑκατέρα μὲν αὐτῶν εἶναι πεπονθυῖα, ἀμφότεραι δὲ μή, ἢ ἀμφότεραι μέν, ἑκατέρα δὲ μή, ἀλλ' ἐκείνῳ ᾧ ἀμφότεραί τε καὶ ἑκατέρα, διότι συνεχώρεις ἀμφοτέρας τε αὐτὰς εἶναι καλὰς καὶ ἑκατέραν. τούτου δὴ ἕνεκα τῇ οὐσίᾳ τῇ ἐπ' ἀμφότερα ἑπομένῃ ᾤμην, εἴ περ ἀμφότερά ἐστι

Hip. Equidem. *So.* Num et ambo, cum simus duo, impares sumus? *Hip.* Nequaquam. *So.* Sed pares ambo? *Hip.* Pares. *So.* Nunquid ex eo, quod ambo pares, par etiam uterque nostrum? *Hip.* Minime. *So.* Non ergo necesse est omnino, ut modo dicebas, quaecunque ambo, singulos, et quaecunque singuli, ambos esse. *Hip.* Non in rebus huiusmodi, sed in his, quae ipse supra narravi. *So.* Sat habeo, Hippia. nam ista sufficiunt, postquam alia sic, alia aliter se habere videntur. Dixi equidem, (si recordaris, unde sermo hic est ortus) voluptates per visum et per auditum non hoc pulchras esse, quod quaevis earum habet, ambae nequaquam; vel quod ambae, sed singulae minime: immo eo, quod et ambae habent et singulae: et iccirco ambas et singulas pulchras esse, et tu concessisti, et ego hac de causa, per illam ipsam essentiam, quae ambas sequitur, am-

λά, ταύτῃ δεῖν αὐτὰ καλὰ εἶναι, τῇ δὲ κατὰ τὰ ἐρα ἀπολειπομένῃ μή. καὶ ἔτι νῦν οἴομαι. ἀλλά μοι ἔγε, ὡς περ ἐξ ἀρχῆς· ἡ δι' ὄψεως ἡδονὴ καὶ ἡ δι' ἀκοῆς, εἴ περ ἀμφότεραί τ' εἰσὶ καλαὶ καὶ ἑκατέρα, ἆρ' ὃ ποιεῖ αὐτὰς καλάς, οὐχὶ καὶ ἀμφοτέραις γε αὐταῖς ἕπεται καὶ ἑκατέρᾳ;

HIP. Πάνυ γε.

ΣΩ. Ἆρ' οὖν ὅτι ἡδονὴ ἑκατέρα τ' ἐστὶ καὶ ἀμφότεραι, διὰ τοῦτο ἂν εἶεν καλαί; ἢ διὰ τοῦτο μὲν καὶ αἱ ἄλλαι πᾶσαι ἂν οὐδὲν τούτων ἧττον εἶεν καλαί; οὐδὲν γὰρ ἧττον ἡδοναὶ ἐφάνησαν οὖσαι, εἰ μέμνησαι.

HIP. Μέμνημαι.

ΣΩ. Ἀλλ' ὅτι γε δι' ὄψεως καὶ ἀκοῆς αὗταί εἰσι, διὰ τοῦτο ἐλέγετο καλὰς αὐτὰς εἶναι.

HIP. Καὶ ἐρρήθη οὕτως.

ΣΩ. Σκόπει δὲ εἰ ἀληθῆ λέγω. ἐλέγετο γάρ, ὡς ἐγὼ μνήμης ἔχω, τοῦτ' εἶναι καλὸν τὸ ἡδύ, οὐ πᾶν, ἀλλ' ὃ ἂν δι' ὄψεως καὶ ἀκοῆς ᾖ.

HIP. Ἀληθῆ.

ΣΩ. Οὐκοῦν τοῦτό γε τὸ πάθος ἀμφοτέραις μὲν ἕπεται, ἑκατέρᾳ δ' οὔ; οὐ γάρ που ἑκάτερόν γε αὐτῶν, ὃ περ ἐν τοῖς πρόσθεν ἐλέγετο, δι' ἀμφοτέρων ἐστίν,

bas esse pulchras, si modo pulchrae sunt, censui; per eam vero, quae alteram deserit, minime, et nunc quoque idem existimo. Verum mihi tanquam a principio dicas, si voluptates, quae per visum et quae per auditum fiunt, ambae et singulae pulchrae sunt, quod ipsas pulchras efficit, nonne ambas et singulas sequitur? *Hip.* Prorsus. *So.* An ex eo, quod singulae atque ambae sunt voluptates, pulchrae sunt? vel hac ratione aliae quoque voluptates non minus pulchrae? nihil enim minus voluptates illas esse constitit. meministin'? *Hip.* Memini. *So.* Se quia per visum et auditum fiunt, iccirco pulchras esse illas e dictum. Vide, num vera loquar. sic enim, ut memini, diximu pulchrum esse, quod iucundum, non quidem per sensus quos bet, sed quod per visum duntaxat atque auditum. *Hip.* Sic pr sus. *So.* Nonne passio haec ambas sequitur, singulas minin non enim singulae illarum, quemadmodum supra diximus,

ἀλλ' ἀμφότερα μὲν δι' ἀμφοῖν, ἑκάτερον δ' οὔ. ἔστι ταῦτα;

HIP. Ἔστιν.

ΣΩ. Οὐκ ἄρα τούτῳ γε ἑκάτερον αὐτῶν ἐστὶ καλόν, ὃ μὴ ἕπεται ἑκατέρῳ· τὸ γὰρ ἀμφότερον ἑκατέρῳ οὐχ ἕπεται. ὥστε ἀμφότερα μὲν αὐτὰ φάναι καλὰ κατὰ τὴν ὑπόθεσιν ἔξεστιν, ἑκάτερον δὲ οὐκ ἔξεστιν, ἢ πῶς λέγομεν; οὐκ ἀνάγκη; 303

HIP. Φαίνεται.

ΣΩ. Φῶμεν οὖν ἀμφότερα μὲν καλὰ εἶναι, ἑκάτερον δὲ μὴ φῶμεν;

HIP. Τί γάρ κωλύει;

ΣΩ. Τόδε ἔμοιγε δοκεῖ, ὦ φίλε, κωλύειν, ὅτι ἦν που ἡμῖν τὰ μὲν οὕτως ἐπιγιγνόμενα ἑκάστοις, εἴ περ ἀμφοτέροις ἐπιγίγνοιτο, καὶ ἑκατέρῳ, καὶ εἴ περ ἑκατέρῳ, καὶ ἀμφοτέροις, ἅπαντα ὅσα σὺ διῆλθες. ἦ γάρ;

HIP. Ναί.

ΣΩ. Ἃ δέ γε αὖ ἐγὼ διῆλθον, οὔ· ὧν δὴ ἦν καὶ αὐτὸ τὸ ἑκάτερον καὶ τὸ ἀμφότερον. ἔστιν οὕτως;

HIP. Ἔστιν.

ΣΩ. Ποτέρων οὖν, ὦ Ἱππία, δοκεῖ σοι τὸ καλὸν εἶναι; πότερον ὧν σὺ ἔλεγες; εἴ περ ἐγὼ ἰσχυρὸς καὶ σύ, καὶ ἀμφότεροι, καὶ εἴ περ ἐγὼ δίκαιος καὶ σύ, καὶ ἀμφότεροι, καὶ εἴ περ ἀμφότεροι, καὶ ἑκάτε-

ambas sunt: sed ambae quidem per ambas, singulae minime. est ita? *Hip.* Est. *So.* Non ergo hoc singulae pulchrae sunt, quod non singulas sequitur. quod enim ambo dicitur, non sequitur singula. Quamobrem ambo illa vocare pulchra secundum suppositionem licet: singula vero nequaquam. an aliter dicimus? nonne hoc necessarium est? *Hip.* Videtur. *So.* Dicendumne, ambo quidem pulchra esse, singula vero nequaquam? *Hip.* Quid prohibet? *So.* Hoc mihi, amice, obstare videtur, quod quaedam sic adesse aliis iudicata sunt, ut, si ambobus adsunt, adsint et singulis: et contra, si singulis, et ambobus. Talia vero erant, quae tu narrasti? *Hip.* Erant certe. *So.* Quae autem ego retuli, minime: e quorum numero erat, quod ambo dicitur et quod singula. estne ita? *Hip.* Est. *So.* Utrum tibi videtur, o Hippia, ex his, quae ipse exposuisti, pulchrum esse? ut, si ego robustus et tu, ambo robusti. item si ego iustus et tu, ambo: et contra, si ambo, et singuli. Vel ni-

ρος· οὕτω δὴ καὶ εἴ περ ἐγὼ καλὸς καὶ σύ, καὶ ἀμφότεροι, καὶ εἴ περ ἀμφότεροι, καὶ ἑκάτερος; ἢ οὐδὲν κωλύει, ὥς περ ἀρτίων ὄντων τινῶν ἀμφοτέρων τάχα μὲν ἑκάτερα περιττὰ εἶναι, τάχα δ' ἄρτια, καὶ αὖ ἀῤῥήτων ἑκατέρων ὄντων τάχα μὲν ῥητὰ τὰ συναμφότερα εἶναι, τάχα δ' ἄῤῥητα, καὶ ἄλλα μυρία τοιαῦτα, ἃ δὴ καὶ ἐγὼ ἔφην ἐμοὶ προφαίνεσθαι; ποτέρων δὴ τίθῃς τὸ καλόν; ἢ ὥς περ ἐμοὶ περὶ αὐτοῦ καταφαίνεται, καὶ σοί; πολλὴ γὰρ ἀλογία ἔμοιγε δοκεῖ εἶναι ἀμφοτέρους μὲν ἡμᾶς εἶναι καλούς, ἑκάτερον δὲ μή, ἢ ἑκάτερον μέν, ἀμφοτέρους δὲ μή, ἢ ἄλλο ὁτιοῦν τῶν τοιούτων. οὕτως αἱρεῖ ὥς περ ἐγὼ ἢ ἐκεῖνος;

Hip. Οὕτως ἔγωγε, ὦ Σώκρατες.

So. Εὖ γε σὺ ποιῶν, ὦ Ἱππία, ἵνα καὶ ἀπαλλαγῶμεν πλείονος ζητήσεως. εἰ γὰρ τούτων γ' ἐστὶ τὸ καλόν, οὐκ ἂν ἔτι εἴη τὸ δι' ὄψεως καὶ ἀκοῆς ἡδὺ καλόν. ἀμφότερα μὲν γὰρ ποιεῖ καλὰ τὸ δι' ὄψεως καὶ ἀκοῆς, ἑκάτερον δ' οὔ. τοῦτο δ' ἦν ἀδύνατον, ὡς ἐγώ τε καὶ σὺ δὴ ὡμολογοῦμεν, ὦ Ἱππία.

Hip. Ὡμολογοῦμεν γάρ.

So. Ἀδύνατον ἄρα τὸ δι' ὄψεως καὶ ἀκοῆς ἡδὺ καλὸν εἶναι, ἐπειδή γε καλὸν γιγνόμενον τῶν ἀδυνάτων τι παρέχεται.

hil prohibet ita contingere, ut in ipsis paribus et imparibus accidit: ubi ambo aliquando paria sunt, imparia singula, et aliquando paria: nec non singula interdum talia sunt, ut exprimi nequeant, ambo queant, et interdum nequeant? aliaque huius generis plurima, quae mihi occurrere dixeram. Quorum in numero pulchrum ponis? num ita tibi de hoc, ut mihi, apparet? nimis enim absurdum esse mihi videtur, ut ambo pulchri simus, non singuli: vel contra singuli pulchri, non ambo, aut aliud quodlibet talium. Itane ipse eligis, ut ego? an illo potius modo? *Hip.* Sic equidem. *So.* Recte agis, Hippia, ut a longa inquisitione nos liberemus. Si enim ex his est pulchrum, haud amplius, quod per visum et auditum delectat, pulchrum erit. ambo namque pulchra facit, singula minime. hoc autem impossibile, ut inter nos convenit. *Hip.* Convenit certe. *So.* Impossibile igitur, quod visum et auditum iucundum, pulchrum esse. nam si id pulchrum esset, impossibile aliquid sequeretur.

ΙΠ. Ἔστι ταῦτα.

ΣΩ. Λέγετε δὴ πάλιν, φήσει, ἐξ ἀρχῆς, ἐπειδὴ τοῦτου διημάρτετε· νί φαμεν εἶναι τοῦτο τὸ καλὸν τὸ ἐπ' ἀμφοτέραις ταῖς ἡδοναῖς, δι' ὅ τι καὶ ταύτας πρὸ τῶν ἄλλων τιμήσαντες καλὰς ὠνομάσατε; Ἀνάγκη δή μοι δοκεῖ εἶναι, ὦ Ἱππία, λέγειν ὅτι ἀσινέσταται αὗται τῶν ἡδονῶν εἰσὶ καὶ βέλτισταί, καὶ ἀμφότεραι καὶ ἑκατέρα. ἢ σύ τι ἔχεις λέγειν ἄλλο ᾧ διαφέρουσι τῶν ἄλλων;

ΙΠ. Οὐδαμῶς· τῷ ὄντι γὰρ βέλτισταί εἰσιν.

ΣΩ. Τοῦτ' ἄρα, φήσει, λέγετε δὴ τὸ καλὸν εἶναι, ἡδονὴν ὠφέλιμον; Ἐοίκαμεν, φήσω ἔγωγε. σὺ δέ;

ΙΠ. Καὶ ἐγώ.

ΣΩ. Οὐκοῦν ὠφέλιμον, φήσει, τὸ ποιοῦν τἀγαθόν, τὸ δὲ ποιοῦν καὶ τὸ ποιούμενον ἕτερον νῦν δὴ ἐφάνη, καὶ εἰς τὸν πρότερον λόγον ἥκει ὑμῖν ὁ λόγος; οὔτε γὰρ τὸ ἀγαθὸν ἂν εἴη καλὸν οὔτε τὸ καλὸν ἀγαθόν, εἴ περ ἄλλο αὐτῶν ἑκάτερόν ἐστι. Παντός γε μᾶλλον, φήσομεν, ὦ Ἱππία, ἂν σωφρονῶμεν· οὐ γάρ που θέμις τῷ ὀρθῶς λέγοντι μὴ συγχωρεῖν.

ΙΠ. Ἀλλὰ δή γ', ὦ Σώκρατες, τί οἴει ταῦτ' εἶναι ξυνάπαντα; νιτσματά τοί ἐσνι καὶ περικμήματα τῶν

Hip. Vera haec sunt. *So.* Hic contentiosus ille dicet: Exponite iterum a principio, postquam istud vos fefellit, quid esse pulchrum hoc dicitis, quod ambabus voluptatibus inest, propter quod istas prae ceteris honorantes pulchras vocatis? Necessarium mihi videtur, o Hippia, ut respondeamus, quod innoxiae sunt prae ceteris voluptatibus, atque optimae, tam ambae quam singulae. An tu aliquid aliud habes, quo ab aliis differant? *Hip.* Nihil. revera enim optimae sunt. *So.* Tum ille: Hoc igitur pulchrum esse dicitis, conducibilem voluptatem? Videri equidem, respondebo. tu vero? *Hip.* Et ego. *So.* Ille vero ad haec: Nonne conducibile est, quod bonum efficit? efficiens autem et effectum aliud esse constitit. unde eodem relabimur. neque enim bonum pulchrum esset, neque pulchrum bonum, si quidem aliud unumquodque illorum esset. Ita esse nos illi, si sapiemus, illico respondebimus. nefas enim est, recte loquenti non assentiri. *Hip.* Quid tu aliud, Socrates, cuncta haec esse dicis, quam imminutiones quasdam concisionesque sermonum,

λόγων, ὅ περ ἄρτι ἔλεγον, κατὰ βραχὺ διῃρημένα. ἀλλ' ἐκεῖνο καὶ καλὸν καὶ πολλοῦ ἄξιον, οἷόν τ' εἶναι εὖ καὶ καλῶς λόγον καταστησάμενον ἐν δικαστηρίῳ ἢ ἐν βουλευτηρίῳ ἢ ἐπ' ἄλλῃ τινὶ ἀρχῇ πρὸς ἣν ἂν ὁ λόγος ᾖ, πείσαντα, οἴχεσθαι φέροντα οὐ τὰ σμικρότατα ἀλλὰ τὰ μέγιστα τῶν ἄθλων, σωτηρίαν αὐτοῦ τε καὶ τῶν αὐτοῦ χρημάτων καὶ φίλων. τούτων οὖν χρὴ ἀντέχεσθαι, χαίρειν ἐάσαντα τὰς σμικρολογίας ταύτας, ἵνα μὴ δοκῇ λίαν ἀνόητος εἶναι λήρους καὶ φλυαρίας ὡς περ νῦν μεταχειριζόμενος.

ΣΩ. Ὦ Ἱππία φίλε, σὺ μὲν μακάριος εἶ, ὅτι τε οἶσθα ἃ χρὴ ἐπιτηδεύειν ἄνθρωπον καὶ ἐπιτετήδευκας ἱκανῶς, ὡς φῄς· ἐμὲ δὲ δαιμονία τις τύχη, ὡς ἔοικε, κατέχει, ὃς τις πλανῶμαι μὲν καὶ ἀπορῶ ἀεί, ἐπιδεικνὺς δὲ τὴν ἐμαυτοῦ ἀπορίαν ὑμῖν τοῖς σοφοῖς λόγῳ αὖ ὑπὸ ὑμῶν προπηλακίζομαι, ἐπειδὰν ἐπιδείξω. λέγετε γάρ με ἃ περ καὶ σὺ νῦν λέγεις, ὡς ἠλίθιά τε καὶ σμικρὰ καὶ οὐδενὸς ἄξια πραγματεύομαι. ἐπειδὰν δὲ αὖ ἀναπεισθεὶς ὑφ' ὑμῶν λέγω ἃ περ ὑμεῖ, ὡς πολὺ κράτιστόν ἐστιν οἷόν τ' εἶναι λόγον εὖ καὶ καλῶς καταστησάμενον περαίνειν ἐν δικαστηρίῳ ἢ ἐν ἄλλῳ τινὶ συλλόγῳ, ὑπό τε ἄλλων τινῶν τῶν ἐνθάδε καὶ ὑπὸ τούτου τοῦ ἀνθρώπου τοῦ ἀεί με ἐλέγχοντος πάντα

ut ante dixi, in minima resolutas? Illud vero pulchrum et multi faciendum est, ut quis valeat, praeclara oratione habita in iudicio vel consilio vel alio conventu publico, ad quem verba fiunt, auditoribus persuasis, non minima quaedam, sed maxima praemia reportare, sui ipsius, rerum suarum amicorumque salutem. Haec sane, omissis minutis his quaestiunculis, compleeti decet, ne demens esse videaris, dum deliramenta et nugas, ut modo, pertractas. *So.* O amice Hippia, tu quidem beatus es, qui nosti, quibus studere hominem decet, et ipse abunde, ut asseris, studuisti. Me vero mira quaedam fortuna detinet: quippe qui aberro semper atque mendico. Quotiens autem inopiam meam sapientibus vobis ostendo, verbis rursus a vobis obiurgor. obiicitis enim continuo, quae et tu nunc obiecisti, m scilicet stolida, exilia et nihili facienda tractare. demum, cu persuasus a vobis eadem, quae et vos, profero, optimum es eleganter orare in iudicio, et alio quovis coetu, et ad votu peragere, rursus nonnulli e nostris, et ille vir, qui me semp

κακὰ ἀκούω. καὶ γάρ μοι τυγχάνει ἐγγύτατα γένους ὢν καὶ ἐν τῷ αὐτῷ οἰκῶν. ἐπειδὰν οὖν εἰσέλθω οἴκαδε εἰς ἐμαυτοῦ καί μου ἀκούσῃ ταῦτα λέγοντος, ἐρωτᾷ εἰ οὐκ αἰσχύνομαι τολμῶν περὶ καλῶν ἐπιτηδευμάτων διαλέγεσθαι, οὕτω φανερῶς ἐξελεγχόμενος περὶ τοῦ καλοῦ, ὅτι οὐδ' αὐτὸ τοῦτο ὅ τί ποτ' ἐστιν οἶδα. Καί τοι πῶς σὺ εἴσει, φησίν, ἢ λόγον ὅς τις καλῶς κατεστήσατο ἢ μή, ἢ ἄλλην πρᾶξιν ἡντινοῦν, τὸ καλὸν ἀγνοῶν; καί ὁπότε οὕτω διάκεισαι, οἴει σοι κρεῖττον εἶναι ζῆν μᾶλλον ἢ τεθνάναι; Συμβέβηκε δή μοι ὅ περ λέγω, κακῶς μὲν ὑφ' ὑμῶν ἀκούειν καὶ ὀνειδίζεσθαι, κακῶς δὲ ὑπ' ἐκείνου. ἀλλὰ γὰρ ἴσως ἀναγκαῖον ὑπομένειν ταῦτα πάντα· οὐδὲν γὰρ ἄτοπον εἰ ὠφελοίμην. ἐγὼ οὖν μοι δοκῶ, ὦ Ἱππία, ὠφελῆσθαι ἀπὸ τῆς ἀμφοτέρων ὑμῶν ὁμιλίας· τὴν γὰρ παροιμίαν ὅ τί ποτε λέγει τὸ χαλεπὰ τὰ καλά, δοκῶ μοι εἰδέναι.

redarguit, graviter increpant. proximus ille vir mihi genere est, et una mecum habitat. Ergo cum primum domum ingressus sum et ille me talia dicentem audit, interrogat, quid non erubescam de pulchris operibus disputare, cum adeo manifeste circa pulchrum redargutus sim, quod, ipsum pulchrum quid sit, ignorem. Inquit enim, Qua ratione intelliges, quae oratio pulchre composita sit, quae non, aut aliam quamlibet actionem pulchram esse, vel turpem, dum pulchrum ipsum quid est ignoras? et quando ita affectus es, vivere te quam mori praestare putas? Contingit itaque mihi, quod modo dicebam, ut et a vobis et ab illo male audiam. Sed forte operae pretium est haec omnia tolerare. neque enim id absurdum, si quid lucratus fuerim. tantum vero, Hippia, consuetudine utrorumque profeci, ut proverbium illud, dicens pulchra difficilia esse, intelligere mihi iam videar.

ΚΛΕΙΤΟΦΩΝ

ΤΑ ΤΟΥ ΔΙΑΛΟΓΟΥ ΠΡΟΣΩΠΑ

ΣΩΚΡΑΤΗΣ, ΚΛΕΙΤΟΦΩΝ.

SOCRATES, CLITOPHON.

Κλειτοφῶντα τὸν Ἀριστωνύμου τις ἡμῖν διηγεῖτο 406
ἔναγχος, ὅτι Λυσίᾳ διαλεγόμενος τὰς μὲν μετὰ Σω-
κράτους διατριβὰς ψέγοι, τὴν Θρασυμάχου δὲ ξυνου-
σίαν ὑπερεπαινοῖ.

ΚΛΕΙ. Ὅς τις, ὦ Σώκρατες, οὐκ ὀρθῶς ἀπεμνη-
μόνευέ σοι τοὺς ἐμοὶ περὶ σοῦ γενομένους λόγους πρὸς
Λυσίαν· τὰ μὲν γὰρ ἔγωγε οὐκ ἐπῄνουν σε, τὰ δὲ καὶ
ἐπῄνουν. ἐπεὶ δὲ δῆλος εἶ μεμφόμενος μέν μοι, προσ-
ποιούμενος δὲ μηδὲν φροντίζειν, ἥδιστ' ἂν σοι διεξέλ-
θοιμι αὐτοὺς αὐτός, ἐπειδὴ καὶ μόνω τυγχάνομεν ὄντε,
ἵνα ἧττόν με ἡγῇ πρὸς σὲ φαύλως ἔχειν. νῦν γὰρ ἴσως
οὐκ ὀρθῶς ἀκήκοας, ὥστε φαίνει πρὸς ἐμὲ ἔχειν τραχυτέ-
ρως τοῦ δέοντος. εἰ δέ μοι δίδως παῤῥησίαν, ἥδιστ' ἂν
δεξαίμην καὶ ἐθέλω λέγειν.

ΣΩ. Ἀλλ' αἰσχρὸν μὴν σοῦ γε ὠφελεῖν με προ-
θυμουμένου μὴ ὑπομένειν· δῆλον γὰρ ὡς γνοὺς ὅπῃ 407

Nuper mihi retulit quidam Clitophontem, Aristonymi filium, loquentem cum Lysia, Socratis quidem consuetudinem vituperare, Thrasymachi vero laudare magnopere solitum. *Cli.* Quisquis ille, o Socrates, fuerit, haud recte narravit, quae de te cum Lysia sum locutus. nam in quibusdam laudavi te, in quibusdam minime. Postquam vero aperte succenses mihi, quamquam dissimulas, te nihil curare, libentissime ego ipse tibi illa referam: praesertim cum soli simus: ne adeo te despici putes. Forte enim nunc non recte audisti: quocirca infensior mihi redditus es, quam deceat. At si ipse mihi potestatem libere loquendi dederis, libentissime rem tibi narrabo. *So.* At turpe nimium esset, si te, prodesse mihi volentem, non tolerem. Constat enim,

χείρων εἰμὶ καὶ βελτίων, τὰ μὲν ἀσκήσω καὶ διώξομαι, τὰ δὲ φεύξομαι κατὰ κράτος.

ΚΛΕΙ. Ἀκούοις ἄν. Ἐγὼ γάρ, ὦ Σώκρατες, σοὶ συγγιγνόμενος πολλάκις ἐξεπληττόμην ἀκούων, καί μοι ἐδόκεις παρὰ τοὺς ἄλλους ἀνθρώπους κάλλιστα λέγειν, ὁπότε ἐπιτιμῶν τοῖς ἀνθρώποις, ὥς περ ἐπὶ μηχανῆς τραγικῆς θεός, ὕμνεις λέγων Ποῖ φέρεσθε, ἄνθρωποι, καὶ ἀγνοεῖτε οὐδὲν τῶν δεόντων πράττοντες, οἵ τινες χρημάτων μὲν πέρι τὴν πᾶσαν σπουδὴν ἔχετε, ὅπως ὑμῖν ἔσται, τῶν δ' υἱέων οἷς ταῦτα παραδώσετε, ὅπως ἐπιστήσονται χρῆσθαι δικαίως τούτοις, ἀμελεῖτε, καὶ οὔτε διδασκάλους αὐτοῖς εὑρίσκετε τῆς δικαιοσύνης, εἴ περ μαθητόν· εἰ δὲ μελετητόν τε καὶ ἀσκητόν, οἵ τινες ἐξασκήσουσι καὶ ἐκμελετήσουσιν ἱκανῶς. οὐδέ γ' ἔτι πρότερον ὑμᾶς αὐτοὺς οὕτως ἐθεραπεύσατε, ἀλλ' ὁρῶντες γράμματα καὶ μουσικὴν καὶ γυμναστικὴν ὑμᾶς τε αὐτοὺς καὶ τοὺς παῖδας ὑμῶν ἱκανῶς μεμαθηκότας, ἃ δὴ παιδείαν ἀρετῆς εἶναι τελέαν ἡγήσθε, κἄπειτα οὐδὲν ἧττον κακοὺς γιγνομένους περὶ τὰ χρήματα, πῶς οὐ καταφρονεῖτε τῆς νῦν παιδεύσεως οὐδὲ ζητεῖτε οἵ τινες ὑμᾶς παύσουσι ταύτης τῆς ἀμουσίας; καί τοι διά

ubi intellexero, qua malus, qua bonus sim, deteriora declinaturum esse pro viribus. meliora prosecuturum. *Cli.* Audi igitur. Equidem tecum versatus, saepenumero, Socrates, vehementer obstupui, dum te loquentem audirem, mihique visus es praeclarissime omnium dicere, quoties obiurgans homines, veluti e machina tragica Deus, subito exclamares, Quonam ruitis, homines? nescitis, quo feramini, neque opportunum quidquam agitis, qui omni studio pecuniis cumulandis incumbitis, filios autem, quibus eas relicturi estis, negligitis, neque, ut illis iuste uti sciant, eos iustitiae praeceptoribus commendatis, qui doceant iustitiam, si doceri potest, et, si exercitatione ac consuetudine comparanda est, diligenter exerceant. Neque vos etiam ipsos curastis unquam. Sed cum videatis, literas, musicam et gymnasticam vos filiosque vestros ad sufficientiam consecutos, quam virtutis disciplinam perfectam existimatis, deinde nihilominus circa pecunias pravos esse, cur non praesentem educationem contemnitis? cur non quaeritis aliquos, qui vos ab hac in musica dissonantia liberent? Etenim propter hoc delictum

γε ταύτην τὴν πλημμέλειαν καὶ ῥαθυμίαν, ἀλλ' οὐ διὰ τὴν ἐν τῷ ποδὶ πρὸς τὴν λύραν ἀμετρίαν καὶ ἀδελφὸς ἀδελφῷ καὶ πόλεις πόλεσιν ἀμέτρως καὶ ἀναρμόστως προσφερόμεναι στασιάζουσι καὶ πολεμοῦντες τὰ ἔσχατα δρῶσι καὶ πάσχουσιν. ὑμεῖς δέ φατε οὐ δι' ἀπαιδευσίαν οὐδὲ δι' ἄγνοιαν, ἀλλ' ἑκόντας τοὺς ἀδίκους ἀδίκους εἶναι. πάλιν δ' αὖ τιλμᾶτε λέγειν ὡς αἰσχρὸν καὶ θεομισὲς ἡ ἀδικία· πῶς οὖν δή τις τό γε τοιοῦτον κακὸν ἑκὼν αἱροῖτ' ἄν; ἥττων ὅς ἂν ᾖ, φατέ, τῶν ἡδονῶν. οὐκοῦν καὶ τοῦτ' ἑκούσιον, εἴ περ τὸ νικᾶν ἑκούσιον; ὥστε ἐκ παντὸς τρόπου τό γε ἀδικεῖν ἀκούσιον ὁ λόγος αἱρεῖ, καὶ δεῖν ἐπιμέλειαν τῆς νῦν πλείω ποιεῖσθαι πάντ' ἄνδρα ἰδίᾳ θ' ἅμα καὶ δημοσίᾳ ξυμπάσας τὰς πόλεις. Ταῦτ' οὖν, ὦ Σώκρατες, ἐγὼ ὅταν ἀκούω σοῦ θαμὰ λέγοντος, καὶ μάλα ἄγαμαι καὶ θαυμαστῶς ὡς ἐπαινῶ. καὶ ὁπόταν αὖ φῇς τὸ ἐφεξῆς τούτῳ, τοὺς ἀσκοῦντας μὲν τὰ σώματα, τῆς δὲ ψυχῆς ἠμεληκότας ἕτερόν τι πράττειν τοιοῦτον, τοῦ μὲν ἄρξοντος ἀμελεῖν, περὶ δὲ τὸ ἀρξόμενον ἐσπουδακέναι. καὶ ὅταν λέγῃς ὡς ὅτῳ τις μὴ ἐπίσταται χρῆσθαι, κρεῖττον ἐᾷν τὴν τούτου χρῆσιν· εἰ δή τις μὴ ἐπίσταται ὀφθαλμοῖς

soeordiamque magis, quam propter pedis ad lyram dissonam motionem, et frater adversus fratrem, et civitas adversus alias civitates, immoderata et discordi seditione suborta feruntur, et commisso proelio extrema patiuntur et inferunt. Vos autem dicitis, non propter ruditatem inscitiamque, sed sponte iniustos esse eos, qui sunt ininsti: rursusque asserere non dubitatis, iniustitiam turpem esse rem, Deoque odiosam. Quam igitur ob causam hoc tantum malum sponte quis eligit? Respondetis, hominem superatum voluptatibus id subire. Nonne superari, praeter voluntatem est, quandoquidem ex voluntate est superare? Quapropter iniuste agere, praeter voluntatem esse, omnino ratio convincit. Diligentiorem itaque curam, quam solet, adhibere, et viros omnes privatim et publice civitates decet. Quoties ista, Socrates, audio te dicentem, mirum in modum delector ac laudo, idemque facio, cum ea, quae sequuntur, ausculto. Addis enim, eos, quicunque corpus quidem exercent, animum vero negligunt, quod natura subiectum est, colere; spernere vero, quod imperat. Item unicuique usum eius rei, qua uti nescit, relinquere. Illi vero, qui oculis, auribus, toto corpore

χρῆσθαι μηδὲ ὠσὶν μηδὲ ξύμπαντι τῷ σώματι, τούτῳ μήτε ἀκούειν μήθ' ὁρᾷν μήτ' ἄλλην χρείαν μηδεμίαν χρῆσθαι τῷ σώματι κρεῖττον ἢ ὑπηρῶν χρῆσθαι. καὶ
408 δὴ καὶ περὶ τέχνην ὡσαύτως· ὅστις γὰρ δὴ μὴ ἐπίσταται τῇ ἑαυτοῦ λύρᾳ χρῆσθαι, δῆλον ὡς οὐδὲ τῇ τοῦ γείτονος, οὐδὲ ὅστις μὴ τῇ τῶν ἄλλων, οὐδὲ τῇ ἑαυτοῦ, οὐδ' ἄλλῳ τῶν ὀργάνων οὐδὲ κτημάτων οὐδενί. καὶ τελευτᾷ δὴ καλῶς ὁ λόγος οὗτός σοι, ὡς ὃς τις ψυχῇ μὴ ἐπίσταται χρῆσθαι, τούτῳ τὸ ἄγειν ἡσυχίαν τῇ ψυχῇ καὶ μὴ ζῆν κρεῖττον ἢ ζῆν πράττοντι καθ' αὑ- 10
τόν· εἰ δέ τις ἀνάγκη ζῆν εἴη, δούλῳ ἄμεινον ἢ ἐλευθέρῳ διάγειν τῷ τοιούτῳ τὸν βίον ἐστὶν ἄρα, καθά περ πλοίου παραδόντι τὰ πηδάλια τῆς διανοίας ἄλλῳ, τῷ μαθόντι τὴν τῶν ἀνθρώπων κυβερνητικήν, ἣν δὴ σὺ πολιτικήν, ὦ Σώκρατες, ἐπονομάζεις πολλάκις, τὴν αὐτὴν δὴ ταύτην δικαστικήν τε καὶ δικαιοσύνην ὡς ἔστι λέγων. Τούτοις δὴ τοῖς λόγοις καὶ ἑτέροις τοιούτοις παμπόλλοις καὶ παγκάλως λεγομένοις, ὡς διδακτὸν ἀρετὴ καὶ πάντων ἑαυτοῦ δεῖ μάλιστα ἐπιμελεῖσθαι, σχεδὸν οὔτ' ἀντεῖπον πώποτε οὔτ' οἶμαι μή ποθ' ὕστερον 20
ἀντείπω· προτρεπτικωτάτους τε γὰρ ἡγοῦμαι καὶ ὠφελιμωτάτους, καὶ ἀτεχνῶς ὥς περ καθεύδοντας ἐπεγεί-

nescit uti, praestare neque videre, neque audire, neque aliter uti corpore, quam uti. Similiter et in artibus. Quicunque enim lyra propria uti nescit, patet, ut ipse ais, quod neque alterius lyra scit uti: et qui aliena nescit uti, nescit et sua: eademque est de ceteris instrumentis et possessionibus ratio. Atque eo tandem praeclare tibi sermo procedit, ut inferas, qui nescit anima uti, praestare huic, ut otium agat anima, neque vivat, quam ut vivat, et sui iuris in agendo ipse sit. Quem si qua necessitas cogit vivere, melius huic esse, ut servus vitam ducat, quam liber. Est autem hoc, tanquam navis, ita cogitationis gubernacula committere alteri cuiquam, qui gubernatoriam humanae vitae adeptus sit disciplinam, quam saepe tu, Socrates, politicam vocas, eandemque iudiciariam et iustitiam. His ergo sermonibus, aliisque eiusmodi multis atque praeclaris, virtutem asserentibus posse doceri, suique ipsius inprimis suscipere curam iubentibus, nunquam ferme adversatus sum, neque, ut arbitror, in posterum adversabor. Perutiles enim ipsos existimo, plurimumque ad exhortationem valere, et ad homines quasi

ρειν ἡμᾶς. προσεῖχον δὴ τὸν νοῦν τὸ μετὰ ταῦτα ὡς ἀκουσόμενος, ἐπανερωτῶν οὔ τι σὲ τὸ πρῶτον, ὦ Σώκρατες, ἀλλὰ τῶν ἡλικιωτῶν τε καὶ συνεπιθυμητῶν ἢ ἑταίρων σῶν, ἢ ὅπως δεῖ πρὸς σὲ περὶ αὐτῶν τὸ τοιοῦτον ὀνομάζειν. τούτων γὰρ τούς τι μάλιστα εἶναι δοξαζομένους ὑπὸ σοῦ πρώτους ἐπανηρώτων, πυνθανόμενος τίς ὁ μετὰ ταῦτ' εἴη λόγος, καὶ κατὰ σὲ τρόπον τινὰ ὑποτείνων αὐτοῖς Ὦ βέλτιστοι, ἔφην, ὑμεῖς, πῶς ποτὲ νῦν ἀποδεχόμεθα τὴν Σωκράτους προτροπὴν ἡμῶν ἐπ' ἀρετήν; ὡς ὄντος μόνου τούτου, ἐπεξελθεῖν δὲ οὐκ ἔνι τῷ πράγματι καὶ λαβεῖν αὐτὸ τελέως, ἀλλ' ἡμῖν παρὰ πάντα δὴ τὸν βίον ἔργον τοῦτ' ἔσται, τοὺς μήπω προτετραμμένους προτρέπειν, καὶ ἐκείνους αὖ ἑτέρους; ἢ δεῖ τὸν Σωκράτην καὶ ἀλλήλους ἡμᾶς τὸ μετὰ τοῦτ' ἐπανερωτᾶν, ὁμολογήσαντας τοῦτ' αὐτὸ ἀνθρώπῳ πρακτέον εἶναι, τί τοὐντεῦθεν; πῶς ἄρχεσθαι δεῖν φαμὲν δικαιοσύνης πέρι μαθήσεως; ὥς περ ἂν εἴ τις ἡμᾶς προὔτρεπε τοῦ σώματος ἐπιμέλειαν ποιεῖσθαι, μηδὲν προνοοῦντας ὁρῶν, καθά περ παῖδας, ὡς ἔστι τις γυμναστικὴ καὶ ἰατρική, κἄπειτα ὠνείδιζε, λέγων ὡς αἰσχρὸν πυρῶν μὲν καὶ κριθῶν καὶ ἀμπέλων ἐπιμέλειαν πᾶσαν ποιεῖσθαι, καὶ ὅσα τοῦ σώματος ἕνεκα διαπο-

dormientes excitandos conducere. Adhibui itaque mentem, ut qui essem reliqua auditurus: percontatus sum non te primum, o Socrates, sed aequales tuos, vel contubernales, vel socios, vel quomodocunque aliter affectos tibi oportet dicere: horum, inquam, eos ante alios, qui primi apud te habentur, interrogavi, quis post haec sermo potissimum sequeretur: ac more tuo, quodammodo ita praefatus quaestionem exposui: O viri optimi, quo pacto, inquam, Socraticas ad virtutem hortationes accipere deinde debemus? an quasi solum hoc exstet, prodire vero ad opus, remque perficere, minime? Atqui nostrum et hoc per omnem vitam erit officium, eos, qui nondum satis incitati sunt, provocare, atque ita semper invicem exhortari? An potius et Socratem, et nos ipsos, cum non negemus hoc ipsum agendum esse, sic inquirere decet: Quid posthac? unde iustitiae studium incipiemus? Si quis nos ad curandum corpus hortans, tanquam pueros, qui nequaquam advertunt, curam eius gymnasticam atque medicinam esse, obiurget, quod de tritico, et hordeo, et vitibus semper cogitemus, deque omnibus, quae corporis gratia

οὐμεθά τε καὶ κτώμεθα, τούτου δ' αὐτοῦ μηδεμίαν ἐχνην μηδὲ μηχανήν, ὅπως ὡς βέλτιστον ἔσται τὸ σῶμα, ἐξευρίσκειν, καὶ ταῦτα οὖσαν. εἰ δ' ἐπανηρόμεθα τὸν ταῦθ' ἡμᾶς προτρέποντα Λέγεις δὲ εἶναι τίνας ταύτας τὰς τέχνας; εἶπεν ἂν ἴσως ὅτι γυμναστικὴ καὶ ἰατρική. καὶ νῦν δὴ τίνα φαμὲν εἶναι τὴν ἐπὶ τῇ τῆς ψυχῆς ἀρετῇ τέχνην; λεγέσθω. Ὁ δὴ δοκῶν αὐτῶν ἐρρωμενέστατος εἶναι πρὸς ταῦτα ἀποκρινόμενος εἶπέ μοι ταύτην τὴν τέχνην εἶναι ἣν περ ἀκούεις σὺ λέγοντος, ἔφη, Σωκράτους, οὐκ ἄλλην ἢ δικαιοσύνην. Εἰπόντος δ' ἐμοῦ Μή μοι τὸ ὄνομα μόνον εἴπῃς, ἀλλὰ ὧδε. ἰατρική πού τις λέγεται τέχνη· ταύτης δ' ἐστὶ διττὰ τὰ ἀποτελούμενα, τὸ μὲν ἰατροὺς ἀεὶ πρὸς τοῖς οὖσιν ἑτέρους ἐξεργάζεσθαι, τὸ δὲ ὑγίειαν· ἔστι δὲ τούτων θάτερον οὐκέτι τέχνη, τῆς τέχνης δὲ τῆς διδασκούσης τε καὶ διδασκομένης ἔργον, ὃ δὴ λέγομεν ὑγίειαν. καὶ τεκτονικῆς δὲ κατὰ ταὐτὰ οἰκία τε καὶ τεκτονικὴ τὸ μὲν ἔργον, τὸ δὲ δίδαγμα. τῆς δὴ δικαιοσύνης ὡσαύτως τὸ μὲν δικαίους ἔστω ποιεῖν, καθά περ ἐκεῖ τοὺς τεχνίτας ἑκάστους· τὸ δ' ἕτερον, ὃ δύναται ποιεῖν ἡμῖν ἔργον ὁ δίκαιος, τί τοῦτό φαμεν; εἰπέ. Οὗτος μέν, ὡς οἶμαι, τὸ συμφέρον ἀπεκρίνατο, ἄλλος δὲ τὸ δέον, ἕτερος δὲ

quaerimus, artem vero et industriam, qua bonus corporis habitus fiat, nullam inquiramus, cum tamen sit aliqua: forte illum rogaremus, quas artes circa cultum corporis esse dicat, atque ille, ut arbitror, responderet, medicinam atque gymnasticam: eodem pacto nunc, quam artem circa animae virtutem versari censeamus, respondeat, quisquis peritissimus horum sibi videtur. Respondit ergo ad haec, artem hanc, quam ex Socrate audivisti, nullam aliam, nisi iustitiam esse, scias. Tunc ego, Non solum, inquam, mihi nomen adducas, sed ulterius sic exponas. Medicina porro ars quaedam dicitur. ab hac duo fiunt: nam et medici ex medicis efficiuntur, et sanitas reparatur. Alterum horum haud amplius ars aliqua est: artis autem docentis perceptaeque opus, quam dicimus sanitatem. Ab architectura similiter duo fiunt, aedificium videlicet et architectura: illud quidem opus, haec autem doctrina. Iustitiae quin etiam esto, ita stos alios facere, quemadmodum superiores singulos artifices. Se opus alterum, quod nobis vir iustus efficere potest, quid es dicemus? declara. Respondit alius quidem, ut arbitror, co

τὸ ὠφέλιμον, ὁ δὲ τὸ λυσιτελοῦν. ἐπανῄειν δὴ ἐγὼ λέγων ὅτι Κἀκεῖ τά γε ὀνόματα ταῦτ' ἐστὶν ἐν ἑκάστῃ τῶν τεχνῶν, ὀρθῶς πράττειν, λυσιτελοῦντα, ὠφέλιμα καὶ τἄλλα τὰ τοιαῦτα· ἀλλὰ πρὸς ὅ τι ταῦτα πάντα τείνει, ἐρεῖ τὸ ἴδιον ἑκάστη τέχνη, οἷον ἡ γεωμετρικὴ τὸ εὖ, τὸ καλῶς, τὸ δεόντως, ὥστε τὰ ξύλινα, φήσει, σκεύη γίγνεσθαι, ἃ δὴ οὐκ ἔστι τέχνη. λεγέσθω δὴ καὶ τὸ τῆς δικαιοσύνης ὡσαύτως. Τελευτῶν ἀπεκρίνατό τις ὦ Σώκρατές μοι τῶν σῶν ἑταίρων, ὃς δὴ πομψότατα ἔδοξεν εἰπεῖν, ὅτι τοῦτ' εἴη τὸ τῆς δικαιοσύνης ἴδιον ἔργον, ὃ τῶν ἄλλων οὐδεμιᾶς, φιλίαν ἐν ταῖς πόλεσι ποιεῖν. οὗτος δ' αὖ ἐρωτώμενος τὴν φιλίαν ἀγαθόν τ' ἔφη εἶναι καὶ οὐδέποτε κακόν. τὰς δὲ τῶν παίδων φιλίας καὶ τὰς τῶν θηρίων, ἃς ἡμεῖς τοῦτο τοὔνομα ἐπονομάζομεν, οὐκ ἀπεδέχετο εἶναι φιλίας ἐπανερωτώμενος· συνέβαινε γὰρ αὐτῷ τὰ πλείω τὰς τοιαύτας βλαβερὰς ἢ ἀγαθὰς εἶναι. φεύγων δὴ τὸ τοιοῦτον οὐδὲ φιλίας ἔφη τὰς τοιαύτας εἶναι, ψευδῶς δὲ ὀνομάζειν αὐτὰς τοὺς οὕτως ὀνομάζοντας· τὴν δὲ ὄντως καὶ ἀληθῶς φιλίαν εἶναι σαφέστατα ὁμόνοιαν. τὴν δὲ ὁμόνοιαν ἐρωτώμενος εἰ ὁμοδοξίαν εἶναι λέγοι ἢ ἐπιστήμην, τὴν μὲν

ferens: alius, decens: alius, conducibile: alius, utile. At ego respondens obieci, in singulis artibus eadem haec nomina esse: cumque recte quid fit, utilia, conducibilia, et alia huius generis illic fieri dicique. Illud vero artis cuiusque proprium, ad quod haec respiciunt. quemadmodum in arte fabrili quod bene, pulchre, decenter se habere dicitur, illuc tendit, ut ex lignea materia apte supellectilia fiant: quae quidem ars minime sunt, sed artis opus. Dicatur similiter et iustitiae ipsius opus. Hic quidam ex tuis familiaribus, Socrates, respondit, et bellissime quidem loqui visus est. Opus iustitiae proprium, inquit, quod nullius alterius facultatis est, amicitiam in civitatibus parere. Ille rursus interrogatus, amicitiam esse bonum quoddam asseruit, malum vero nunquam. Cum vero interrogaretur de puerorum brutorumque benevolentiis, quas amicitias communiter appellamus, amicitias esse eas negavit, quippe cum saepius obsint, quam prosint: dixitque, illas falso amicitias nuncupari: veram autem amicitiam esse procul dubio consensionem. Cum autem quaereretur, utrum assensionem illam vocaret opinionis, an scientiae concursum: opinionem quidem contemsit,

ΚΛΕΙΤΟΦΩΝ

ΤΑ ΤΟΥ ΔΙΑΛΟΓΟΥ ΠΡΟΣΩΠΑ

ΣΩΚΡΑΤΗΣ, ΚΛΕΙΤΟΦΩΝ.

SOCRATES, CLITOPHON.

Κλειτοφῶντα τὸν Ἀριστωνύμου τις ἡμῖν διηγεῖτο 406
ἔναγχος, ὅτι Λυσίᾳ διαλεγόμενος τὰς μὲν μετὰ Σω-
κράτους διατριβὰς ψέγοι, τὴν Θρασυμάχου δὲ ξυνου-
σίαν ὑπερεπαινοῖ.

ΚΛΕΙ. Ὅς τις, ὦ Σώκρατες, οὐκ ὀρθῶς ἀπεμνη-
μόνευέ σοι τοὺς ἐμοὶ περὶ σοῦ γενομένους λόγους πρὸς
Λυσίαν· τὰ μὲν γὰρ ἔγωγε οὐκ ἐπῄνουν σε, τὰ δὲ καὶ
ἐπῄνουν. ἐπεὶ δὲ δῆλος εἶ μεμφόμενος μέν μοι, προσ-
ποιούμενος δὲ μηδὲν φροντίζειν, ἥδιστ' ἂν σοι διεξέλ-
θοιμι αὐτοὺς αὐτός, ἐπειδὴ καὶ μόνῳ τυγχάνομεν ὄντε,
ἵνα ἧττόν με ἡγῇ πρὸς σὲ φαύλως ἔχειν. νῦν γὰρ ἴσως
οὐκ ὀρθῶς ἀκήκοας, ὥστε φαίνει πρὸς ἐμὲ ἔχειν τραχυτέ-
ρως τοῦ δέοντος. εἰ δέ μοι δίδως παῤῥησίαν, ἥδιστ' ἂν
δεξαίμην καὶ ἐθέλω λέγειν.

ΣΩ. Ἀλλ' αἰσχρὸν μὴν σοῦ γε ὠφελεῖν με προ-
θυμουμένου μὴ ὑπομένειν· δῆλον γὰρ ὡς γνοὺς ὅπῃ 407

Nuper mihi retulit quidam Clitophontem, Aristonymi filium, loquentem cum Lysia, Socratis quidem consuetudinem vituperare, Thrasymachi vero laudare magnopere solitum. *Cli.* Quisquis ille, o Socrates, fuerit, haud recte narravit, quae de te cum Lysia sum locutus. nam in quibusdam laudavi te, in quibusdam minime. Postquam vero aperte succenses mihi, quamquam dissimulas, te nihil curare, libentissime ego ipse tibi illa referam: praesertim cum soli simus: ne adeo te despici putes. Forte enim nunc non recte audisti: quocirca infensior mihi redditus es, quam deceat. At si ipse mihi potestatem libere loquendi dederis, libentissime rem tibi narrabo. *So.* At turpe nimium esset, si te, prodesse mihi volentem, non tolerem. Constat enim,

χείρων εἰμὶ καὶ βελτίων, τὰ μὲν ἀσκήσω καὶ διώξομαι, τὰ δὲ φεύξομαι κατὰ κράτος.

ΚΛΕΙ. Ἀκούοις ἄν. Ἐγὼ γάρ, ὦ Σώκρατες, σοὶ συγγιγνόμενος πολλάκις ἐξεπληττόμην ἀκούων, καί μοι ἐδόκεις παρὰ τοὺς ἄλλους ἀνθρώπους κάλλιστα λέγειν, ὁπότε ἐπιτιμῶν τοῖς ἀνθρώποις, ὥς περ ἐπὶ μηχανῆς τραγικῆς θεός, ὑμνεὶς λέγων Ποῖ φέρεσθε, ἄνθρωποι, καὶ ἀγνοεῖτε οὐδὲν τῶν δεόντων πράττοντες, οἵ τινες χρημάτων μὲν πέρι τὴν πᾶσαν σπουδὴν ἔχετε, ὅπως ὑμῖν ἔσται, τῶν δ' υἱέων οἷς ταῦτα παραδώσετε, ὅπως ἐπιστήσονται χρῆσθαι δικαίως τούτοις, ἀμελεῖτε, καὶ οὔτε διδασκάλους αὐτοῖς εὑρίσκετε τῆς δικαιοσύνης, εἴ περ μαθητόν· εἰ δὲ μελετητόν τε καὶ ἀσκητόν, οἵ τινες ἐξασκήσουσι καὶ ἐκμελετήσουσιν ἱκανῶς. οὐδέ γ' ἔτι πρότερον ὑμᾶς αὐτοὺς οὕτως ἐθεραπεύσατε, ἀλλ' ὁρῶντες γράμματα καὶ μουσικὴν καὶ γυμναστικὴν ὑμᾶς τε αὐτοὺς καὶ τοὺς παῖδας ὑμῶν ἱκανῶς μεμαθηκότας, ἃ δὴ παιδείαν ἀρετῆς εἶναι τελέαν ἡγησθε, κἄπειτα οὐδὲν ἧττον κακοὺς γιγνομένους περὶ τὰ χρήματα, πῶς οὐ καταφρονεῖτε τῆς νῦν παιδεύσεως οὐδὲ ζητεῖτε οἵ τινες ὑμᾶς παύσουσι ταύτης τῆς ἀμουσίας; καί τοι διά

ubi intellexero, qua malus, qua bonus sim, deteriora declinaturum esse pro viribus. meliora prosecuturum. *Cli.* Audi igitur. Equidem tecum versatus, saepenumero, Socrates, vehementer obstupui, dum te loquentem audirem, mihique visus es praeclarissime omnium dicere, quoties obiurgans homines, veluti e machina tragica Deus, subito exclamares, Quonam ruitis, homines? nescitis, quo feramini, neque opportunum quidquam agitis, qui omni studio pecuniis cumulandis incumbitis, filios autem, quibus eas relicturi estis, negligitis, neque, ut illis iuste uti sciant, eos iustitiae praeceptoribus commendatis, qui doceant iustitiam, si doceri potest, et, si exercitatione ac consuetudine comparanda est, diligenter exerceant. Neque vos etiam ipsos curastis unquam. Sed cum videatis, literas, musicam, gymnasticam vos filiosque vestros ad sufficientiam consecutos, quam virtutis disciplinam perfectam existimatis, deinde nihil magis circa pecunias pravos esse, cur non praesentem educationem contemnitis? cur non quaeritis aliquos, qui vos ab in musica dissonantia liberent? Etenim propter hoc delic

γε ταύτην τὴν πλημμέλειαν καὶ ῥαθυμίαν, ἀλλ' οὐ διὰ τὴν ἐν τῷ ποδὶ πρὸς τὴν λύραν ἀμετρίαν καὶ ἀδελφὸς ἀδελφῷ καὶ πόλεις πόλεσιν ἀμέτρως καὶ ἀναρμόστως προσφερόμεναι στασιάζουσι καὶ πολεμοῦντες τὰ ἔσχατα δρῶσι καὶ πάσχουσιν. ὑμεῖς δέ φατε οὐ δι' ἀπαιδευσίαν οὐδὲ δι' ἄγνοιαν, ἀλλ' ἑκόντας τοὺς ἀδίκους ἀδίκους εἶναι. πάλιν δ' αὖ τολμᾶτε λέγειν ὡς αἰσχρὸν καὶ θεμιστὲς ἡ ἀδικία· πῶς οὖν δή τις τό γε τοιοῦτον κακὸν ἑκὼν αἱροῖτ' ἄν; ἥττων ὃς ἂν ᾖ, φατέ, τῶν ἡδονῶν. οὐκοῦν καὶ τοῦτ' ἑκούσιον, εἴ περ τὸ νικᾶν ἑκούσιον; ὥστε ἐκ παντὸς τρόπου τό γε ἀδικεῖν ἀκούσιον ὁ λόγος αἱρεῖ, καὶ δεῖν ἐπιμέλειαν τῆς νῦν πλείω ποιεῖσθαι πάντ' ἄνδρα ἰδίᾳ θ' ἅμα καὶ δημοσίᾳ ξυμπάσας τὰς πόλεις. Ταῦτ' οὖν, ὦ Σώκρατες, ἐγὼ ὅταν ἀκούω σοῦ θαμὰ λέγοντος, καὶ μάλα ἄγαμαι καὶ θαυμαστῶς ὡς ἐπαινῶ. καὶ ὁπόταν αὖ φῇς τὸ ἐφεξῆς τούτῳ, τοὺς ἀσκοῦντας μὲν τὰ σώματα, τῆς δὲ ψυχῆς ἠμεληκότας ἕτερόν τι πράττειν τοιοῦτον, τοῦ μὲν ἄρξοντος ἀμελεῖν, περὶ δὲ τὸ ἀρξόμενον ἐσπουδακέναι. καὶ ὅταν λέγῃς ὡς ὅτῳ τις μὴ ἐπίσταται χρῆσθαι, κρεῖττον ἐᾷν τὴν τούτου χρῆσιν· εἰ δή τις μὴ ἐπίσταται ὀφθαλμοῖς

soeordiamque magis, quam propter pedis ad lyram dissonam motionem, et frater adversus fratrem, et civitas adversus alias civitates, immoderata et discordi seditione suborta feruntur, et commisso proelio extrema patiuntur et inferunt. Vos autem dicitis, non propter ruditatem inscitiamque, sed sponte iniustos esse eos, qui sunt iniusti: rursusque asserere non dubitatis, iniustitiam turpem esse rem, Deoque odiosam. Quam igitur ob causam hoc tantum malum sponte quis eligit? Respondetis, hominem superatum voluptatibus id subire. Nonne superari, praeter voluntatem est, quandoquidem ex voluntate est superare? Quapropter iniuste agere, praeter voluntatem esse, omnino ratio convincit. Diligentiorem itaque curam, quam solet, adhibere, et viros omnes privatim et publice civitates decet. Quoties ista, Socrates, audio te dicentem, mirum in modum delector ac laudo, idemque facio, cum ea, quae sequuntur, ausculto. Addis enim, eos, quicunque corpus quidem exercent, animum vero negligunt, quod natura subiectum est, colere; spernere vero, quod imperat. Item unicuique usum eius rei, qua uti nescit, relinquere. Illi vero, qui oculis, auribus, toto corpore

χρῆσθαι μηδὲ ὠσὶν μηδὲ ξύμπαντι τῷ σώματι, τούτῳ μήτε ἀκούειν μήθ' ὁρᾶν μήτ' ἄλλην χρείαν μηδεμίαν χρῆσθαι τῷ σώματι κρεῖττον ἢ ὑπηροῦν χρῆσθαι. καὶ
408 δὴ καὶ περὶ τέχνην ὡσαύτως· ὅστις γὰρ δὴ μὴ ἐπίσταται τῇ ἑαυτοῦ λύρᾳ χρῆσθαι, δῆλον ὡς οὐδὲ τῇ τοῦ γείτονος, οὐδὲ ὅστις μὴ τῇ τῶν ἄλλων, οὐδὲ τῇ ἑαυτοῦ, οὐδ' ἄλλῳ τῶν ὀργάνων οὐδὲ κτημάτων οὐδενί. καὶ τελευτᾷ δὴ καλῶς ὁ λόγος οὑτοσί σοι, ὡς ὅς τις ψυχῇ μὴ ἐπίσταται χρῆσθαι, τούτῳ τὸ ἄγειν ἡσυχίαν τῇ ψυχῇ καὶ μὴ ζῆν κρεῖττον ἢ ζῆν πράττοντι καθ' αὑτόν· εἰ δέ τις ἀνάγκη ζῆν εἴη, δούλῳ ἄμεινον ἢ ἐλευθέρῳ διάγειν τῷ τοιούτῳ τὸν βίον ἐστὶν ἄρα, καθάπερ πλοίου παραδόντι τὰ πηδάλια τῆς διανοίας ἄλλῳ, τῷ μαθόντι τὴν τῶν ἀνθρώπων κυβερνητικήν, ἣν δὴ σὺ πολιτικήν, ὦ Σώκρατες, ἐπονομάζεις πολλάκις, τὴν αὐτὴν δὴ ταύτην δικαστικήν τε καὶ δικαιοσύνην ὡς ἔστι λέγων. Τούτοις δὴ τοῖς λόγοις καὶ ἕτεροι τοιούτοις παμπόλλοις καὶ παγκάλως λεγομένοις, ὡς διδακτὸν ἀρετὴ καὶ πάντων ἑαυτοῦ δεῖ μάλιστα ἐπιμελεῖσθαι, σχεδὸν οὔτ' ἀντεῖπον πώποτε οὔτ' οἶμαι μή ποθ' ὕστερον ἀντείπω· προτρεπτικωτάτους τε γὰρ ἡγοῦμαι καὶ ὠφελιμωτάτους, καὶ ἀτεχνῶς ὥς περ καθευδόντας ἐπεγεί-

nescit uti, praestare neque videre, neque audire, neque alite uti corpore, quam uti. Similiter et in artibus. Quicunque enim lyra propria uti nescit, patet, ut ipse ais, quod neque alteri lyra scit uti: et qui aliena nescit uti, nescit et sua: eademque est de ceteris instrumentis et possessionibus ratio. Atque tandem praeclare tibi sermo procedit, ut inferas, qui nes anima uti, praestare huic, ut otium agat anima, neque vi quam ut vivat, et sui iuris in agendo ipse sit. Quem si necessitas cogit vivere, melius huic esse, ut servus vitam dr quam liber. Est autem hoc, tanquam navis, ita cogitati gubernacula committere alteri cuiquam, qui gubernatoriam manae vitae adeptus sit disciplinam, quam saepe tu, Soc politicam vocas, eandemque iudiciariam et iustitiam. His sermonibus, aliisque eiusmodi multis atque praeclaris, vir asserentibus posse doceri, suique ipsius inprimis suscipe ram iubentibus, nunquam ferme adversatus sum, neque, bitror, in posterum adversabor. Perutiles enim ipsos ex plurimumque ad exhortationem valere, et ad homine

ρειν ἡμᾶς. προσεῖχον δὴ τὸν νοῦν τὸ μετὰ ταῦτα ὡς ἀκουσόμενος, ἐπανερωτῶν οὔ τι σὲ τὸ πρῶτον, ὦ Σώκρατες, ἀλλὰ τῶν ἡλικιωτῶν τε καὶ συνεπιθυμητῶν ἢ ἑταίρων σῶν, ἢ ὅπως δεῖ πρὸς σὲ περὶ αὐτῶν τὸ τοιοῦτον ὀνομάζειν. τούτων γὰρ τούς τι μάλιστα εἶναι δοξαζομένους ὑπὸ σοῦ πρώτους ἐπανηρώτων, πυνθανόμενος τίς ὁ μετὰ ταῦτ' εἴη λόγος, καὶ κατὰ σὲ τρόπον τινὰ ὑποτείνων αὐτοῖς Ὦ βέλτιστοι, ἔφην, ὑμεῖς, πῶς ποτὲ νῦν ἀποδεχόμεθα τὴν Σωκράτους προτροπὴν ἡμῶν ἐπ' ἀρετήν; ὡς ὄντος μόνου τούτου, ἐπεξελθεῖν δὲ οὐκ ἔνι τῷ πράγματι καὶ λαβεῖν αὐτὸ τελέως, ἀλλ' ἡμῖν παρὰ πάντα δὴ τὸν βίον ἔργον τοῦτ' ἔσται, τοὺς μήπω προτετραμμένους προτρέπειν, καὶ ἐκείνους αὖ ἑτέρους; ἢ δεῖ τὸν Σωκράτην καὶ ἀλλήλους ἡμᾶς τὸ μετὰ τοῦτ' ἐπανερωτᾶν, ὁμολογήσαντας τοῦτ' αὐτῷ ἀνθρώπῳ πρακτέον εἶναι, τί τοὐντεῦθεν; πῶς ἄρχεσθαι δεῖν φαμὲν δικαιοσύνης πέρι μαθήσεως; ὡς περ ἂν εἴ τις ἡμᾶς προὔτρεπε τοῦ σώματος ἐπιμέλειαν ποιεῖσθαι, μηδὲν προνοοῦντας ὁρῶν, καθά περ παῖδας, ὡς ἔστι τις γυμναστικὴ καὶ ἰατρική, κἄπειτα ὠνείδιζε, λέγων ὡς αἰσχρὸν πυρῶν μὲν καὶ κριθῶν καὶ ἀμπέλων ἐπιμέλειαν πᾶσαν ποιεῖσθαι, καὶ ὅσα τοῦ σώματος ἕνεκα διαπο-

dormientes excitandos conducere. Adhibui itaque mentem, ut qui essem reliqua auditurus: percontatus sum non te primum, o Socrates, sed aequales tuos, vel contubernales, vel socios, vel quomodocunque aliter affectos tibi oportet dicere: horum, inquam, eos ante alios, qui primi apud te habentur, interrogavi, quis post haec sermo potissimum sequeretur: ac more tuo, quodammodo ita praefatus quaestionem exposui: O viri optimi, quo pacto, inquam, Socraticas ad virtutem hortationes accipere deinde debemus? an quasi solum hoc exstet, prodire vero ad opus, remque perficere, minime? Atqui nostrum et hoc per omnem vitam erit officium, eos, qui nondum satis incitati sunt, provocare, atque ita semper invicem exhortari? An potius et Socratem, et nos ipsos, cum non negemus hoc ipsum agendum esse, sic inquirere decet: Quid posthac? unde iustitiae studium incipiemus? Si qui nos ad curandum corpus hortans, tanquam pueros, qui nequaquam advertunt, curam eius gymnasticam atque medicinam esse, obiurget, quod de tritico, et hordeo, et vitibus semper cogitemus, deque omnibus, quae corporis gratia

νούμεθά τε καὶ κτώμεθα, τούτου δ' αὐτοῦ μηδεμίαν τέχνην μηδὲ μηχανήν, ὅπως ὡς βέλτιστον ἔσται τὸ σῶμα, ἐξευρίσκειν, καὶ ταῦτα οὕτως ἔχον. εἰ δ' ἐπανηρόμεθα τὸν ταῦθ' ἡμᾶς προτρέποντα Λέγεις δὲ εἶναι τίνας ταύτας τὰς τέχνας; εἶπεν ἂν ἴσως ὅτι γυμναστικὴ καὶ ἰατρική. καὶ νῦν δὴ τίνα φαμὲν εἶναι τὴν ἐπὶ τῇ τῆς ψυχῆς ἀρετῇ τέχνην; λεγέσθω. Ὁ δὴ δοκῶν αὐτῶν ἐρρωμενέστατος εἶναι πρὸς ταῦτα ἀποκρινόμενος εἶπέ μοι ταύτην τὴν τέχνην εἶναι ἣν περ ἀκούεις σὺ λέγοντος, ἔφη, Σωκράτους, οὐκ ἄλλην ἢ δικαιοσύνην. Εἰπόντος δ' ἐμοῦ Μή μοι τὸ ὄνομα μόνον εἴπῃς, ἀλλὰ ὧδε. ἰατρικὴ πού τις λέγεται τέχνη· ταύτης δ' ἐστὶ διττὰ τὰ ἀποτελούμενα, τὸ μὲν ἰατροὺς ἀεὶ πρὸς τοῖς οὖσιν ἑτέρους ἐξεργάζεσθαι, τὸ δὲ ὑγίειαν· ἔστι δὲ τούτων θάτερον οὐκέτι τέχνη, τῆς τέχνης δὲ τῆς διδασκούσης τε καὶ διδασκομένης ἔργον, ὃ δὴ λέγομεν ὑγίειαν. καὶ τεκτονικῆς δὲ κατὰ ταὐτὰ οἰκία τε καὶ τεκτονικὴ τὸ μὲν ἔργον, τὸ δὲ δίδαγμα. τῆς δὴ δικαιοσύνης ὡσαύτως τὸ μὲν δικαίους ἔσιω ποιεῖν, καθά περ ἐκεῖ τοὺς τεχνίτας ἑκάστους· τὸ δ' ἕτερον, ὃ δύναται ποιεῖν ἡμῖν ἔργον ὁ δίκαιος, τί τοῦτό φαμεν; εἰπέ. Οὗτος μέν, ὡς οἶμαι, τὸ συμφέρον ἀπεκρίνατο, ἄλλος δὲ τὸ δέον, ἕτερος δὲ

quaerimus, artem vero et industriam, qua bonus corporis habitus fiat, nullam inquiramus, cum tamen sit aliqua: forte illum rogaremus, quas artes circa cultum corporis esse dicat, atque ille, ut arbitror, responderet, medicinam atque gymnasticam: eodem pacto nunc, quam artem circa animae virtutem versari censeamus, respondeat, quisquis peritissimus horum sibi videtur. Respondit ergo ad haec, artem hanc, quam ex Socrate audivisti, nullam aliam, nisi iustitiam esse, scias. Tunc ego, Non solum, inquam, mihi nomen adducas, sed ulterius sic exponas. Medicina porro ars quaedam dicitur. ab hac duo fiunt: nam et medici ex medicis efficiuntur, et sanitas reparatur. Alterum horum haud amplius ars aliqua est: artis autem docentis perceptaeque opus, quam dicimus sanitatem. Ab architectura similiter duo fiunt, aedificium videlicet et architectura: illud quidem opus, haec autem doctrina. Iustitiae quin etiam esto, iustos alios facere, quemadmodum superiores singulos artifices. Sed opus alterum, quod nobis vir iustus efficere potest, quid esse dicemus? declara. Respondit alius quidem, ut arbitror, con

τὸ ὠφέλιμον, ὁ δὲ τὸ λυσιτελοῦν. ἐπανῄειν δὴ ἐγὼ λέγων ὅτι Κἀκεῖ τά γε ὀνόματα ταῦτ' ἐστὶν ἐν ἑκάστῃ τῶν τεχνῶν, ὀρθῶς πράττειν, λυσιτελοῦντα, ὠφέλιμα καὶ τἄλλα τὰ τοιαῦτα· ἀλλὰ πρὸς ὅ τι ταῦτα πάντα τείνει, ἐρεῖ τὸ ἴδιον ἑκάστη τέχνη, οἷον ἡ τεκτονικὴ τὸ εὖ, τὸ καλῶς, τὸ δεόντως, ὥστε τὰ ξύλινα, φήσει, σκεύη γίγνεσθαι, ἃ δὴ οὐκ ἔστι τέχνη. λεγέσθω δὴ καὶ τὸ τῆς δικαιοσύνης ὡσαύτως. Τελευτῶν ἀπεκρίνατό τις ὦ Σώκρατές μοι τῶν σῶν ἑταίρων, ὃς δὴ κομψότατα ἔδοξεν εἰπεῖν, ὅτι τοῦτ' εἴη τὸ τῆς δικαιοσύνης ἴδιον ἔργον, ὃ τῶν ἄλλων οὐδεμιᾶς, φιλίαν ἐν ταῖς πόλεσι ποιεῖν. οὗτος δ' αὖ ἐρωτώμενος τὴν φιλίαν ἀγαθόν τ' ἔφη εἶναι καὶ οὐδέποτε κακόν. τὰς δὲ τῶν παίδων φιλίας καὶ τὰς τῶν θηρίων, ἃς ἡμεῖς τοῦτο τοὔνομα ἐπονομάζομεν, οὐκ ἀπεδέχετο εἶναι φιλίας ἐπανερωτώμενος· συνέβαινε γὰρ αὐτῷ τὰ πλείω τὰς τοιαύτας βλαβερὰς ἢ ἀγαθὰς εἶναι. φεύγων δὴ τὸ τοιοῦτον οὐδὲ φιλίας ἔφη τὰς τοιαύτας εἶναι, ψευδῶς δὲ ὀνομάζειν αὐτὰς τοὺς οὕτως ὀνομάζοντας· τὴν δὲ ὄντως καὶ ἀληθῶς φιλίαν εἶναι σαφέστατα ὁμόνοιαν. τὴν δὲ ὁμόνοιαν ἐρωτώμενος εἰ ὁμοδοξίαν εἶναι λέγοι ἢ ἐπιστήμην, τὴν μὲν

ferens: alius, decens: alius, conducibile: alius, utile. At ego respondens obieci, in singulis artibus eadem haec nomina esse: cumque recte quid fit, utilia, conducibilia, et alia huius generis illic fieri dicique. Illud vero artis cuiusque proprium, ad quod haec respiciunt. quemadmodum in arte fabrili quod bene, pulchre, decenter se habere dicitur, illuc tendit, ut ex lignea materia apte supellectilia fiant: quae quidem ars minime sunt, sed artis opus. Dicatur similiter et iustitiae ipsius opus. Hic quidam ex tuis familiaribus, Socrates, respondit, et bellissime quidem loqui visus est. Opus iustitiae proprium, inquit, quod nullius alterius facultatis est, amicitiam in civitatibus parere. Ille rursus interrogatus, amicitiam esse bonum quoddam asseruit, malum vero nunquam. Cum vero interrogaretur de puerorum brutorumque benevolentiis, quas amicitias communiter appellamus, amicitias esse eas negavit, quippe cum saepius obsint, quam prosint: dixitque, illas falso amicitias nuncupari: veram autem amicitiam esse procul dubio consensionem. Cum autem quaereretur, utrum assensionem illam vocaret opinionis, an scientiae concursum: opinionem quidem contemsit,

ὁμοδοξίαν ἠτίμαζεν· ἠναγκάζοντο γὰρ πολλαὶ καὶ βλαβεραὶ γίγνεσθαι ὁμοδοξίαι ἀνθρώπων, τὴν δὲ φιλίαν ἀγαθὸν ὡμολογήκει πάντως εἶναι καὶ δικαιοσύνης ἔργον, ὥστε ταὐτὸν ἔφησεν εἶναι ὁμόνοιαν [καὶ] ἐπιστήμην οὖσαν, ἀλλ᾽ οὐ δόξαν. ὅτε δὴ ἐνταῦθα ἦμεν τοῦ λόγου ἀποροῦντες, οἱ παρόντες ἱκανοὶ ἦσαν ἐπιπλήττειν τε αὐτῷ καὶ λέγειν ὅτι περιδεδράμηκεν εἰς ταὐτὸν ὁ λόγος τοῖς πρώτοις, καὶ ἔλεγον ὅτι Καὶ ἡ ἰατρικὴ ὁμόνοιά τίς ἐστι καὶ ἅπασαι αἱ τέχναι, καὶ περὶ ὅτου εἰσὶν ἔχουσι λέγειν· τὴν δὲ ὑπὸ σοῦ λεγομένην δικαιοσύνην ἢ ὁμόνοιαν, ὅποι τείνουσά ἐστι, διαπέφευγε, καὶ ἄδηλον αὐτῆς ὅ τί ποτ᾽ ἔστι τὸ ἔργον. Ταῦτα, ὦ Σώκρατες, ἐγὼ τελευτῶν καὶ σὲ αὐτὸν ἠρώτων, καὶ εἰπές μοι δικαιοσύνης εἶναι τοὺς μὲν ἐχθροὺς βλάπτειν, τοὺς δὲ φίλους εὖ ποιεῖν. ὕστερον δὲ ἐφάνη βλάπτειν γε οὐδέποτε ὁ δίκαιος οὐδένα· πάντα γὰρ ἐπ᾽ ὠφελείᾳ πάντας δρᾷν. ταῦτα δὲ οὐχ ἅπαξ οὐδὲ δὶς ἀλλὰ πολὺν δὴ ὑπομείνας χρόνον καὶ λιπαρῶν ἀπείρηκα, νομίσας σε τὸ μὲν προτρέπειν εἰς ἀρετῆς ἐπιμέλειαν κάλλιστ᾽ ἀνθρώπων δρᾷν, δυοῖν δὲ θάτερον, ἢ τοσοῦτον μόνον δύνασθαι, μακράτερον δὲ οὐδέν, ὃ γένοιτ᾽ ἂν καὶ περὶ ἄλλην ἡντιναοῦν τέχνην, οἷον μὴ ὄντα κυβερνήτην

quia concursus opinionum multi inter homines ac noxii sunt: amicitiam vero bonam omnino opusque iustitiae esse concesserat. Quare idem dixit esse consensionem et scientiam, non opinionem. Cum vero huc loquendo delati essemus, ambigui auditores adversus illum protinus inclamarunt, quod eodem sermo revolveretur: quoniam et medicina sit consensio quaedam, et artes reliquae, et circa quid versantur, declarare queant. At vero tua haec, quam dicis, iustitia, vel consensio, quo tendit ignorat, quodve opus sit, latet. Eadem abs te tandem quaesivi, Socrates: tu vero statim iustitiae opus esse dixisti, prodesse amicis, inimicos laedere. Deinde vero visus tibi est vir iustus nunquam laedere quemquam, sed prodesse in omnibus unicuique. Haec non semel tantum, o Socrates, aut bis tentata sunt: sed cum diu supplex vos secutus fuerim, denique defessus sum, existimans, te ad inflammandos homines, ut studium virtutis capessant, ceteris esse vehementiorem. E duobus vero alterutrum necesse est. aut enim eatenus tantum vales, ultra vero nihil, quod quidem in quavis arte contingere potest: ceu in arte gubernatoria fieri

καταμελετῆσαι τὸν ἔπαινον περὶ αὐτῆς, ὡς πολλοῦ τοῖς ἀνθρώποις ἀξία, καὶ περὶ τῶν ἄλλων τεχνῶν ὡσαύτως. ταὐτὸν δὴ καὶ σοί τις ἐπενέγκοι τάχ' ἂν περὶ δικαιοσύνης, ὡς οὐ μᾶλλον ὄντι δικαιοσύνης ἐπιστήμονι, διότι καλῶς αὐτὴν ἐγκωμιάζεις. οὐ μὴν τό γε ἐμὸν οὕτως ἔχει. δυοῖν δὲ θάτερον, ἢ οὐκ εἰδέναι σε ἢ οὐκ ἐθέλειν αὐτῆς ἐμοὶ κοινωνεῖν. διὰ ταῦτα δὴ καὶ πρὸς Θρασύμαχον, οἶμαι, πορεύσομαι καὶ ἄλλοσε ὅποι δύναμαι, ἀπορῶν, ἐπεὶ εἴ γ' ἐθέλοις σὺ τούτων μὲν ἤδη παύσασθαι πρὸς ἐμὲ τῶν λόγων τῶν προτρεπτικῶν, οἷον δέ, εἰ περὶ γυμναστικῆς προτεταραμμένος ἦ τοῦ σώματος δεῖν μὴ ἀμελεῖν, τὸ ἐφεξῆς ἂν τῷ προτρεπτικῷ λόγῳ ἔλεγες, οἷον τὸ σωμά μου φύσει ὂν οἵας θεραπείας δεῖται· καὶ νῦν δὴ ταὐτὸν γιγνέσθω. φὴς τὸν Κλειτοφῶντα ὁμολογοῦντα ὡς ἔστι καταγέλαστον τῶν μὲν ἄλλων ἐπιμέλειαν ποιεῖσθαι, ψυχῆς δέ, ἧς ἕνεκα τἆλλα διαπονούμεθα, ταύτης ἠμεληκέναι· καὶ τἆλλα πάντα οἷον με νῦν οὕτως εἰρηκέναι τὰ τούτοις ἑξῆς, ἃ καὶ νῦν δὴ διῆλθον. καί σου δεόμενος λέγω μηδαμῶς ἄλλως ποιεῖν, ἵνα μή, καθά περ νῦν, τὰ μὲν ἐπαινῶ σε πρὸς Λυσίαν καὶ πρὸς τοὺς ἄλλους, τὰ δέ τι καὶ

potest, ut, qui gubernare nescit, excogitaverit aliquas eius artis laudes, quibus ad eam homines provocet, quasi dignissima sit: et in ceteris artibus eodem modo. Idem fortasse tibi quis tribuet, quasi nihilo magis iustitiam ipsam cognoscas, etsi praeclare eam laudas. Ego autem non sic existimo. e duobus enim alterum inquam: aut nescire te arbitror, aut nolle mecum communicare. Quamobrem ad Thrasymachum, ut opinor, me conferam, et alio, quocunque potero, speraveroque a dubitationibus liberari. Neque vero alio me conferrem, si velles ipse exhortationibus istis quandoque facere finem. Porro quemadmodum si me iam satis ad curam corporis, quae gymnasticae est, incitasses, post exhortationem huiusmodi aperires mihi, qualis mei corporis esset affectio, et quali curatione indigeret: ita in praesentia facito. pone, Clitophonem tibi concedere, ridiculum esse, ut in aliis rebus quis studium ponat; animam vero, cuius gratia in ceteris laboratur, negligat, et alia, quaecunque post haec sequuntur, et dicta modo sunt, retulisse me puta. Obsecro te, Socrates, ne aliter facias, ne, quemadmodum nunc, ita et posthac coram Lysia ceterisque hominibus, partim quidem lau-

ψέγω. μὴ μὲν γὰρ προτετραμμένῳ σε ἀνδρίζεσθαι, ὦ Σώκρατες, ἄξιον εἶναι τοῦ παντὸς φήσω, προτετραμμένῳ δὲ σχεδὸν καὶ ἐμπόδιον τοῦ πρὸς τέλος ἀρετῆς ἐλθόντα εὐδαίμονα γενέσθαι.

dare te, partim vero vituperare necesse sit. Ei namque, qui nondum ad virtutem sit provocatus, conferre te plurimum asseram: persuaso autem contra, impedimento esse te propemodum, quo minus ad virtutis finem perveniens, beatus efficiatur.





PA
4228
A1
V

Stanford University Libraries
Stanford, California

Return this book on or before date due.

JUN 1986